A. 8.

# ΠΛΟΥΤΑΡΧΟΣ

# PLVTARCHI CHAERONENSIS

## QVAE SVPERSVNT OMNIA.

CVM ADNOTATIONIBVS VARIORVM
ADJECTAQVE LECTIONIS DIVERSITATE

OPERA

JOANNIS GEORGII HVTTEN
PHILOS. MAG. ET COLL. DENKENDORF. PROFESSORIS.




*Plutarch. Opp. V. XI. p. 427.*

*VOLVMEN DECIMVM TERTIVM.*

TVBINGAE
IMPENSIS JOANNIS GEORGII COTTAE
MDCCCI.

BIBL.

BIBLIOTEKA ELBLĄSKA
4002
92 399

*Continentur hoc Volumine*

LXXI. ΑΙΤΙΑΙ ΦΥΣΙΚΑΙ. Pag. 1.
Quaeſtiones naturales.

LXXII. ΠΕΡΙ ΤΟΥ ΕΜΦΑΙΝΟΜΕΝΟΥ ΠΡΟΣΩΠΟΥ ΤΩ ΚΥΚΛΩ ΤΗΣ ΣΕΛΗΝΗΣ. 27.
De Facie in Orbe Lunae.

LXXIII. ΠΕΡΙ ΤΟΥ ΠΡΩΤΟΥ ΨΥΧΡΟΥ. 99.
De Primo Frigido.

LXXIV. ΠΕΡΙ ΤΟΥ, ΠΟΤΕΡΟΝ ΥΔΩΡ Η ΠΥΡ ΧΡΗΣΙΜΩΤΕΡΟΝ; 124.
Aquae & Ignis Comparatio, ſ. Aquane an Ignis ſit utilior?

LXXV. ΠΟΤΕΡΑ ΤΩΝ ΖΩΩΝ ΦΡΟΝΙΜΩΤΕΡΑ, ΤΑ ΧΕΡΣΑΙΑ Η ΤΑ ΕΝΥΔΡΑ; 135.
De Solertia Animalium, ſ. Terreſtriane an Aquatilia Animalia ſint callidiora?

LXXVI. ΠΕΡΙ ΤΟΥ, ΤΑ ΑΛΟΓΑ ΛΟΓΩ ΧΡΗΣΘΑΙ. 208.
Gryllus, ſ. Bruta Animalia ratione uti.

LXXVII. ΠΕΡΙ ΣΑΡΚΟΦΑΓΙΑΣ. ΛΟΓΟΣ Α. 228.
De Eſu Carnium. Orat. I.

LXXVIII. ΠΕΡΙ ΣΑΡΚΟΦΑΓΙΑΣ. ΛΟΓΟΣ Β. 241.
De Eſu Carnium. Orat. II.

LXXIX. ΠΛΑΤΩΝΙΚΑ ΖΗΤΗΜΑΤΑ. 251.
Platonicae Quaeſtiones.

*α. Τί δήποτε τὸν Σωκράτην ὁ Θεὸς μαιεῦσθαι μὲν ἐκέλευσεν ἑτέρους, αὐτὸν δὲ γεννᾷν ἀπεκώλυσεν;*

β'. Τί δήποτε τὸν ἀνωτάτω θεὸν πατέρα πάντων καὶ ποιητὴν προσεῖπεν;

γ'. Τί διανοηθεὶς ἐν τῇ Πολιτείᾳ ἄνισα τμήματα τὸ πᾶν ἔτεμνε· καὶ πότερον τῶν τμημάτων, τὸ νοητὸν ἢ τὸ αἰθητὸν, μεῖζόν ἐϛιν;

δ'. Τί δήποτε τὴν ψυχὴν ἀεὶ πρεσβυτέραν ἀποφαίνων τȣ̃ σώματος αἰτίαν τε τῆς τȣ́τȣ γενέσεως καὶ ἀρχὴν, πάλιν φησὶν ȣ̓κ ἂν γενέθαι ψυχὴν ἄνευ σώματος, ȣ̓δὲ νȣ̃ν ἄνευ ψυχῆς, ἀλλὰ ψυχὴν μὲν ἐν σώματι, νȣ̃ν δὲ ἐν τῇ ψυχῇ; Δόξει γὰρ τὸ σῶμα καὶ εἶναι καὶ μὴ εἶναι, συνυπάρχον ἅμα τῇ ψυχῇ καὶ γεννώμενον ὑπὸ τῆς ψυχῆς.

ε. Διὰ τί τῶν μὲν εὐθυγράμμων, τῶν δὲ κυκλικῶν σωμάτων καὶ σχημάτων ὄντων, τὰς τῶν εὐθυγράμμων ἀρχὰς ἔλαβε τὸ ἰσοσκελὲς τρίγωνον καὶ τὸ σκαληνόν;

ϛ'. Πῶς ποτε ἐν τῷ Φαίδρῳ λέγεται τὸ τὴν τȣ̃ πτερȣ̃ φύσιν, ὑφ' ἧς ἄνω τὸ ἐμβριθὲς ἀνάγεται, κεκοινωνηκέναι μάλιϛα τῶν περὶ τὸ σῶμα τȣ̃ Θεȣ̃;

ζ'. Πῶς ποτε φησὶν ὁ Πλάτων τὴν ἀντιπερίϛασιν τῆς κινήσεως, διὰ τὸ μηδαμȣ̃ κενὸν ὑπάρχειν, αἰτίαν εἶναι τῶν περὶ τὰς ἰατρικὰς σικύας παθημάτων, καὶ τῶν περὶ τὴν κατάποσιν, καὶ τὰ ῥιπτȣ́μενα βάρη, καὶ τὰ τῶν ὑδάτων ῥεύματα, καὶ κεραυνȣ̀ς, τήν τε φαινομένην πρὸς ἤ-

λεκτρα

λεκτρα καὶ τὸν λίθον τὸν Ἡράκλειον ὁλκὴν, τάς τε τῶν φθόγγων συμφωνίας;

ή. Πῶς λέγει τὰς ψυχὰς ὁ Τίμαιος εἴς τε γῆν καὶ σελήνην καὶ τὰ ἄλλα ὅσα ὄργανα χρόνȣ σπαρῆναι;

θ'. Περὶ τῶν τῆς ψυχῆς δυνάμεων.

ι. Διὰ τί Πλάτων εἶπε τὸν λόγον ἐξ ὀνομάτων καὶ ῥημάτων κεράννυσθαι;

LXXX. ΠΕΡΙ ΤΗΣ ΕΝ ΤΙΜΑΙΩ ΨΥΧΟΓΟΝΙΑΣ. Pag. 286.
De Animae Procreatione e Timaeo.

LXXXI. ΕΠΙΤΟΜΗ ΤΟΥ, ΠΕΡΙ ΤΗΣ ΕΝ ΤΩ ΤΙΜΑΙΩ ΨΥΧΟΓΟΝΙΑΣ. 331.
Epitome Comment. de Animæ Procreatione.

LXXXII. ΠΕΡΙ ΤΩΝ ΣΤΩΙΚΩΝ ΕΝΑΝΤΙΩΜΑΤΩΝ. 337.
De Stoicorum Repugnantiis.

LXXXIII. ΣΥΝΟΨΙΣ ΤΟΥ, ΟΤΙ ΠΑΡΑΔΟΞΟΤΕΡΑ ΟΙ ΣΤΩΙΚΟΙ ΤΩΝ ΠΟΙΗΤΩΝ ΛΕΓΟΥΣΙ. 404.
Compendium Libri, quo docetur Stoicos abſurdiora dicere quam Poetas, ſ. de abſurdis Stoicorum opinionibus.

# LECTORI CVLTORIQVE
## *PLVTARCHI*
S. P. D.

JOANNES GEORGIVS HVTTEN.

Septimum hoc exit *Operum Plutarchi Moralium & Philoſophicorum* Volumen, Tuo jam nunc uſui judicioque, Lector Benevole! ſubjiciendum. Quod cum Tuae benignitati & indulgentiae commendatiſſimum eſſe velim, pauca haec, quae praemonenda putavi, accipe.

Ad ſingulas huius Voluminis partes melius curandas parum mihi obtigit ſubſidii, quod pro inſtituti noſtri ratione ſit commemorandum. Praeter iſtam interpretationem, qua *Nuiſchelerus* *) de Plutarcheo libello, *Gryllo* inſcripto, cui argumentum eſt, *bruta animalia ratione uti*, optime meruit, ſola ad meos uſus benigne oblata fuit peculiaris quaedam *Platonicarum Quaeſtionum* editio. Cuius cum a nullo alio Plutarchi editore aut interprete, quod ego quidem pro librorum meorum copiola noverim, mentionem factam eſſe videam, ſuſpicari ſine dubio licet, eam minus eſſe cognitam: neque alienum videri poſſe puto, ſi quam hic loci ejus deſcriptionem intexam. Inſignita eſt hoc titulo:

*Platonicae Plutarchi Cheronei Quaeſtiones. Ludovicus Nogarola Comes Veronenſis vertebat.*

*) Auserleſene moraliſche Schriften von Plutarch. Dritter Band. p. 214.

*tebat. Venetiis apud Vincentium Valgrisium. MDLII.*

Dedicationem ad Pontificem Maximum Julium III. excipit locus de Plutarcho ex Suida desumtus, nec non brevis enumeratio rationum, cur Plutarchus hujus libelli auctor sit censendus. Graeco singularum quaestionum textui illico subjuncta est versio latina, quam deinde scholia sequuntur. Sic folia complentur 32. in forma quarta majori. In fine libelli editor de sua mente operaque haec monet: „*Ne quaeso mihi* „*vitio reddas candide Lector, quod Graecum Plu*„*tarchi libellum una cum mea interpretatione ty*„*pis excudi curaverim. Non enim ambitiose hoc* „*feci, ut opusculi mei parvitas cresceret, sed potius* „*ut omnibus satis constaret, quibus in locis hunc* „*graecum codicem admodum corruptum ac depra*„*vatum correxissem (quamvis non plane, quod vo*„*lebam, sim consecutus) nam sperabam fore, ut hoc* „*meo labore viri Doctissimi ad supplendum id, in* „*quo defecissem, facilius invitarentur, atque ita* „*mea ratione moti de studiosis juvenibus multo* „*melius mererent, quibus ego pro mea virili prodesse* „*studeo. Quapropter nonnulla* σχόλια *Plutarcho in* „*latinum converso adjungere libuit, ut cum multa* „*in eo sint obscura & difficilia, id quod possem,* „*lucis afferrem Certo enim sciebam (si hoc fecissem)* „*me duplici emolumento (quamvis utroque perexi*„*guo) iuvenes affecturum Quidquid tamen sit,* „*quod a me nunc prodit, oro aequi bonique consu*„*las. ac benigne faveas industriae meae.*“

Satis profecto haec me movere debuerunt, ut meum esse censerem, in consulenda hac, quam sua jam commendat antiquitas, editione quam maximam adhi-

adhibere diligentiam. Diverſas quidem correctasque inveni lectiones, quas una cum editoris conjecturis accurate notavi; at ne minimum quidem adeſt indicii veſtigium, unde appareat, quasnam auctoritates editor ſit ſecutus, ut mihi quidem de ſuo tantum ingenio, non alicujus codicis ope adjutus, textum correxiſſe videatur. Quid autem de omni ejus opera internoque & critico libelli valore ſit ſtatuendum, alii dijudicent.

Quod ſupereſt, perſuaſum habeas velim, Lector Benevole! meas me curas Plutarcho conſecratas nulla mora eſſe continuaturum, praeſertim cum ipſe non dubitem, quin eundem proximo volumine, quod erit decimum quartum omnium, quae ſuperſunt, operum, poſt decennium tandem, & quod excedit, abſolvam, & deinde ad ea, quae ab initio publice ſpopondi, progredi poſſim, ad indicem nimirum huic editioni accommodandum, et ad alia elaboranda, quae commodiori ejus uſui inſerviant.

Vale, Benevole Lector! Fave Plutarcho noſtro, fave mihi. Dabam Denkendorfii Calendis Aug. MDCCCI.

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΑΙΤΙΑΙ ΦΥΣΙΚΑΙ.

α.

*Διὰ τί τὸ θαλάττιον ὕδωρ ȣ̓ τρέφει τὰ δένδρα;*

Πότερον δι' ἣν αἰτίαν ȣ̓δὲ τῶν ζώων τὰ χερσαῖα; ζῶον γὰρ ἔγγειον τὸ φυτὸν εἶναι, οἱ περὶ Πλάτωνα καὶ Ἀναξαγόραν καὶ Δημόκριτον οἴονται· ȣ̓ γὰρ διότι τοῖς ἐναλίοις φυτοῖς τρόφιμόν ἐςι καὶ πότιμον, ὥσπερ τοῖς ἰχθύσιν, ἤδη καὶ τὰ ἐν τῇ χέρσῳ φυτά τε καὶ δένδρα τρέφει· ȣ̓δὲ γὰρ ἐνδύεται ταῖς ῥίζαις ὑπὸ πάχȣς, ȣ̓τ' ἀναφέρεται ὑπὸ τȣ̃ βάρȣς· ὅτι δ' ἐμβριθές ἐςι καὶ γεῶδες [1], ἄλλοις τε πολλοῖς ἀποδείκνυται, καὶ τῷ μᾶλλον ἀνέχειν καὶ ὑπερείδειν τὰ πλοῖα καὶ τȣ̀ς κολυμβῶντας· ἢ μάλιςα μὲν βλάπτεται ξηρότητι τὰ δένδρα, ξηραντικὸν δὲ τὸ τῆς θαλάσσης ὕδωρ; ὅθεν πρός γε τὰς σήψεις οἱ ἅλες βοηθȣ̃σι· καὶ σώματα τῶν λȣσαμένων ἐν θαλάττῃ ξηρὰν εὐθὺς ἴσχει καὶ

1 Pet. ἐργῶδες. Ab eodem abſunt deinde vocabula τὰ πλοῖα καὶ ante τȣ̀ς κολυμβ.

καὶ τραχεῖαν τὴν ἐπιφάνειαν. ἢ τὸ μὲν ἔλαιον τοῖς φυτοῖς πολέμιον, καὶ φθείρει τὰ προσαλειφόμενα; μετέχει δὲ πολλῆς ἡ θάλαττα λιπαρότητος· διὸ συνεξάπτει, καὶ παραινῦμεν εἰς τὰς φλόγας μὴ ἐμβάλλειν θαλάττιον ὕδωρ. ἢ γέγονεν ἄποτον [1] καὶ πικρὸν τὸ ὕδωρ (ὥς Ἀριστοτέλης φησὶν) ἀναμίξει κατακεκαυμένης γῆς· καὶ γὰρ ἡ κονία γίνεται, γλυκέος ὕδατος εἰς τέφραν ἐμπεσόντος. ἡ δὲ δίαλυσις [2] ἐξίστησι, καὶ φθείρει τὸ χρηστὸν καὶ πότιμον, ὡς ἐν ἡμῖν οἱ πυρετοὶ τὸ ὑγρὸν εἰς χολὴν τρέπουσιν. ἃ δ' ἱστορῦσιν, ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ [3] βλαστάνειν ὑλήματα καὶ φυτὰ, καρπὸν μὲν ὐδένα φέρει, τρέφεται δὲ τοῖς ποταμοῖς, πολλὴν ἐμβάλλυσιν ἰλύν· ὅθεν ὐ πρόσω τῆς γῆς, ἀλλὰ πλησίον, ἔχει τὴν γένεσιν.

β'.

Διὰ τί μᾶλλον ὑπὸ τῶν ὑετίων, ἢ τῶν ἐπιῤῥύτων ὑδάτων τὰ δένδρα καὶ τὰ σπέρματα πέφυκε τρέφεσθαι;

Πότερον, ὡς Λαΐτος [4] ἔλεγε, τῇ πληγῇ τὰ ὄμβρια διϊστάντα τὴν γῆν πόρυς ποιεῖ, καὶ διαδύεται μᾶλλον εἰς τὴν ῥίζαν; ἢ τῦτο μὲν ὐκ ἀληθὲς, ἀλλ' ἔλαθε τὸν Λαΐτον, ὅτι καὶ τὰ λιμναῖα φυτὰ, τίφη [5] καὶ φλέων [6] καὶ βρύον, ἀναυξῆ καὶ ἀβλαστῆ μένει, μὴ γενομέ-

1 Turn. ἄτοπον, omisso paulo ante vocabulo ὕδωρ.

2 Turn. ἡ δὲ ἄλυσις.

3 cf. Plin. H. N. L. 13. c. 48.

4 Quis hic Laitus fuerit, non constat. Kaltw. susp. positum esse pro nomine latino *Laetus*.

5 Hesych. explicat τίφη per ὄλυρα. A Plinio XVIII, 8. & 10. distinguitur *olyra* & *tiphe*; ut & apud Theophr. H. Pl. VIII, 9. Aristot. H. Anim. VIII, 21. numerat τὴν τίφην inter porcorum τροφάς. Kaltw. interpretatur per nostrum *Reis*; Ricard. per *roseau*.

6 herbae genus, etiam στοίβη dictum, unde nostrum *Stöbenkraut*. Cf. Plin. XXI, 54. XXII, 13. Ricard. vertit *jonc*.

νομένων ὄμβρων καθ' ὥραν· τὸ δὲ τῦ Ἀριςοτέλȣς ἀληθὲς, ὅτι πρόσφατόν ἐςι καὶ νέον ὕδωρ τὸ ὑόμενον, ἕωλον δὲ καὶ παλαιὸν τὸ λιμναῖον. ἢ καὶ τῦτο πιθανὸν μᾶλλον ἢ ἀληθές ἐςι; τὰ γὰρ πηγαῖα καὶ ποτάμια νάματα πρόσφατα μέν ἐςι καὶ νεογενῆ· ποταμοῖς γὰρ δὶς τοῖς αὐτοῖς ȣ̓κ ἂν ἐμβαίης· ὥς φησιν Ἡράκλειτος· ἕτερα γὰρ ἐπιῤῥεῖ ὕδατα· τρέφει δὲ καὶ ταῦτα τῶν ὀμβρίων χεῖρον. ἆρ' ȣ̓̃ν κȣ̃φόν ἐςι τὸ ἐκ Διὸς ὕδωρ καὶ ἀερῶδες, καὶ πνεύματι μεμιγμένον ὁδηγεῖταί τε καὶ ἀναπέμπεται ταχέως εἰς τὸ φυτὸν ὑπὸ λεπτότητος· διὸ καὶ πομφόλυγας ποιεῖ τῇ ἀναμίξει τȣ̃ ἀέρος. ἢ τρέφει μὲν μάλιςα κρατȣ́μενον ὑπὸ τȣ̃ τρεφομένȣ; τȣ̃το γάρ ἐςι πέψις· ἀπεψία δὲ τȣ̓ναντίον, ὅταν ἰσχυροτέρα τȣ̃ παθεῖν ᾖ· καὶ μεταβάλλει τὰ λεπτὰ καὶ ἁπλᾶ καὶ ἄχυμα μᾶλλον, οἷόν ἐςι τὸ ὄμβριον ὕδωρ· γεννώμενον γὰρ ἐν ἀέρι καὶ πνεύματι, καθαρὸν καὶ ἀμιγὲς κάτεισι· τὰ δὲ πηγαῖα, καὶ τῇ γῇ καὶ τοῖς τόποις ὁμοιȣ́μενα, δι' ὧν ἔξεισι, πολλῶν ἀναπίμπλαται ποιοτήτων, δι' ἃς ἧττόν ἐςιν εὔτρεπτα, καὶ βράδιον αὐτὰ παρέχει τῇ πέψει μεταβάλλειν [1] εἰς τὸ τρεφόμενον· τῶν δ' ὀμβρίων τὸ εὔτρεπτον αἱ σήψεις κατηγορȣ̃σιν, εὐσηπτότερα γάρ ἐςι τῶν ποταμίων καὶ φρεατιαίων· ἡ δὲ πέψις ἔοικεν εἶναι σῆψις, ὡς Ἐμπεδοκλῆς μαρτυρεῖ, λέγων·

Οἶνος ἀπὸ φλοιȣ̃ [2] πέλεται σαπὲν ἐν ξύλῳ ὕδωρ.

ἢ πάντων ἑτοιμότατόν ἐςι καὶ ῥᾷςον αἰτιάσαθαι τὸ γλυκὺ τῶν ὀμβρίων καὶ χρηςὸν, ἐκπεμπόμενον εὐθὺς ὑπὸ



1 Sic restitui e Bas. Idem W. recepit ex E. & Mez. Vulgo μεταβάλλον. Paulo ante pro εὔτρεπτα Ald habet ἄτρεπτα, cujus loco e Turn. & Boug. notatur ὤτρεπτα; nec non porro e Turn. sic: βράβιον αὐτὸς παρ. τ. π.

2 Mez. hic loci & infra in quaest. ultima corrigit ὑπὸ φλοιῷ: & sic verterunt Longol. Amiot. Xyl. quos sequitur Kaltw.

τῦ πνεύματος; διὸ καὶ τὰ θρέμματα τέτων [1] ἀπολαύει προθυμότερον, καὶ οἱ βάτραχοι προσδοκῶντες ὄμβρον, ἐπιλαμπρύνεσι τὴν φωνὴν ὑπὸ [2] χαρᾶς, ὥσπερ ἥδυσμα τῦ λιμναίε τὸ ὑέτιον προσδεχόμενοι, καὶ σπέρμα τῆς ἐκείνων γλυκύτητος· ἓν γὰρ καὶ τῦτο ποιεῖται σημεῖον ὑετῦ μέλλοντος Ἄρατος, εἰπών·

Ἢ μᾶλλον δειλαὶ γενεαὶ, ὕδροισιν ὄνειαρ,
Αὐτόθεν ἐκ λίμνης πατέρες βοόωσι γυρίνων [3].

γ'.

Διὰ τί παραβάλλεσι τοῖς θρέμμασιν ἅλας οἱ νομεῖς;

Πότερον, ὡς οἱ πολλοὶ νομίζεσι, πλήθες τροφῆς ἕνεκα, καὶ τῦ παχύνειν; τήν τε γὰρ ὄρεξιν ἡ δριμύτης ἐκκαλεῖται, καὶ τὲς πόρες ἀνασομῦσα, μᾶλλον ὁδοποιεῖ τῇ τροφῇ πρὸς τὴν ἀνάδοσιν· διὸ καὶ τὲς ἰσχνὲς καὶ τὲς ἀτρόφες Ἀπολλώνιος ὁ Ἡροφίλε [4] ἐκέλευε μὴ γλυκεῖ μηδὲ χονδρῷ τρέφειν, ἀλλὰ τοῖς ταριχευτοῖς καὶ ὑφαλμυρίζεσιν, ὧν ἡ λεπτότης, ὥσπερ ἐντρίχωμα γενομένη, τὰ σιτία τοῖς σώμασι διὰ τῶν πόρων προστίθησιν. ἢ μᾶλλον ὑγείας ἕνεκα καὶ συγκοπῆς πλήθες τὸν ἅλα λείχειν ἐθίζεσι τὰ βοσκήματα; νοσεῖ γὰρ ἄγαν πιαινόμενα· τὴν δὲ πιμελὴν τήκεσιν οἱ ἅλες καὶ διαχέεσιν· ὅθεν εὐμαρῶς καὶ ῥᾳδίως ἀποδέρεσιν αὐτὰ σφάξαντες

1 Sic corrigendum cenſui vulgatum *ταύτης*, quod nihil habet, ad quod referri poſſit. Subaudi *τῶν ὀμβρίων*. E Petav. affertur *τέτοις*, quod W. ſimul ex E. notat, ſuſp. leg. vel *τέτε* ſcil. *ὕδατος*, vel *τέτων*.

2 Reſtitui *ὑπὸ* pro *ἀπὸ*, quod in R. legitur.

3 Arat. phaenom. v. 946, ſq. Pro *μᾶλλον* Ald. Baſ. Pet. *μάλα*; pro *δειλαὶ* Turn. *δηλαιαὶ*; pro *γυρίνων* Ald. *γυρίων*; Turn. & Bong. *γυείνων*.

4 Subaud. *μαθητής*. Cf. de Herophilo Plin. XXVI, 6. XXIX, 1.

ξαντες [1]· ἡ γὰρ κολλῶσα καὶ συνδέουσα τὸ δέρμα πιμελὴ, λεπτὴ καὶ ἀσθενὴς γέγονεν ὑπὸ τῆς δριμύτητος· λεπτύνεται δὲ καὶ τὸ αἷμα τῶν τὸ ἅλας λειχόντων, οὐδὲ πήγνυται τὰ ἐντὸς, ἁλῶν μιγέντων. σκόπει δὲ, μὴ καὶ γονιμώτερα [2], καὶ προθυμότερα πρὸς τὰς συνουσίας· καὶ γὰρ αἱ κύνες κύουσι ταχέως, τάριχος ἐπεσθίουσαι· καὶ τὰ ἁληγὰ [3] τῶν πλοίων πλείους τρέφει μῦς, διὰ τὸ πολλάκις συμπλέκεσθαι.

δ'.

Διὰ τί τῶν ὀμβρίων ὑδάτων εὐαρδέστερα [4] τοῖς σπέρμασι τὰ μετὰ βροντῶν καὶ ἀστραπῶν; ἃ δὴ καὶ ἀστραπαῖα [5] καλοῦσι;

Πότερον ὅτι πνευματώδη, διὰ τὴν τοῦ ἀέρος ταραχὴν καὶ ἀνάμιξιν; τὸ δὲ πνεῦμα τὴν ὑγρότητα κινοῦν μᾶλλον ἀναπέμπει καὶ ἀναδίδωσιν; ἢ βροντὰς μὲν καὶ ἀστραπὰς ποιεῖ τὸ θερμὸν ἐν τῷ ἀέρι πρὸς τὸ ψυχρὸν μαχόμενον; διὸ χειμῶνος ἥκιστα βρονταὶ, μάλιστα δ' ἔαρος, καὶ φθινοπώρου διὰ τὴν ἀνωμαλίαν τῆς κράσεως· ἡ δὲ



1 Dedi cum W. quod e Turn. V. Pet. notatur, consentientibus Amiot. Anon. Mez. & in αὐτὰ cod. E. Vulgo αὐτὰς φυλάξαντες.

2 Subintell. γίνεται, quod cum W. excidisse suspicor.

3 Ald. τὰ ἄλητα; Bas. τὰ ἅληγα; Petav. ἅλη τά.

4 Xyl videndum monet, an scribendum sit εὐαλδέστερα, addens tamen, vulgatum eodem recidere. Turn. εὐραιδέστερα. W. notat: „ita libri nostri. Attamen ex hoc loco εὐαλδέστερα memorat, idque Psello, inscriptione capitis 137. *Omnigenae Doctrinae*, ap. Fabric. B. G. T. V. reddendum censet Kusterus, ibi laudatus. Ita quidem extat scripta haec vox in Plut. Symp. IV, 2. (Vol. XI, 171. lin. 6.) probabiliter: hic tamen contra librorum consensum nil mutandum."

5 Ita dedi e Turn. ipsoque Plut. l. c. cum W. accedentibus Longol. Amiot. Salmas. Vulgo ἀστραπάς.

δὲ θερμότης πέπτυσα [1] τὸ ὑγρὸν προσφιλὲς ποιεῖ τοῖς βλαςάνυσι καὶ ὠφέλιμον. ἢ μάλιςα μὲν ἔαρος βροντᾷ καὶ ἀςράπτει, διὰ τὴν εἰρημένην αἰτίαν; τὰ δ' ἐαρινὰ τῶν ὑδάτων ἀναγκαιότερα τοῖς σπέρμασι πρὸ τῦ θέρυς· ὅθεν ἡ πλεῖςον ὑομένη τῦ ἔαρος χώρα, καθάπερ ἡ ἐν Σικελίᾳ, πολλὺς καὶ ἀγαθὺς καρπὺς ἀναδίδωσιν.

ϛ.

Διὰ τί τῶν χυμῶν, ὀκτὼ τῷ γένει ὄντων, ἕνα μόνον τὸν ἁλμυρὸν, ἀπ' ὐδενὸς καρπῦ γεννώμενον ὁρῶμεν; καίτοι καὶ τὸν πικρὸν ἡ ἐλαία φέρει πρῶτον, καὶ τὸν ὀξίνην ὁ βότρυς, εἶτα μεταβάλλων, ὁ μὲν γίνεται λιπαρὸς, ὁ δ' οἰνώδης· μεταβάλλει δὲ καὶ ὁ ςρυφνὸς ἐν ταῖς φοινικοβαλάνοις, καὶ ὁ αὐςηρὸς ἐν ταῖς ῥοαῖς [2], εἰς τὸν γλυκύν· ἔνιαι δὲ ῥοιαὶ καὶ μῆλα τὸν ὀξίνην ἁπλῶς φέρυσιν· ὁ δὲ δριμὺς ἐν ταῖς ῥίζαις καὶ σπέρμασι πολύς ἐςι.

Πότερον ὖν ὐκ ἔςιν ἁλμυρῦ γένεσις, ἀλλὰ φθορὰ τῶν ἄλλων τὸ ἁλμυρὸν; διὸ καὶ πᾶσιν ἄτροφον τοῖς ἀπὸ φυτῶν καὶ σπερμάτων τρεφομένοις, ἥδυσμα δ' ἐνίοις γίνεται τῷ τὸ πλήσμιον ἀφαιρεῖν τῶν τρεφόντων. ἢ [3], καθάπερ τῆς θαλάττης ἕψοντες ἀφαιρῦσι τὸ ἁλυκὸν καὶ δηκτικὸν, ἐν τοῖς θερμοῖς ὑπὸ θερμότητος ἐξαμαυρῦται τὸ ἁλμυρόν; ἢ χυμὸς μέν ἐςιν (ὡς Πλάτων εἶπεν) ὕδωρ ἠθημένον διὰ φυτῦ· διηθυμένη δὲ καὶ θάλαττα [4] τὸ ἁλμυρὸν ἀποβάλλει· γεῶδες γὰρ καὶ παχυμερές ἐςιν· ὅθεν ὀρύττοντες παρὰ τὸν αἰγιαλὸν, ἐντυγχάνυσι ποτίμοις λιβαδίοις· πολλοὶ δὲ καὶ κηρίνοις ἀγγείοις ἀναλαμβάνυ-

1 Ald. Baſ. Pet. πέττυσα.

2 Retinui hanc formam vocis, in R. expreſſam pro vulg. ῥόαις, licet ad ſeq. conformius fuiſſet ῥοιαῖς. W. praeſtare notat ῥόιαις, ut mox, cum Mez.

3 Poſt ἢ Turn. & Bong. inſerunt ὕτως.

4 Quae ſequuntur τὸ ἁλμ. — ἐςιν, abſunt a Pet.

βανεσιν ἐκ τῆς θαλάττης ὕδωρ γλυκὺ διηθέμενον, ἀποκρινομένε τε̃ ἀλυκε̃ [1] καὶ γεώδες· ἡ δὲ καὶ ἀργία καὶ πρ διαγωγὴ [2] παντάπασι τὴν θάλατταν διηθεμένην, πότιμον ἀποδίδωσι, τῷ κατέχειν ἐν ἑαυτῇ καὶ μὴ [3] διϊέναι τὸ γεῶδες· ἔτω δὲ τέτων ἐχόντων, εἰκός ἐςι, τὰ Φυτὰ μήτ' ἔξωθεν ἀναλαμβάνειν ἁλμυρίδα, μήτ' ἂν ἐν αὐτοῖς λάβῃ γένεσιν, ἐκκρίνειν εἰς τὸν καρπόν· οἱ γὰρ πόροι διὰ λεπτότητα τὸ γεῶδες καὶ παχυμερὲς ὲ διηθεσιν. ἢ τῆς πικρότητος εἶδος τὴν ἁλμυρότητα θετέον; ὡς Ὅμηρος·

ςόματος δ' ἐξέπτυσεν ἅλμην
Πικρὴν, ἥ οἱ πολλὸν ἀπὸ κρατὸς κελάρυζε [4].

καὶ ὁ Πλάτων Φησὶν, ἀμΦοτέρες ῥύπτειν καὶ αποτήκειν τὲς χυμὲς, ἧττον δὲ ταῦτα ποιεῖν τὸν ἁλυκὸν [5], καὶ ὲ τραχὺν εἶναι· δόξει δὲ τὸ πικρὸν τε̃ ἁλυκε̃ ξηρότητος ὑπερβολῇ διαΦέρειν, ἐπεὶ ξηραντικόν ἐςι [6] καὶ τὸ ἁλυκόν·

ς'.

Διὰ τί τοῖς συνεχῶς διὰ τῶν δεδροσισμένων δένδρων βαδίζεσι λέπραν ἴσχει τὰ ψαύοντα τῆς ὕλης μόρια τε̃ σώματος [7];

Πότερον (ὡς Λαΐτος ἔλεγε) τῇ λεπτότητι τὸ δροσῶδες ὑγρὸν ἀποξύει τε̃ χρωτὸς; ἢ, καθάπερ ἐρυσίβη

A 4

1 Turn. V. Bong. τε̃ ἁλμυρε̃; Consentiunt Coll. Muret. Jannot. Anon. item tribus proxime sequentibus hoc vulgato substituunt. W. noluit mutare, non assentientibus reliquis libris.

2 Bene probabitur cuivis, quod W. cum Mez. legendum proponit ἡ δὲ δι' ἀργίλε προδιαγωγή, *per argillam deductio*.

3 Kaltw. susp. particulam μὴ ante κατέχειν collocandam esse, & ita vertit: *weil es in beyden Fallen die groben Erdtheile nicht in sich zurükbehalten kann, sondern sie fallen lässt.* Xyl. locum alte ito n tavit.

4 Odyss. V, 322. sq. Ald. Bas. πικρὴν, ἤτοι πολλὴν; ἀπὸ κρατὸς ἐκελάρυζε; Pet. ἤτοι πολλὴν ἀποκρατὸς ἐκελάρυζε. Turn. V. ἥ τις πολλὴ ἀπό.

5 Turn. V. Bong. τὸν ἁλμυρὸν, & paulo post τε̃ ἁλμυρε̃.

6 Secutus sum W. ita ex E. dantem pro vulg. ξηραντικόν τε κ. τ. α. Pro τε Pet. & Jun. τι; B. & Xyl. γε.

7 Pet. τε̃ ςόματος.

σίβη [1] τοῖς ὑγραινομένοις ἐγγίνεται σπέρμασιν, ἕως ὑπὸ τῆς δρόσȣ τῶν ἐπιπολῆς χλωρῶν καὶ ἁπαλῶν ἀναχαρασσομένων καὶ ἀποτηκομένων, ἄχνη τις ἀπιȣ̃σα [2] τȣ̃ σίνοντος ἀναπίμπλησι προσχεομένη τοῖς ἀναιμοτάτοις μέρεσι τῆς σαρκὸς, οἷα κνῆμαι καὶ πόδες, ἀμύσσει καὶ [3] δάκνει τὴν ἐπιφάνειαν; ὅτι γὰρ φύσει τὶ δηκτικὸν ἔνεςι τῇ δρόσῳ, μαρτυρεῖ τὸ τȣ̀ς πίονας ἰσχνοτέρȣς [4] ποιεῖν· αἱ γȣ̃ν πίονες γυναῖκες ἱματίοις ἢ ἐρίοις ἁπαλοῖς ἀναλαμβάνȣσαι τῆς δρόσȣ [5], δοκȣ̃σι συντήκειν τὴν πολυσαρκίαν.

ζ'.

Διὰ τί τὰ πλοῖα χειμῶνος ἐν τοῖς ποταμοῖς πλεῖ βράδιον, ἐν δὲ τῇ θαλάττῃ ȣ̓ παραπλησίως;

Πότερον ὁ ποτάμιος ἀὴρ ἀεὶ δυσκίνητος ὢν καὶ βαρὺς, ἐν δὲ χειμῶνι μᾶλλον παχυνόμενος [6] διὰ τὴν περίψυξιν, ἐμποδών ἐςι τοῖς πλέȣσιν; ἢ τȣ̃το μᾶλλον τȣ̃ ἀέρος πάσχȣσιν οἱ ποταμοί; ἐλαύνȣσα [7] γὰρ ἡ ψυχρότης τὸ ὕδωρ, ποιεῖ βαρὺ καὶ σωματῶδες, ὡς ἔςιν ἐν ταῖς κλεψύδραις καταμαθεῖν· βράδιον γὰρ ἕλκȣσι χειμῶνος ἢ θέρȣς· ἐν δὲ Θράκῃ περὶ τὸ Πάγγαιον ἱςορεῖ Θεόφραςος εἶναι κρήνην, ἀφ' ἧς ταυτὸ ἀγγεῖον γέμον

1 Poſt hanc vocem Turn. & Bong. inſerunt ἐν.

2 Mez. ἐπιȣ̃σα, W. judice probabiliter.

3 W. ſuſp. ἀμύσσει τε καὶ, ut conſtructio ſibi conſtet.

4 Vulgo τὸ τȣ̀ς πίνοντας ἰσχνοπόρȣς. E Turn. V. Bong. affertur πίονας vel πίοντας ἰσχνοτέρȣς. Dedi hinc cum W. quod ſimul auctoritate Pol. Jannot. Anon. firmatur.

5 Inſerit Kaltw. cum Ricardo poſt haec: *und ihren Leib damit reiben.*

6 Sic cum W. dedi e Turn. Amiot. Mez. pro vulg. ἀπαλυνόμενος.

7 Kaltw. ſuſp. συνελαύνȣσα, quod vertendo exprimit: *die Kälte drängt das Waſſer zuſammen.*

γέμον ὕδατος ἱςάμενον [1] χειμῶνος, ἕλκειν διπλάσιον ςαθμὸν ἢ θέρυς· ὅτι δὲ ἡ πυκνότης τῦ ὕδατος τὴν βραδυτῆτα ποιεῖ τῦ πλῦ, δῆλόν ἐςι τῷ πλείονα γόμον Φέρειν τὰ ποτάμια πλοῖα τῦ χειμῶνος· τὸ γὰρ ὕδωρ μᾶλλον ἀντερείδει πυκνότερον καὶ βαρύτερον γινόμενον, τὴν δὲ θάλατταν ἡ θερμότης κωλύει πυκνῦσθαι, δι' ἣν ἐδὲ πήγνυται· μαλακὴ γὰρ ἔοικεν εἶναι ἡ πύκνωσις [2].

ή.

Διὰ τί, τῶν ἄλλων ὑγρῶν ἐν τῷ κινεῖσθαι καὶ ςρέΦεσθαι ψυχομένων, τὴν θάλατταν ὁρῶμεν ἐν τῷ κυματῦσθαι θερμοτέραν γινομένην;

Ἡ τῶν μὲν ἄλλων ὑγρῶν ἐπεισόδιον ἔσαν καὶ ἀλλοτρίαν ἐξίςησιν ἡ κίνησις τὴν θερμότητα, καὶ διαΦορεῖ, τὴν δὲ τῆς θαλάττης σύμΦυτον ἔσαν ἐκριπίζεσι μᾶλλον οἱ ἄνεμοι καὶ τρέΦεσι· μαρτυρία δὲ τῆς θερμοτητος ἡ διαύγεια, καὶ τὸ μὴ πήγνυσθαι, καίπερ ἔσαν γεώδη καὶ βαρεῖαν.

θ'.

Διὰ τί τῦ χειμῶνος ἧττον πικρὰ γίνεται γευομένοις ἡ θάλαττα; τῦτο γάρ Φασι καὶ Διονύσιον ἱςορεῖν, τὸν ὑδραγωγόν.

Ὅτι [3] παντελῶς μὲν ἔρημος ἐκ ἔςι γλυκύτητος ἐδ' ἄμοιρος ἡ πικρότης, ἅτε δὴ ποταμὲς τοσέτες ὑποδεχο-

A 5

1 Vulgo ἐΦ' ἧς ταὐτὸ γέμον ὕδατος ςαθμώμενον. Dedi ἀΦ' e Turn. monente W. forte legendum ἀΦ' ἧς, ut Anon. vel ἐξ ἧς. Inserui porro ἀγγεῖον ex eod. & Mez. quod omnino potius addendum vulgato mihi cum W. videbatur, quam vocabulo γέμον subſtituendum. Vid. Athen. II. p. 42. B. Denique revocavi cum W veterem lectionem ἱςάμενον ex Ald. Baſ. Xyl. B. E. Pet. pro ςαθμώμενον, quod Steph. ex Pol. & Jannot. ediderat. Notante Xyl. valet e graecae linguae uſu *appenſum in trutina, examinatum.*

2 Xyl. pro μαλακὴ maluit μαλακία. W. ſuſp. auctorem ſcripſiſſe, μάλαξις γὰρ ἔοικεν εἶναι ἡ θερμότης, ἡ ψυχρότης δὲ πύκνωσις, *videtur enim denſatio eſſe frigoris, ut caloris emollitio.*

3 W. legendum monet ἢ ὅτι.

δεχομένης τῆς θαλάττης· τοῦ δὲ ἡλίου τὸ γλυκὺ καὶ πότιμον ἐξαιροῦντος ὑπὸ κουφότητος τὸ ἐπιπολάζον, καὶ μᾶλλον ἐν τῷ θέρει τοῦτο ποιοῦντος, ἐν δὲ τῷ χειμῶνι μαλακώτερον ἁπτομένου δι' ἀσθένειαν θερμότητος, ὑπολείπουσιν ἡ μοῖρα πολλῆς γλυκύτητος κινεῖ τὸ ἀκράτως πικρὸν καὶ φαρμακῶδες· τοῦτο δ' ἡσυχῇ καὶ τοῖς ποτίμοις συμβέβηκε· θέρους γὰρ πονηρότερα γίνεται, τὸ κουφότατον καὶ γλυκύτατον τοῦ θερμοῦ διαφοροῦντος, ἐν δὲ χειμῶνι, νέον ἀπείρει [1] καὶ πρόσφατον, οὗ μετέχειν ἀνάγκη καὶ τὴν θάλατταν, δεχομένην ἅμα καὶ τῶν ποταμῶν ἐπιδιδόντων.

ι.

Διὰ τί τῷ οἴνῳ θάλασσαν παραχέουσι, καὶ χρησμόν τινα λέγουσιν ἁλιεῖς κομισθῆναι, προστάττοντα βαπτίζειν τὸν Διόνυσον πρὸς τὴν θάλατταν· οἱ δὲ πόῤῥω θαλάττης ἐμβάλλουσι γύψον Ζακυνθίαν ὀπτήσαντες;

Πότερον ἡ θερμότης βοηθεῖ πρὸς τὴν περίψυξιν; ἢ αὐτὴ [2] ἐξίστησι μάλιστα τὸν οἶνον ἀποσβεννῦσα καὶ φθείρουσα τὴν δύναμιν; ἢ τὸ ὑδατῶδες καὶ πνευματῶδες τοῦ οἴνου, πρὸς μεταβολὴν ἐπισφαλεστάτην [3] ἔχοντος, ἵστησι τὰ γεώδη πεφυκότα στύφειν καὶ κατισχναίνειν; οἱ δὲ ἅλες μετὰ τῆς θαλάττης λεπτύνοντες καὶ ἀποτήκοντες τὸ ἀλλότριον καὶ περιττὸν, οὐκ ἐῶσι δυσωδίαν οὐδὲ σῆψιν ἐγγίνεσθαι; πρὸς δὲ τούτοις, ὅσον ἐστὶ παχὺ καὶ γεῶδες ἐμπλεκόμενον τοῖς βαρυτέροις, καὶ συγκατασπώμενον, ὑποστάθμην ποιεῖ καὶ τρύγα, τὸν δ' οἶνον ἀπολείπει καθαρόν.

ια.

1 W. quaerit, num corrigendum τὸ νέον συντηρεῖ.

2 Ald. Baf. Pet. αὐτῆς.

3 Mez. & W. legendum monent ἐπισφαλέστατα.

ια.

Διὰ τί μᾶλλον ναυτιῶσι τὴν θάλατταν πλέοντες, ἢ τὰς ποταμὰς, κἂν ἐν γαλήνῃ πλέωσι;

Ἡ ὅτι μάλιστα [1] ναυτίαν κινεῖ τῶν αἰθήσεων ἡ ὄσφρησις τῶν δὲ παθῶν ὁ φόβος; καὶ γὰρ τρέμασι καὶ φρίττασι, καὶ κοιλίας ἐξυγραίνονται, φαντασίαν κινδύνα λαβόντες· τάτων δ' ἀδέτερον ἐνοχλεῖ τοῖς διὰ ποταμῶ πλέασιν· ἡ γὰρ ὄσφρησις παντὶ ποτίμῳ καὶ γλυκεῖ συνήθης ἐςὶν, ὁ δὲ πλᾶς ἀκίνδυνος· ἐν δὲ τῇ θαλάττῃ τήν τ' ὀσμὴν ἀηθείᾳ δυσχεραίνασι, καὶ φοβᾶνται, μὴ πιςεύοντες τῷ παρόντι περὶ τᾶ μέλλοντος· ἀδὲν ἂν ὄφελος τῆς ἔξω γαλήνης· ἀλλὰ καὶ ἡ ψυχὴ [2] σάλον ἔχασα καὶ θορυβαμένη, συγκινεῖ καὶ ἀναπίμπλησι τὸ σῶμα τῆς ταραχῆς.

ιβ.

Διὰ τί τῆς θαλάττης ἐλαίῳ καταῤῥαινομένης γίνεται καταφάνεια καὶ γαλήνη;

Πότερον (ὡς Ἀριςοτέλης φησί) τὸ πνεῦμα τῆς [3] λειότητος ἀπολισθαῖνον, ἀ ποιεῖ πληγὴν ἀδὲ σάλον; ἢ τᾶτο μὲν πιθανῶς εἴρηται πρὸς τὰ ἐκτός; ἐπεὶ δέ φασι, καὶ τὰς κατακολυμβῶντας, ὅταν ἔλαιον εἰς τὸ ςόμα λαβόντες ἐκφυσήσωσιν, ἐν τῷ βυθῷ φέγγος ἔχειν [4] καὶ δίοψιν, ἀκ ἔςιν ἐκεῖ πνεύματος ὄλιθον αἰτιάσασθαι. σκόπει δὴ, μὴ τὴν θάλατταν, γεώδη καὶ ἀνω-

1 Vulgo absunt ἢ ὅτι. Ea addidi cum W. ex Turn. V. Boug. Leonic. Schott.

2 Vulgo abest articulus ἡ. Addidi eum cum W. ex Pet. & B.

3 ante τῆς Turn. & V. praemittunt διά.

4 Turn. V. Petav. ἴσχειν exhibent, haud dubie corrigendo sic Ald. ἔσχειν.

ἀνώμαλον ἔσαν, ἐξωθεῖ καὶ διαςέλλει τῇ πυκνότητι τὸ ἔλαιον, εἶτ' ἀνατρεχέσης εἰς αὐτὴν καὶ συςελλομένης ἀπολείπονται πόροι μεταξὺ ταῖς ὄψεσι διαύγειαν καὶ καταφάνειαν διδόντες. ἢ φύσει μέν ἐςι φωτεινὸς ὑπὸ θερμότητος ὁ τῇ θαλάττῃ καταμεμιγμένος ἀὴρ, γίνεται δὲ ταραχθεὶς ἀνώμαλος καὶ σκιώδης; ὅταν ἔν τὴν ἀνωμαλίαν ἐπιλεάνῃ πυκνότητι τὸ ἔλαιον, ἀπολαμβάνει τὴν ὁμαλότητα καὶ τὴν διαύγειαν.

ιγ΄.

*Διὰ τί χειμῶνος μᾶλλον, ἢ θέρες, τὰ τῶν ἁλιέων σήπεται δίκτυα; καίτοι τά γ' ἄλλα μᾶλλον ἐν τῷ [1] θέρει τἕτο πάσχει.*

Πότερον (ὡς Θεόφραςος οἴεται) τῷ ψυχρῷ τὸ θερμὸν ὑποχωρἕν ἀντιπεριίςαται, καὶ θερμότερα ποιεῖ τὰ ἐν βάθει τῆς θαλάττης, ὥσπερ τῆς γῆς; διὸ καὶ τὰ πηγαῖα τῶν ὑδάτων χλιαρώτερα [2] τἕ χειμῶνός εἰσι, καὶ μᾶλλον ἀτμίζεσιν αἱ λίμναι καὶ οἱ ποταμοί· κατακλείεται γὰρ εἰς βάθος ἡ θερμότης ὑπὸ τἕ ψυχρἕ κρατήσαντος. ἢ σῆψις μὲν ἐκ ἔςι τῶν δικτύων, ὅταν δὲ φρίξῃ καὶ παγῇ διὰ τὸ ψῦχος ἀναξηραινόμενα καὶ θρυπτόμενα μᾶλλον ὑπὸ τἕ κλύδωνος, σήψει τινὶ καὶ μυδήσει πάσχει παραπλήσιον; καὶ γὰρ πονεῖ μᾶλλον ἐν κρύει, καθάπερ τὰ νεῦρα συντεινόμενα σπαράττεται, πλεονάκις ἐκταραττομένης διὰ τὸν χειμῶνα τῆς θαλάττης· διὸ καὶ σύφεσιν αὐτὰ ταῖς βαφαῖς καὶ πυκνἕσι, φοβέμενοι τὰς ἀναλύσεις· ἐπεὶ μὴ βαφέντα, μηδὲ χρισθέντα, μᾶλλον ἂν ἐλάνθανε τὲς ἰχθῦς· ἐνάερον γὰρ τὸ τἕ λίνε χρῶμα καὶ ἀπατηλὸν ἐν θαλάττῃ.

ιδ΄.

1 Restitui cum W. praepositionem ἐν, a Steph. & seqq. omissam ex Ald. Bas. Xyl. Venet. & ind. var. lect. Frft.

2 Pet. χλιαρώτατα.

ιδ'.

Διὰ τί Δωριεῖς εὔχονται [1] κακὴν χόρτε συγκομιδήν;

Ἢ κακῶς μὲν συγκομίζεται χόρτος ὑόμενος; κόπτεται γὰρ ἐ ξηρὸς, ἀλλὰ χλωρὸς, ὥςε σήπεται ταχὺ διάβροχος [2] γενόμενος· ὑόμενος δὲ πρὸ τε θέρες ὁ σῖτος βοηθεῖται πρὸς τὰ θερμὰ καὶ νότια πνεύματα· ταῦτα γὰρ ἐκ ἐᾷ πυκνωθῆναι συνιςάμενον ἐν τῷ ςάχυϊ τὸν καρπὸν, ἀλλ' ἐξίςησι καὶ διαχέει τῇ θερμότητι τὴν πῆξιν, ἂν μὴ βεβρεγμένης τῆς γῆς ὑγρότης παραμένῃ ψύχεσα καὶ νοτίζεσα τὸν ςάχυν.

ιέ.

Διὰ τί πυροφόρος ἡ πίων καὶ βαθεῖα χώρα, κριθοφόρος δὲ μᾶλλον ἡ λεπτόγεως;

Ἢ ὅτι τῶν σπερμάτων τὰ ἰσχυρὰ πλείονος τροφῆς δεῖται, τὰ δ' ἀσθενῆ λεπτῆς καὶ ἐλαφρᾶς; ἀσθενέςερον δὲ ἡ κριθὴ καὶ μανώτερον· ὅθεν ἐ φέρει τὴν πολλὴν τροφὴν καὶ βαρεῖαν· μαρτυρεῖ δὲ τῷ λόγῳ τέτῳ, πυρε τὸν τρίμηνον ἐν τοῖς ὑποξήροις φύεσθαι βέλτιον, ἀνοτώτερον [3] ὄντα, καὶ τροφῆς ἐλάττονος δεόμενον· διὸ καὶ συντελεῖται τάχιον.

ις'.

1 Ita cum W. dedi ex Turn. V. Bong. consentientibus B. E. Anon. Mez. Amiot. Psell. c. 147. pro vulg. ἔχονται. Idem quoque Kaltw. vertendo expressit. Pro Δωριεῖς, eodem notante, Amyot vertit *les laboureurs*. Num aliam cujusdam codicis lectionem secutus, incertum.

2 Cod. cujus nomen tacetur, διὰ βροχῆς.

3 Sic e mente Kaltw. dare non dubitavi pro vulg. ἀνοςότερον, quod a νόςος, reditus, derivandum, hic loci nil valet. Illud, quod a νότος proficiscitur, bene admittit significationem *succo carens*. De tritici genere, quod memoratur, cf. Plin. XVIII, 12. Columell. II, 6.

ιϛ'.

Διὰ τί λέγεται, σῖτον ἐν πηλῷ φυτεύετε, τὴν δὲ κριθὴν ἐν κόνει;

Πότερον (ὡς εἰρήκαμεν) ὁ μὲν δύναται πλείονος τροφῆς κατακρατεῖν, ἡ δὲ ἐ φέρει τὸ πολὺ καὶ κατακλύζον; ἢ πυκνὸς ὢν ὁ πυρὸς καὶ ξυλώδης, φύεται βέλτιον ἐν ὑγρῷ, μαλαττόμενος καὶ χαλώμενος· τῇ δὲ κριθῇ διὰ μανότητα σύμφορον ἐν ἀρχῇ τὸ ξηρότερον; ἢ διὰ θερμότητα σύμμετρος καὶ ἀβλαβὴς ἡ κρᾶσις [1], ψυχρότερον δὲ κριθή; ἢ φοβῦνται τὸν πυρὸν ἐν ξηρῷ τρίβειν διὰ τὲς μύρμηκας [2]; εὐθὺς γὰρ ἐπιτίθεται· τὰς δὲ κριθὰς ἧττον φέρονται· δυσβάςακτοι γάρ εἰσι καὶ δυσπαρακόμιςοι διὰ μέγεθος.

ιζ'.

Διὰ τί τῶν ἀῤῥένων ἵππων μᾶλλον ἢ τῶν θηλειῶν τὰς τρίχας εἰς τὴν ὁρμιὰν λαμβάνεσι;

Πότερον ὡς τοῖς ἄλλοις τὸ ἄῤῥεν τῦ θήλεος μέρεσι, καὶ ταῖς θριξὶν εὐτονώτερόν ἐςιν; ἢ μᾶλλον διὰ τὸ ἔρον οἴονται τὰς τρίχας τῶν θηλειῶν βρεχομένας γίνεσθαι χείρονας;

ιη'.

Διὰ τί τευθὶς φαινομένη σημεῖόν ἐςι μεγάλε χειμῶνος;

Ἢ πάντα φύσει τὰ μαλάκια δύσριγα, διὰ γυμνότητα τῆς σαρκὸς καὶ ψιλότητα, μήτ' ὀςράκῳ μήτε δέρ-

1. Haec ἢ διὰ θερμότητα — κρᾶσις, W. judice, non integra videntur.

2 Turn. V. Pet. μείρακας.

δέρματι μήτε λεπίδι σκεπομένης, ἀλλ' ἐντὸς ἐχούσης τὸ σκληρὸν καὶ ὀστεῶδες· διὸ καὶ κέκληται μαλάκια. ταχὺ δὴ προαισθάνεται δι' εὐπάθειαν τοῦ χειμῶνος· ὅθεν ὁ μὲν πολύπους εἰς γῆν ἀνατρέχει, καὶ τῶν πετριδίων ἀντιλαμβανόμενος σημεῖον ἐστι πνεύματος ὅσον ἤπω [1] παρόντος· ἡ δὲ τευθὶς ἐξάλλεται, φεύγουσα τὸ ψῦχος καὶ τὴν ἐν βάθει ταραχὴν τῆς θαλάττης· καὶ γὰρ ἔχει μάλιστα τῶν μαλακίων [2] εὔθρυπτον καὶ ἁπαλὸν τὸ σαρκῶδες.

## ιθ'.

### Διὰ τί τὴν χροιὰν ὁ πολύπους ἐξαλλάττει;

Πότερον (ὡς Θεόφραστος ᾤετο) δειλόν ἐστι φύσει ζῷον; ὅταν οὖν ταραχθῇ τρεπόμενον τῷ πνεύματι, συμμεταβάλλει τὸ χρῶμα [3], καθάπερ ἄνθρωπος· διὸ καὶ λέλεκται·

Τοῦ μὲν γάρ γε κακοῦ τρέπεται χρώς.

ἢ τοῦτο πρὸς τὴν μεταβολὴν πιθανῶς λέλεκται, πρὸς δὲ τὴν ἐξομοίωσιν οὐχ ἱκανῶς; μεταβάλλει γὰρ οὕτως, ὥστε τὴν χροιάν, αἷς ἂν πλησιάζῃ, πέτραις ὁμοιοῦν· πρὸς ὃ καὶ Πίνδαρος ἐποίησε.

Ποντίου θηρὸς χρωτὶ μάλιστα νόον προσφέρων.
Πάσαις πολίεσσιν ὁμιλεῖ [4].

καὶ Θέογνις·

Πουλύποδος νόον ἴσχε πολυχρόου [5], ὃς ποτὶ πέτρῃ,
Τῇ προσομιλήσει, τοῖος ἰδεῖν ἐφάνη.

τοῦτο δὴ καὶ τοὺς πανουργίᾳ καὶ δεινότητι ὑπερφέροντας

ἔχειν

1 Pro ἤπω Pet. οὔπω.

2 Plin. pisces hujus generis *molles* vocat, L. IX. c. 44.

3 Pet. τὸ σῶμα.

4 Cf. Schneid. Fr. Pindar. p. 60. Petav. προσφέρων.

5 E Turn. notatur πολύφονος, sine dubio vitiose pro πολύφρονος.

ἔχειν τὸ ἐπιτήδευμα λέγυσιν, ὡς ὑπὲρ τῦ λαθεῖν, καὶ διαφυγεῖν τὺς πλησίον, ἑαυτὺς ἀεὶ ἀπεικάζειν πολύποδι· ἢ καθάπερ [1] ἐσθῆτι τῇ χροιᾷ νομίζυσι χρῆσθαι, ῥᾳδίως ὕτως, ἣ βύλεται, μετενδυόμενον [2]. ἆρ' ὖν τὴν μὲν ἀρχὴν αὐτὸς ἐνδίδωσι τῦ πάθυς δείσας, τὰ δὲ κύρια τῆς αἰτίας ἐν ἄλλοις ἐςί; σκόπει δὴ, κατ' Ἐμπεδοκλέα·

Γνῦς, ὅτι πάντων εἰσὶν ἀπόῤῥοιαι, ὅσσ' ἐγένοντο.

ὐ γὰρ ζώων μόνον, ὐδὲ φυτῶν, ὐδὲ γῆς καὶ θαλάττης, ἀλλὰ καὶ λίθων ἄπεισιν [3] ἐνδελεχῶς πολλὰ ῥεύματα, καὶ χαλκῦ καὶ σιδήρυ· καὶ γὰρ φθείρεται πάντα καὶ ὄδωδε [4], τῷ ῥεῖν ἀεί τι καὶ φθείρεσθαι συνεχῶς· καὶ γὰρ ἕλξεις ἢ ἐπιπηδήσεις ποιῦσι ταῖς ἀποῤῥοίαις, οἱ μὲν ἐμπλοκὰς αὐτῶν, οἱ δὲ πληγὰς, οἱ δ' ὤσεις τινὰς καὶ περιελεύσεις ὑποτιθέμενοι. μάλιςα δὲ τῶν παράλων πετρῶν ἐπιῤῥαινομένων καὶ ψυχομένων [5] ὑπὸ τῆς θαλάττης, ἀπιέναι μέρη καὶ θραύσματα πολλὰ, καὶ λεπτὰ * συνεχῶς ἀτ * λοις ὐ προσε * σῶμα, ἀλλὰ λανθάνει [6] περιολισθαίνοντα τῶν πυκνοτέρυς ἐχόντων πόρυς,

1 W. cum Mez. legendum monet & vertit ὃν καθάπερ.

2 Turn. V. ἣν βύλονται μετενδυομένυς.

3 Petav. ἔπεισιν.

4 W. legendum cenſet & vertit: ὄλωλε; & deinde pro φθείρεσθαι mavult φέρεσθαι.

5 W. judice, aliud requirendum: forte ψηχομένων. Mez. γυττομένων.

6 Turn. V. hanc lacunam ex parte ita explent: ἃ τοῖς ἄλλοις ὐ προσέχεται σώμασιν, ἀλλὰ λανθάνει. Xyl. ſuſp. ἃ τοῖς ἄλλοις ὐ προσελθεῖν πρὸς τὸ σῶμα. Ὁ δὲ. W. ad latinam interpretationem Longolii, neſcius, an integrum in ſuo codice hunc locum habuerit, ita eum refingendum cenſet: λεπτὰ εἰκὸς συνεχῶς, ἃ τοῖς χρώμασιν ἀλλήλων διαφέροντα, τοῖς μὲν ἄλλοις ὐ προσίσχεται σώμασι, ἀλλὰ λανθ. Conſentiunt ex parte Amiot, & Mez.

πόρες, ἢ διεκθέοντα τῶν μανωτέρες. ὁ δὲ πολύπες τήν τε σάρκα προσιδεῖν αὐτόθεν ἀνθρηνιώδης [1], καὶ πολύπορος, καὶ δεκτικὸς ἀποῤῥοιῶν ἐστιν· ὅταν δὲ δείσῃ, τῷ πνεύματι τρεπόμενος καὶ τρέπων, οἷον ἔσφιγξε τὸ σῶμα καὶ συνήγαγεν, ὥστε προσδέχεσθαι [2] καὶ στέγειν ἐπιπολῆς τὰς τῶν ἐγγὺς ἀποῤῥοίας· καὶ γὰρ ἡ τραχύτης μετὰ τῆς μαλακότητος ἕλικας παρέχεσα τοῖς ἐπιφερομένοις μέρεσι μὴ σκεδαννυμένοις, ἀλλ' ἀθροιζομένοις, καὶ προσμένεσι σὺν χρῶ * τὴν ἐπιφά * τητα * τεκμήρι.ν δὲ [3] τῆς αἰτίας μέγα, τὸ μήτε τῦτον πᾶσιν [4] ἐξομοιῦσθαι τοῖς πλησίον, μήτε τὸν χαμαιλέοντα τοῖς λευκοῖς χρώμασιν, ἀλλὰ μόνοις ἑκάτερον, ὧν ταῖς ἀποῤῥοίαις πόρες συμμέτρες ἔχεσιν.

κ'.

Διὰ τίνα αἰτίαν τὸ τῶν ἀγρίων συῶν δάκρυον ἡδὺ, τὸ δὲ τῶν ἐλάφων ἁλμυρόν ἐστι καὶ φαῦλον;

Αἰτία δὲ θερμότης καὶ ψυχρότης τέτων, καὶ ψυχρὸν μὲν ὁ ἔλαφος, περίθερμον δὲ καὶ πυρῶδες ὁ σῦς· ὅθεν τὸ μὲν φεύγει, τὸ δ' αμύνεται τὲς ἐπιόντας, ὅτε καὶ μάλιστα διὰ τὸν θυμὸν ἐκβάλλει τὸ δάκρυον· πολλῆς γὰρ ἐπὶ τὰ ὄμματα θερμότητος φερομένης, ὡς εἴρηται,

Φρί-

1 Ita junctim legendum monuit Xyl. pro lectione Ald. & Baf. ἂν θρηνιώδης.

2 Ita jam in R. exhibetur, quod W. ex Pfello c. 145. Turn. V. Anon. Mez. recepit pro vulg. προδέχεσθαι. Mox idem ex iisdem, nec non ex B. & E. fumfit ἐπιπολῆς pro vulg. ἐπὶ πολλῆς. Jam Xyl. legi voluit ἐπ' ἐπιπολῆς, vel ἐπὶ πολύ.

3 Ex veftigiis fcripturæ & Longolii interpretatione W. legendum cenfet σύγχρεν αὐτῦ τὴν ἐπιφάνειαν τοῖς ἐγγύτατα ἐστι ἀπεργάζεται. Τεκμήριον δέ.

4 Ita cum W. ex Turn. & Bong. confentientibus Leonic. Jaunot. Schott. Amiot. & Xyl. vers. dedi pro vulg. πάσχειν.



BIBLIOTEKA
BIBLIOTEKA W ... UNIWERSYTECKA

Φρίξας εὖ λοφίην, πῦρ ὀφθαλμοῖσι δεδορκὼς [1],
γλυκὺ γίνεται τὸ ἀποτηκόμενον. ἔνιοι δέ φασιν, ὥσπερ γάλακτος ὀῤῥὸν, τοῦ αἵματος ταραχθέντος, ἐκκρέεσθαι τὸ δάκρυον, ὡς Ἐμπεδοκλῆς· ἐπεὶ τοίνυν τραχὺ [2] καὶ μέλαν τὸ τῶν κάπρων αἷμα διὰ θερμότητα, λεπτὸν δὲ καὶ ὑδαρὲς τὸ τῶν ἐλάφων, εἰκότως καὶ τὸ ἀποκρινόμενον ἐν [3] τοῖς θυμοῖς καὶ τοῖς φόβοις ἑκατέρου, τοιοῦτον.

κη.

*Διὰ τί τῶν ὑῶν αἱ μὲν ἥμεροι πλεονάκις τίκτουσι, καὶ κατ' ἄλλον ἄλλαι χρόνον, αἱ δ' ἄγριαι καὶ ἅπαξ, καὶ περὶ τὰς αὐτὰς ἅπασαι σχεδὸν ἡμέρας; αὗται δέ εἰσιν, ἀρχομένου θέρους· διὸ καὶ λέλεκται·*

Μηκέτι νυκτὸς ὕειν, ἧκεν τέκη ἀγροτέρη σῦς.

Ἢ διὰ πλῆθος τροφῆς, ὄντως [4] ἐν πλησμονῇ κύπρις; ἀφθονία γὰρ τροφῆς τὸ γόνιμον περίττωμα ποιεῖ καὶ φυτοῖς καὶ ζώοις· αἱ μὲν οὖν ἄγριαι δι' αὑτῶν καὶ μετὰ φόβου τὴν τροφὴν ζητοῦσι, ταῖς δὲ ἡμέροις ὑπάρχει διαπαντὸς, ἡ μὲν αὐτοφυὴς, ἡ δ' ἐκ παρασκευῆς. ἢ τὸ τῆς σχολῆς καὶ ἀσχολίας ἅμα συμμένον [5]; αἱ μὲν γὰρ ἀργοῦσι, μὴ βουλόμεναι πόῤῥω πλανᾶσθαι τῶν συφορβῶν, αἱ δ' ὀρειβατοῦσαι καὶ περιθέουσαι, τὴν τροφὴν διαφοροῦσι καὶ καταναλίσκουσιν εἰς τὸ σῶμα πᾶσαν· ὥστε ἢ διὰ τὸ ἀεὶ συνεῖναι, ἢ μὴ γίνεσθαι περίττωμα, ἢ καὶ τὸ

1 Odyss. XIX, 446.

2 W. susp. παχὺ, ut Longol. vertit. Eandem proponit conjecturam Kaltw.

3 abest ἐν a Petav.

4 W. monente, vel legendum καὶ ὄντως, vel cum Mez. ὄντως γάρ; A Petav. absunt ὄντως — τροφῆς.

5 Ald. Bas. συμμένων. Mez. corrigit ἅμα συμβαῖον; W. judice, hoc non satisfacit. Quærit idem, an ἅμα συναίτιον; quod ad sensum quidem melius, non item ad literarum ductum;

το συντρέφεσθαι [1] καὶ συναγελάζεσθαι τὰ θήλεα τοῖς ἄῤῥεσιν, ἀνάμνησιν ποιεῖ τῶν ἀφροδισίων, καὶ συνεκκαλεῖται τὴν ὄρεξιν· ὡς ἐπ' ἀνθρώπων Ἐμπεδοκλῆς ἐπ[οί]ησε·

Τῷ δέ τι καὶ πόθος εἶτε διὰ πέψεως ἀμμίσγων [2].

ἐν δὲ τοῖς ἀγρίοις, ἀποτρόφοις ὄσιν ἀλλήλων, τὸ ἄςοργον καὶ δυσεπίμικτον ἀμβλύνει καὶ ἀνασβέννυσι τὰς ὁρμάς. ἢ καὶ τὸ λεγόμενον ὑπ' Ἀριςοτέλους ἀληθές ἐςιν, ὅτι χλούνην Ὅμηρος [3] ὠνόμασε σῦν τὸν μονορχιν· τῶν γὰρ πλείςων [4] φησὶ προσκνωμένων τοῖς ςελέχεσι θρύπτεσθαι τοὺς ὄρχεις.

## κβ΄.

Διὰ τί τῆς ἄρκτου φασὶ τὴν χεῖρα γλυκυτάτην ἔχειν σάρκα καὶ [5] φαγεῖν ἡδίςην;

Ὅτι τὰ πέττοντα τὴν τροφὴν μάλιςα τοῦ σώματος παρέχει τὸ κρέας ἥδιςον, πέττει δὲ κάλλιςα τὸ διαπνέον, κινούμενον μάλιςα καὶ συγγυμναζόμενον, ὥσπερ



1 W. monente, transponenda haec videntur hunc in modum: ὥςε μὴ γίνεσθαι περίττωμα. Ἢ τὸ ἀεὶ συνεῖναι καὶ συντρέφεσθαι κ. σ. τ. θ. Pet. omittit ἢ, quod eſt poſt ὥςε; Kalt. obſcuritatem loci hac conjectura tollendam cenſet: ὥςε διὰ τὸ ἀεὶ κινεῖσθαι (pro συνεῖναι) μὴ γενέσθαι περίττωμα. ἢ —.

2 Pro πέψεως Longol. & Amiot. nec non Ricard. verterunt ὄψεως, quod ipſa ratio poſtulat. W. quaerit, an corrigendum: Τοῖς δέ τε καὶ πόθος εἷλε δι' ὄψεως ἀντ' ἀναμίσγων. Turn. τὸ δέ σοι; Pet. τὸ δέ τοι.

3 Iliad. IX, 535. cf. Ariſtot. Hiſt. anim. VI, 28.

4 V. τὸ γὰρ πλεῖςον.

5 Vulgo: Διὰ τί τὴν ἄρκτον φασι τὴν χεῖρα γλυκυτάτην ἔχειν, σάρκα δὲ φ. ἡ. Ald. & Pet. τῆς ἄρκτου; Baſ. τὰς ἄρκτου; Hinc Xyl. legit τὰς ἄρκτους; admiſſo autem τῆς ἄρκτου, expungi vult ἔχειν. Ex Turn. affertur σάρκα, φαγεῖν δὲ ἡδίςην, vel καὶ φαγεῖν ἡδίςην. Secutus ſum W. prius ſumentem ex E. B. Venet. poſterius e Turn.

ἡ ἄρκτος τῷ μέρει τέτῳ πλεῖςα κινεῖται· καὶ γὰρ ὡς ποσὶ τοῖς ἐμπροσθίοις βαδίζεσα χρῆται καὶ τρέχεσα, καὶ ὡς χερσὶν ἀντιλαμβανομένη.

κγ'.

Διὰ τί δυςίβευτος ἡ τῦ ἔαρος ὥρα;

Πότερον αἱ κύνες, ὥς φησιν Ἐμπεδοκλῆς,

Κέμματα θηρείων μελέων μυκτῆρσιν ἐρευνῶσαι [1],

τὰς ἀπ ῤῥοίας ἀναλαμβάνεσιν, ἃς ἐναπολείπει τὰ θηρία τῇ ὕλῃ, ταύτας δὲ τῦ ἔαρος ἐξαμαυρῦσι καὶ συγχέεσιν αἱ πλεῖςαι τῶν φυτῶν καὶ τῶν ὑλημάτων ὀσμαὶ, ὑπὲρ τὴν ἄνθησιν ὑπερχεόμεναι καὶ κεραννύμεναι, περιποτῶσι [2] καὶ διαπλανῶσι τὰς κύνας τῆς τῶν θηρίων ὀσμῆς ἐπιλαβέσθαι; διὸ περὶ τὴν Αἴτνην ἐν Σικελίᾳ φασὶ μηδένα κυνηγεῖν· πολὺ γὰρ ἀναφύεσθαι καὶ τεθηλέναι δι' ἔτες ἴον ὀρεινὸν [3] ἐν τοῖς λειμῶσι [4], καὶ τὸν τόπον εὐωδίαν ἀεὶ κατέχεσαν, ἁρπάζειν τὰς τῶν θηρίων ἀναπνοάς. λέγεται δὲ μῦθος, ὡς τὴν Κόρην ἐκεῖθεν ἀνθολογῦσαν ὁ Πλέτων ἀφαρπάσειε, καὶ διὰ τῦτο τιμῶντες καὶ σεβόμενοι τὸ χωρίον ὡς ἄσυλον, ἐκ ἐπιτίθενται τοῖς ἐκεῖ νεμομένοις.

κδ'.

1 Pro κέμματα Pet. σκέμματα; Venet. κλέμματα; Mez. κείματα. Cf. Vol. X, pag. 142.

2 Turn. V. Amiot. αἴπερ τὴν αἴσθησιν ὑ. κ. κ. περιαπατῶσι: W. judice, aliquanto melius vulgato, nec tamen ut recipiendum videretur.

3 Secutus sum W. sumentem ἴον pro vulg. οἶον ex V. Pet. B. E. Leonic. Schott Amiot Mez. Pro οἶον ὀρεινὸν Xyl. maluit ὀρίγανον; Mez. ὀρεινὸν mutandum censuit in εἰαρινόν. Kaltw. susp. pro Αἴτνην legendum esse Ἔνναν e consensu scriptorum de raptu Proserpinae, e. c. Diodor. V, 3. Cicer. in Verrem IV, 48.

4 Pro ἐν τοῖς λειμῶσι Turn. exhibet τινὰ λειμῶνα.

κδ'.

Διὰ τί περὶ τὰς πανσελήνȣς ἥκιστα ταῖς ἰχνοσκοπίαις ἐπιτυγχάνȣσιν;

Ἢ διὰ τὴν εἰρημένην αἰτίαν; δροσοβόλοι γὰρ αἱ πανσέληνοι· διὸ καὶ τὴν δρόσον ὁ Ἀλκμὰν Διὸς θυγατέρα καὶ σελήνης προσεῖπε, ποιήσας·

Διὸς θύγατερ ἔρσα τρέφει καὶ σελάνας δίας.

ἡ γὰρ δρόσος ἀσθενής ἐστι καὶ ὑδρανὴς ὄμβρος· ἀσθενὲς δὲ καὶ τὸ τῆς σελήνης θερμόν· ὅθεν ἕλκει μὲν ἀπὸ γῆς, ὥσπερ ὁ ἥλιος· ἄγειν δ' εἰς ὕψος μὴ δυναμένη, μηδ' ἀναλαμβάνειν, μεθίησιν.

κέ.

Διὰ τί τὸ δρόσιμον γενόμενον διὰ τȣ̃ ψύχȣς δυσίβευτον;

Πότερον ὅτι τὰ θηρία πόῤῥω τῶν κοιτῶν ὀκνȣ̃ντα προϊέναι διὰ τὸ κρύος, ȣ̓ πολλὰ ποιεῖ σημεῖα; διὸ καὶ φασὶν αὐτὰ φείδεσθαι τῶν πλησίον, ὅπως μὴ κακοπαθῇ πλανώμενα μακρὰν τȣ̃ χειμῶνος, ἀλλ' ἀεὶ ἐγγύθεν ἔχῃ νέμεσθαι. ἢ δεῖ μὴ μόνον ἔχειν ἴχνη τὸν στιβευόμενον τόπον, ἀλλὰ κινεῖν [1] τὴν ὄσφρησιν; κινεῖ δὲ λυόμενα καὶ χαλώμενα μαλακῶς ὑπὸ θερμότητος· ἡ δ' ἄγαν περίψυξις πηγνȣ̃σα τὰς ὀσμὰς, ȣ̓κ ἐᾶ ῥεῖν, ȣ̓δὲ κινεῖν τὴν αἴσθησιν. ὅθεν καὶ τὰ μύρα καὶ τὸν οἶνον ἧττον ὄζειν ψύχȣς καὶ χειμῶνος λέγȣσιν· ὁ γὰρ ἀὴρ πηγνύμενος ἵστησι τὰς ὀσμὰς ἐν αὐτῷ, καὶ ȣ̓κ ἐᾶ ἀναδίδοσθαι.



1 a Petav. absunt ἀλλὰ κινεῖν; idem deinde κινεῖν pro κινεῖ, & paulo post τὰς ὁρμὰς pro τὰς ὀσμάς.

κϛ΄.

Διὰ τί τὰ ζῶα τὰς βοηθȣ́σας δυνάμεις, ὅταν ἐν πάθει γένηται, ζητεῖ καὶ διώκει, καὶ χρώμενα πολλάκις ὠφελεῖται; καθάπερ αἱ κύνες ἐσθίȣσι πόαν, ἵνα τὴν χολὴν [1] ἐξεμȣ̃σιν· αἱ δὲ ὗες ἐπὶ τȣ̀ς ποταμίȣς καρκίνȣς φέρονται, βοηθȣ̃νται γὰρ ἐσθίȣσαι πρὸς κεφαλαλγίαν· ἡ δὲ χελώνη, φαγȣ̃σα τὴν σάρκα τȣ̃ ἔγχεως, ὀρίγανον ἐπεσθίει· τὴν δ' ἄρκτον λέγȣσιν ἀσωμένην [2], τȣ̀ς μύρμηκας ἀναλαμβάνειν τῇ γλώττῃ, καὶ καταπίνȣσαν ἀπαλλάττεσθαι· τȣ́των δ' ȣ̓́τε πεῖρα καὶ περίπτωσις γέγονεν αὐτοῖς.

Πότερον ȣ̓̃ν, ὥσπερ τὰ κηρία τὴν μέλιτταν τῇ ὀσμῇ, καὶ τὰ κενέβρια τὸν γύπα κινεῖ καὶ προσάγεται πόῤῥωθεν, ȣ̔́τως ȣ̓̃ν καὶ σῦς οἱ καρκῖνοι, καὶ τὴν χελώνην ἡ ὀρίγανος, αἱ δὲ μυρμηκίαι τὴν ἄρκτον ὀσμαῖς καὶ ῥεύμασι προσφερέσι καὶ οἰκείοις ἕλκȣσιν, ȣ̓ λογισμῷ τȣ̃ συμφέροντος ἀγȣ́σης τῆς [3] αἰσθήσεως; ἢ τὰς ὀρέξεις ἐπιφέρȣσι τοῖς ζώοις αἱ τῶν σωμάτων κράσεις, ἃς αἱ νόσοι ποιȣ̃σι [4], διαφόρȣς δριμύτητας, ἢ γλυκύτητας, ἤ τινας

ἄλλας

1 Vulgo ἐσθίȣσαι, ἢ ὅταν καὶ χολὴν. Hinc Xyl. legendum notavit ἐσθίȣσι πόαν, ἵνα χολὴν — collatis locis Aelian. H. A. l. 8. c. 9 & l. 5. c. 46. & ipſius Plutarchi in comparatione terreſtrium & aquatilium beſtiarum. Ex Pet. aſſertur ὅταν τὴν χολὴν, & e Turn. ἐσθίȣσαι βοτάνην τινὰ, χολὴν ἐξεμȣ̃σιν. W. dedit ἐσθίȣσαι πόαν ἵνα τὴν χ. adnotatis hisce: „Sic Xyl. ſine τὴν, quod ſumſi ab E. qui habet ἢ ὅταν τὴν. Nam vulgo eſt ἢ ὅταν καὶ, quod & ceteri habent, exceptis Jannot. τὴν πόαν: & Mez. πόαν, χολὴν ἐξεμȣ̃σαι. Forte etiam corrigendum ἐσθίȣσι.“

2 Ald. Baſ. Pet. E. μασσωμένην; B. μασωμένην. Xyl. & Salmas. correxerunt ἀσωμένην, quod cum W. dedi, duce ipſo Plutarch. l. c. Steph. a Jannot. Leonic. Schott. ſumſit ἀσσωμένην, quod vulgo legitur. Vid. Valckenar. ad Nov. T. p. 341.

3 abeſt τῆς a Petav.

4. Vulgo κράσεις, αἳ νοσοποιȣ̃σι. W. legendum cenſuit vel,

ἃς

ἄλλας ἐντίκτεσαι ποιότητας ἀήθεις καὶ ἀτόπες, τῶν ὑγρῶν τρεπομένων; ὡς δῆλόν ἐςιν ἐπὶ τῶν γυναικῶν, ὅταν κύωσι [1], καὶ λίθες καὶ γῆν προσφερουένων· διὸ καὶ τῶν νοσέντων ταῖς ὀρέξεσιν οἱ χαρίεντες ἰατροὶ προΐσασι τὲς ἀσώτως ἢ σωτηρίως ἔχοντας. ἱςορεῖ ἐν Μνησίθεος ἰατρὸς, ἐν ἀρχῇ πνευμονίας τὸν ἐπιθυμήσαντα κρομμύων, σώζεσθαι· τὸν δὲ σύκων, ἀπόλλυσθαι· διὰ τὸ ταῖς κρᾶσεσι τὰς ὀρέξεις, τὰς δὲ κράσεις τοῖς πάθεσιν ἕπεσθαι [2]. πιθανὸν ἐν ἐςι, καὶ τῶν θηρίων τὰ μὴ παντελῶς ὀλεθρίοις μηδ' ἀναιρετικοῖς περιπίπτοντα νοσήμασι, ταύτην τὴν διάθεσιν καὶ κρᾶσιν ἔχειν, ὑφ' ἧς ἐπὶ τὰ σώζοντα φέρεται καὶ ἄγεται ταῖς ὀρέξεσιν ἕκαςον αὐτῶν.

κζ'.

Διὰ τί τὸ γλεῦκος, ἂν ὑπὸ ψύχες περιέχηται τὸ ἀγγεῖον, γλυκὺ διαμένει πολὺν χρόνον;

Πότερον ὅτι πέψις ἐςὶ τῆ γλεύκες ἡ εἰς τὸ οἰνῶδες μεταβολή, κωλύει δὲ τὴν πέψιν ἡ ψυχρότης; ὑπὸ θερμῆ γὰρ ἡ πέψις. ἢ τὐναντίον, οἰκεῖος ἐςι τῆς ςαφυλῆς χυμὸς ὁ γλυκύς; διὸ καὶ πεπαίνεσθαι λέγεται τὸ γλυκὺ κιρνάμενον [3]. ἡ δὲ ψυχρότης, ἐκ ἐῶσα διαπνεῖν, ἀλλὰ συνέχεσα τὸ θερμὸν, τὴν γλυκύτητα διατηρεῖ τῆ γλεύκες· αὕτη δέ ἐςιν αἰτία, καὶ τῶν τρυγωμένων ὄμβρῳ τὸ γλεῦκος ἧττον ἀναζεῖν· ἡ γὰρ

 ζέσις

ας αἱ νόσοι ποιῆσι; vel plenius, τὰς δὲ κράσεις αἱ νόσοι ποιῆσι, sententia ita postulante, ut e proximis apparet. Prius recipere non dubitavi.

1 W. notat, Lennep. ad Phalar. p. 115. corrigendum censuisse κιττῶσι, quod se tenuisse addit, si extaret in codicibus, nunc absens non requirere.

2 Petav. ἔπεσθαι.

3 Praestare γινόμενον, vel γίνεσθαι ἀρχόμενον, notat W.

ζέσις ὑπὸ θερμότητος, τὴν δὲ θερμότητα κατέχει καὶ συςέλλει τὸ ψυχρόν.

κη.

Διὰ τί τῶν θηρίων ἡ ἄρκτος ἥκιςα διεσθίει τὰ δίκτυα, καίτοι καὶ λύκοι καὶ ἀλώπεκες διεσθίουσι;

Πότερον ἐνδοτάτω τοὺς ὀδόντας ἔχουσα τοῦ χάσματος ἥκιςα πρὸς τὰ λίνα ἐξικνεῖται; προεμπίπτει γὰρ τὰ χείλη διὰ πάχος καὶ μέγεθος. ἢ μᾶλλον ἰσχύουσα ταῖς χερσὶ, ῥήγνυσι καὶ διασπᾷ τὸν βρόχον; ἢ καὶ ταῖς χερσὶν ἅμα χρῆται καὶ τῷ ςόματι; ταῖς μὲν διασπῶσα τὸ λίνον, τῷ δ' ἀμυνομένη τοὺς διώκοντας· οὐδενὸς δὲ ἧττον αὐτῇ βοηθοῦσιν αἱ περικαλινδήσεις· διὸ μᾶλλον ἡ διασπᾶν [1] τὰ λίνα πραγματευομένη, πολλάκις ἐκκυβιςᾷ, καὶ σώζεται * ἀμὴ καὶ δέοι ἡ τῶν ὀδόντων [2].

κθ'.

Τίς ἡ αἰτία, δι' ἣν τὰ ψυχρὰ τῶν ὑδάτων οὐ θαυμάζομεν, ἀλλὰ τὰ θερμά; καίτοι δῆλον, ὅτι θερμότης αἰτία τούτων, ὡς ψυχρότης, ἐκείνων.

Οὐ γὰρ (ὡς ἔνιοι νομίζουσιν) ἡ μὲν θερμότης δύναμίς ἐςιν, ἡ δὲ ψυχρότης ςέρησις θερμότητος· ἐπεὶ πλεόνων αἴτιον ἐφαίνετο [3] τὸ μὴ ὂν τοῦ ὄντος. ἀλλ' ἔοικε

1 W. susp. δι' ὧν μᾶλλον διασπᾷν.

2 Xyl. susp. ἵνα μὴ καὶ δέοι τῶν ὀδ. In B. fine hiatu legitur, σώζεται, καὶ διὰ τοῦτο οὐκ ἐσθίει τοῖς ὀδοῦσιν, quod W. veretur ne sit a correctore, ipse e vestigiis vulgatae suspicans σώζεται πρὸς ἃ δὴ καὶ δεῖ ἧττον ὀδόντων, cum pro ἡ τῶν Leonic. Schott. Coll. Mur. Turn. V. habeant ἧττον.

3 Vulgo ἐπὶ πλίον ἓν αἴτιον φαίνεται τὸ μ. ὄν. Secutus sum W. conjecturam — *ita enim id quod non est plurium rerum esset causa, quam id quod est.* E Turn. notatur ἐπὶ πλειόνων. Ad eandem lectionem propius accedit Ald. ἐπὶ πλίον ὧν.

ἔοικε τῷ σπανίῳ τὸ θαυμάσιον ἡ Φύσις νέμεσα, πῶς γίνεται ζητεῖν τὸ μὴ πολλάκις γινόμενον.

'Ορᾷς τὸν ὑψȣ τόνδ' ἄπειρον αἰθέρα,

Καὶ γῆν πέριξ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις;

ὅσα μὲν ἔρχεται Φέρων θεάματα νυκτὸς, ὅσον δὲ μεθ' ἡμέραν κάλλος ἀναδείκνυσιν, οἱ πολλοὶ [1] τὴν τȣ́των Φύσιν· ἴριδες δὲ καὶ ποικίλματα νεΦῶν ἡμέρα καὶ σέλα [2] ῥηγνύμενα πομΦόλυγος δίκην κεκόσμηται [3].

λ'.

Διὰ τί τῶν ἀμπέλων τὰς ἀκάρπȣς * μωσι * νευτο * ἀσραγαν * μέν [4];

Ἢ ὅτι τῶν [5] τράγων οἱ σΦόδρα πίονες ἧττόν εἰσι γόνιμοι, καὶ μόλις ὑπὸ πιμελῆς οχεύȣσι; τὸ γὰρ σπέρμα περίττωμα τῆς τροΦῆς ἐςι τῆς τῷ σώματι προστιθεμένης· ὅταν ȣ̃ν ἢ ζῶον, ἢ δένδρον, εὐεκτῇ καὶ παχύνηται, τȣ̃το σημεῖόν ἐςι τȣ̃ τὴν τροΦὴν ἐν ἑαυτῷ καταναλισκομένην μηθὲν ἢ μικρὸν τι καὶ ἀγενὲς περίττωμα ποιεῖν.



1 Locus mutilatus, W. judice ad hanc fere rationem supplendus: οἱ δὲ πολλοὶ τὴν τȣ́των Φύσιν ȣ̓ πάνυ θαυμάζȣσι· προσάγονται δὲ αὐτȣ̀ς μᾶλλον ἴριδες καὶ ποικίλματα νεΦῶν —. Post Φύσιν Turn. & Bong addunt νεΦελῶν.

2 Restitui ex Ald. Bas. Xyl. Pet. pro vulg. σέλας, cum W. pro ἡμέρα legendum monente ἡμέρας.

3 W. susp ejusmodi forte fuisse veterem scripturam: πομΦόλυγοι δίκην νυκτός· οἷ μᾶλλον νομίζȣσι τὸν ȣ̓ρανὸν κεκοσμῆσθαι.

4 W notante, ita haec ad integritatem revocanda videntur: Διὰ τί τῶν ἀμπέλων τὰς ἀκάρπȣς, τοῖς δὲ ἀκρέμοσι καὶ ἔρνεσιν εὐτροΦȣ́σας τραγᾶν λέγομεν, coll. Aristot. Gener. Animal I. 18, — *cur vites steriles, sed ramis & frondibus vigentes, dicimus* τραγᾶν? Eundem sensum expressit Kaltw. Ex Petav. effertur ἀκάρπȣς καὶ μόσχευμα τραγᾶν, vel τῶν τράγων λέγȣσι.

5 Lacunam, quae vulgo est ante τῶν, explevit W. addendo ἢ ὅτι ex B.

## λα.

### Διὰ τί ἄμπελος οἴνῳ ῥαινομένη, μάλιστα τῷ ἐξ αὐτῆς, ἀναξηραίνεται;

Πότερον, ὥσπερ ἐν τοῖς πολυπόταις γίνεται φαλάκρωσις, ὑπὸ θερμότητος τοῦ οἴνου τὸ ὑγρὸν ἐξατμίζοντος; ἢ φύ[1] * τὸ οἰνῶδές ἐστιν, ὥς φησιν Ἐμπεδοκλῆς,

Οἶνος ἀπὸ φλοιοῦ [2] πέλεσθαι σαπὲν ἐν ξύλῳ ὕδωρ:

ὅταν οὖν ἔξωθεν οἴνῳ βρέχηται, γίνεται πῦρ ἀμπέλῳ [3], καὶ τοῦ τρέφοντος * δύναμιν [4] ἐξίστησιν ἡ κρᾶσις. ἢ στυπτικὴν φύσιν ἔχων ὁ ἄκρατος ἐνδύεται ταῖς ῥίζαις, καὶ τοὺς πόρους συναγαγὼν καὶ πυκνώσας, οὐ διίησι τὸ ὕδωρ εἰς τὸ φυτὸν καὶ εὐθαλῆ [5], καὶ βλαστάνειν πέφυκεν; ἢ καὶ τοῦτο μᾶλλον εἶναι [6] τῇ ἀμπέλῳ παρὰ φύσιν, τὸ ἐξ αὐτῆς ἀπιὸν εἰς αὐτὴν ἐπανιὸν πάλιν δέχεσθαι· τῆς γὰρ ἐν τοῖς φυτοῖς ὑγρότητος ἤθει, καί τι τρέφειν [7], μηδὲ προστίθεσθαι, μηδὲ μέρος εἶναι τοῦ φυ- **

λείπει [8].

1 Kaltw. legendum fufp. *φύσει σηπτὸν* vel *σηπτικόν*; W. ad eundem fenfum *φύσει πέψις καὶ σῆψις τ. οἰ. ἐ. aut putrefaciendi vim habet id quod vinofum eft.*

2 Cf. fupra quaeft. II. Pro *πέλεσθαι* Turn. V. *πέλεται*.

3 W. fufp. *γίνεται πῦρ ἐπὶ πῦρ τῇ ἀμπέλῳ.*

4 W. fufp. *τρέφοντός ἐστι φθορά· ὥσπερ αὖ τοὐναντίον, τὴν τοῦ οἴνου δύναμιν —— vimque nutrientem abolet: ficuti contra, vim vini corrumpit mixtura aquae.*

5 W. legendum monet, *ᾧ εὐθαλεῖν*, eo ducente Pfello c. 151. Ex Turn. & V. notatur *ᾧ καὶ θαλεῖν*, vel *καὶ ἢ θάλλειν*.

6 W. mavult *μᾶλλόν ἐστι.*

7 Turn. V. *ἔστι τι μηδὲ τρέφειν, μηδὲ πρ.* W. notat, Pfellum in omnia alia abire, nec in libris aliquid effe auxilii. Hanc autem fuiffe veterem fcripturam fufpicatur: *τῆς γὰρ ἐκτὸς τοῖς φυτοῖς ὑγρότητος ἐνδεῖ εἰς τροφήν· μηδὲ προστίθεσθαι μηδὲν μέρος οἷόντε τοῦ φύσαντος ἅπαξ ἀπηλλαγμένον ——.*

8 W. adnotat: „ita librarii in omnibus noftris libris notarunt. Una Longolii latina verfio, facta e codice Mediolanenfi, & hanc fuo fine integram, & infuper octo habet quaeftiones.“

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΠΕΡΙ ΤΟΥ

## ΕΜΦΑΙΝΟΜΕΝΟΥ ΠΡΟΣΩΠΟΥ

## ΤΩΙ

## ΚΥΚΛΩΙ ΤΗΣ ΣΕΛΗΝΗΣ [1].

Ο μὲν ὖν Σύλλας, ταῦτα, εἶπε, τῷ γ' ἐμῷ μύθῳ [2] προσήκει, κἀκεῖθέν ἐςι· ἀλλ' εἰ δή τι πρὸς τὰς ἀνὰ χεῖρα ταύτας καὶ διὰ ςόματος πᾶσι δόξας περὶ τῦ προσώπυ τῆς σελήνης προσανευρέσαθε, πρῶτον ἡδέως ἂν μοι δοκῶ πυθέσθαι. Τί δ' ὐκ ἐμέλλομεν, εἶπον, ὑπὸ τῆς ἐν τύταις ἀπορίας ἐπ' ἐκείνας [3] ἀπωθέντες; ὡς γὰρ οἱ ἐν νοσήμασι χρονίοις πρὸς τὰ κοινὰ βοηθήματα καὶ τὰς συνήθεις διαίτας ἀπειπόντες, ἐπὶ καθαρμὲς καὶ περίαπτα καὶ ὀνείρυς τρέπονται, ὕτως ἀναγκαῖον ἐν δυσθεωρήτοις καὶ ἀπόροις σκέψεσιν, ὅταν οἱ κοινοὶ καὶ ἔνδοξοι καὶ συνήθεις λόγοι μὴ πείθωσι, πειρᾶσθαι τῶν ἀτοπωτέρων, καὶ μὴ καταφρονεῖν, ἀλλ' ἐπᾴδειν

1 Perſonae colloquii ſunt Lamprias, Apollonides, Lucius, Pharnaces, Sylla, Theon, Ariſtoteles.

2 Vulgo hujus libelli initium hoc fuit: Ὁ μὲν ὖν Σύλλας ταῦτα εἶπε. τῷ γὰρ ἐμῷ μύθῳ προσήκει, κἀκεῖθέν ἐςιν. ἀλλὰ δεῖ τι πρὸς τὰς — προσανακρύεσθαι· πρῶτον ἡδ. — Hinc Xyl. librum initio carere notavit, aliis quoque pluribus locis mutilatum. W. autem, quem ſecutus ſum, exordii in correctiorem formam redacti, aut nullam, aut non ita magnam partem periiſſe cenſet. Ex E. ſumſit ἀλλ' εἰ; reliqua correxit ex conjecturae probabilitate, monens, pro τῷ γ' ἐμῷ μύθῳ potuiſſe quoque corrigi τῷ παρ' ἐμοὶ μύθῳ, & προσανεκρύσασθε pro vulgato non fuiſſe opus. Pro δεῖ τι, quod olim legebatur Turn. τί δεῖ.

3 W. ſuſp. ταύταις — ἐκείνας; poſtremum habet Anon.

ᾄδειν ἀτεχνῶς ἑαυτοῖς τὰ τῶν παλαιῶν, καὶ διὰ πάντων τἀληθὲς ἐξελέγχειν.

II. Ὁρᾷς γὰρ εὐθὺς, ὡς ἄτοπος ὁ λέγων, τὸ φαινόμενον εἶδος [1] ἐν τῇ σελήνῃ πάθος εἶναι τῆς ὄψεως, ὑπεικούσης τῇ λαμπρότητι δι' ἀσθένειαν, ὃ * καλοῦμεν [2]. οὐ συνορῶν, ὅτι πρὸς τὸν ἥλιον ἔδει τοῦτο γίνεσθαι μᾶλλον, ὀξὺν ἀπαντῶντα καὶ πλήκτην· ὥς που καὶ Ἐμπεδοκλῆς τὴν ἑκατέρων ἀποδίδωσιν οὐκ ἀηδῶς διαφοράν·

Ἥλιος ὀξυβελὴς, ἠ δ' αὖ ἱλάειρα σελήνη [3],

τὸ ἐπαγωγὸν αὐτῆς καὶ ἱλαρὸν καὶ ἄλυπον οὕτω προσαγορεύσας· ἔπειτα λόγον ἀποδιδοὺς, καθ' ὃν αἱ ἀμυδραὶ καὶ ἀσθενεῖς ὄψεις οὐδεμίαν διαφορὰν ἐν τῇ σελήνῃ μορφῆς ἐνορῶσιν, ἀλλὰ λεῖος αὐταῖς ἀντιλάμπει καὶ περίπλεως αὐτῆς ὁ κύκλος, οἱ δ' ὀξὺ καὶ σφοδρὸν ὁρῶντες, ἐξακριβοῦσι μᾶλλον, καὶ διασέλλουσιν ἐκτυπούμενα τὰ εἴδη τοῦ προσώπου, καὶ τῆς διαφορᾶς ἅπτονται σαφέστερον· ἔδει γὰρ (οἶμαι) τοὐναντίον, εἴπερ ἡττωμένου πάθος [4] ὄμματος ἐποίει τὴν φαντασίαν, ὅπου τὸ πάσχον ἀσθενέστερον, σαφέστερον εἶναι τὸ φαινόμενον [5]. ἡ δ' ἀνω-

1 Pro τὸ φαιν. εἶδ. Turn. τὸ καλούμενον πρόσωπον.

2 Xyl. ὃ ἀμβλυώττειν καλοῦμεν; Turn. ὅπερ ἀνάκλασιν, vel ἀνακλᾶσθαι, καλοῦμεν; Anon. quoque ἀνάκλασιν. W. fufp. inferendum μαραυγεῖν.

μὲν [1] εὐθὺς πρὸς ἡμᾶς * ἀνατρέχουσιν, αἱ δ' ἐπὶ θάτερα μέρη τῶν κατόπτρων ὀλισθαίνουσαι, πάλιν ἐκεῖθεν ἀναφέρονται πρὸς ἡμᾶς, ὃ δυνατόν ἐστιν, ἐν ἴσαις γωνίαις γίνεσθαι πάσας ἀνακλάσεις, ὅσας [2] ὁμόσε χωροῦντες ἀξιοῦσιν αὐτοῖς τοῖς ἀπὸ τῆς σελήνης ἐπὶ γῆν φερομένοις ῥεύμασι τὴν ἰσότητα τῶν γωνιῶν ἀναιρεῖν, πολλῷ τοῦτο ἐκείνου πιθανώτερον εἶναι νομίζοντες. οὐ μὴν ἀλλ' εἰ δεῖ τοῦτο χαρίζεσθαι τῇ πολλὰ δὴ φίλῃ γεωμετρίᾳ καὶ δοῦναι, πρῶτον μὲν ἀπὸ τῶν ἠκριβωμένων ταῖς λειότησι συμπίπτειν ἐσόπτρων εἰκός ἐστιν· ἡ δὲ σελήνη πολλὰς ἀνωμαλίας ἔχει καὶ τραχύτητας, ὥστε τὰς αὐγὰς ἀπὸ σώματος μεγάλου προσφερομένας ὕψεσιν ἀξιολόγοις, ἀντιλάμψεις καὶ διαδόσεις ἀπ' ἀλλήλων λαμβάνουσιν, ἀνακλᾶσθαί τε παντοδαπῶς καὶ περιπλέκεσθαι, καὶ συνάπτειν αὐτὴν ἑαυτῇ τὴν ἀνταύγειαν, οἷον ἀπὸ πολλῶν φερομένην πρὸς ἡμᾶς κατόπτρων. ἔπειτα κἂν πρὸς αὐτῇ τῇ σελήνῃ τὰς ἀνακλάσεις ἐν ἴσαις γωνίαις ποιῶμεν, οὐκ ἀδύνατον, φερομένας ἐν διαστήματι τοσούτῳ τὰς αὐγὰς, κλάσεις ἴσχειν καὶ περιολισθήσεις, ὡς συγκεῖσθαι [3] καὶ λάμπειν τὸ φῶς. ἔνιοι δὲ καὶ δεικνύουσι γράφοντες, ὅτι πολλὰ τῶν φώτων ἐπὶ γῆν ἀφίησι κατὰ γραμμῆς [4] ὑπὸ τὴν κεκλιμένην ὑποταθείσης· σκευωρεῖσθαι

1 absunt duae voculae αἱ μὲν ab Ald. & Baſ. Deinde W. aut nihil excidiſſe notat, aut ἀπὸ τῶν κατόπτρων.

2 W. notante dubium non eſt, quin adſit vitium: ſed quale ſit, non liquet. Exempl. Turn. Leonic. Schott. Anon. ἀνακλάσεις ὥστε ὁμόσε χωρ.: quod a correctoris manu eſſe videtur. Ad veram ſcripturam propius accedit haec W. conjectura: ἀνακλάσεις ὅσαι ὁμόσε χωροῦνται. Εἰσὶ δὲ καὶ οἱ ἀξιοῦσιν —.

3 Praeſtat, W. judice, συγχεῖσθαι.

4 Sic corrigere neceſſe duxi ob ſeq. ὑποταθείσης. Vulgo κατὰ γραμμήν. E Turn. quidem notatur ὑποταθεῖσαν. W. ſuſp. κατὰ γραμμῆς ὑπὸ τὴν κεκλασμένην ὑποταθείσης, & quaerit, num ἐπὶ γῆν mutandum in αὐγήν? Deinde pro λέγοντι Turn. λέγουσι.

ρεῖσθαι δὲ ἅμα λέγοντι διάγραμμα, καὶ ταῦτα πρὸς πολλὰς, ἐκ ἐνῆν.

XVIII. Τὸ δ' ὅλον, ἔφη, θαυμάζω, πῶς τὴν διχότομον ἐφ' ἡμᾶς κίνεσιν, ἐμπίπτεσαν [1] μετὰ τῆς αμφικύρτε καὶ τῆς μηνοειδᾶς. εἰ γὰρ αἰθέριον ὄγκον ἢ πύρινον ὄντα τὸν τῆς σελήνης ἐφώτιζεν ὁ ἥλιος, ἐκ ἂν ἀπέλιπεν αὐτῇ [2] σκιερὸν ἀεὶ καὶ ἀλαμπὲς ἡμισφαίριον πρὸς αἴσθησιν, ἀλλ' εἰ καὶ κατὰ μικρὸν ἔψαυε περιιὼν [3], ὅλην ἀναπίμπλαθαι, καὶ δι' ὅλης τρέπεθαι [4] τῷ φωτὶ πανταχόσε χωρᾶντι δι' εὐπετείας, ἦν προσῆκον. ὅπε γὰρ οἶνος, ὕδατος θίγων κατὰ πέρας, καὶ ςαγὼν αἵματος εἰς ὑγρὸν ἐμπεσόντος, ἀνέχρωσε πᾶν αἷμα [5] * φοινιχθέν· αὐτὸν δὲ τὸν αέρα λέγεσιν, ἐκ ἀπορροίαις τισὶν, ἐδ' ἀκτῖσι μεμιγμέναις, ἀλλὰ τροπῇ καὶ μεταβολῇ κατὰ νύξιν ἢ ψαῦσιν ἐξηλιεσθαι [6]. πῶς ἄςρον ἄςρε καὶ φῶς φωτὸς ἀψάμενον οἴονται μὴ κεράννυθαι, μηδὲ σύγχυσιν ποιεῖν δι' ὅλε καὶ μεταβολὴν, ἀλλ' ἐκεῖνα φωτίζειν μόνον, ὧν ἅπτεται κατὰ τὴν ἐπιφάνειαν; ὃν γὰρ ὁ ἥλιος περιιὼν κύκλον ἄγει καὶ περιςρέφει πρὸς τὴν σελήνην, νῦν μὲν ἐπιπίπτοντα τῷ διορίζοντι τὸ ὁρατὸν αὐτῆς καὶ τὸ ἀόρατον, νῦν δ' ἀνιςάμενον πρὸς ὀρθὰς, ὥςε



1 W. susp. ἐκπίπτεσαν, & vertit: *cum haec eadem ratione pereat cum gibbosa & cum falcata.*

2 W. legi mavult αὐτῆς.

3 Ald. Bas. Xyl. B. E. περὶ ὧν. Steph. ex Leonic. sumsit περιών, quod vulgo legitur. Dando περιιὼν secutus sum W. qui tamen id reponi mavult ante ἀπέλιπεν.

4 Dedi sic e Turn. Anon. Amiot. cum W. Vulgo τρίφεθαι.

5 Ex Turn. & V. citatur αἵματι (haud dubie pro αἷμά τι) vel ἅμα. W. judice lacuna videtur ex earum esse genere, quae debentur suspicioni librariorum aliquid excidisse putantium, & nil requirendum, si legas πᾶν ἅμα φοινιχθέν.

6 Secutus sum W. ita ex E. sumentem, quocum B. consentit excepto ἐξηλιεσθαι. Vulgo κατάνυξιν ἀπὸ τε φωτὸς ἐξηλλοιεσθαι. Etiam e Turn. & V. notatur κατὰ νύξιν.

τέμνειν ἐκεῖνα ὑπ' ἐκείνης τε τέμνεσθαι [1] ἄλλαις κλίσεσι καὶ σχίσεσι τοῦ λαμπροῦ πρὸς τὸ σκιερὸν, ἀμφικύρτους καὶ μηνοειδεῖς ἀποδιδόντα μορφὰς ἐν αὐτῇ, παντὸς μᾶλλον ἐπιδείκνυσιν [2] οὐ σύγκρασιν, ἀλλ' ἐπαφὴν, οὐδὲ σύλλαμψιν, ἀλλὰ περίλαμψιν αὐτῆς ὄντα τὸν φωτισμόν. ἐπεὶ δ' οὐκ αὐτὴ φωτίζεται μόνον, ἀλλὰ καὶ δεῦρο τῆς αὐγῆς ἀναπέμπει τὸ εἴδωλον, ἔτι καὶ μᾶλλον ἰσχυρίσασθαι τῷ λόγῳ περὶ τῆς οὐσίας δίδωσιν. αἱ γὰρ ἀνακλάσεις γίνονται πρὸς οὐδὲν ἀραιὸν, οὐδὲ λεπτομερές· οὐδέ ἐστι φῶς ἀπὸ φωτὸς, ἢ πῦρ ἀπὸ πυρὸς ἀφαλλόμενον, νοῆσαι [3] ῥάδιον· ἀλλὰ δεῖ τὸ ποιῆσον ἀντιτυπίαν τινὰ καὶ κλάσιν ἐμβριθὲς εἶναι καὶ πυκνὸν, ἵνα πρὸς αὐτὸ πληγὴ καὶ ἀπ' αὐτοῦ φορὰ γένηται. τὸν γοῦν αὐτὸν ἥλιον ὁ μὲν ἀὴρ διίησιν [4], οὐ παρέχων ἀνακοπὰς, οὐδ' ἀντερείδων, ἀπὸ δὲ ξύλων καὶ λίθων καὶ ἱματίων εἰς φῶς τιθεμένων πολλὰς ἀντιλάμψεις καὶ περιλάμψεις ἀποδίδωσιν. οὕτω δὲ καὶ τὴν γῆν ὁρῶμεν ὑπ' αὐτοῦ φωτιζομένην· οὐ γὰρ εἰς βάθος, ὥσπερ ὕδωρ, οὐδὲ δι' ὅλης, ὥσπερ ἀὴρ, διίησι τὴν αὐγήν· ἀλλ' οἷος τὴν σελήνην περιέχει κύκλος αὐτοῦ [5], καὶ ὅσον ὑποτέμνεται μέρος ἐκείνης [6], τοιοῦτος ἕτερος περίεισι [7] τὴν γῆν, καὶ τοσοῦτο φωτίζων ἀεὶ, καὶ ἀπολείπων

1 Ald. Bas. ὥστε τέμνειν ἐκεῖναι ὑπ' ἐκείνῃ τὸ τέμνεσθαι ἄλλαις. E Turn. V. Bong. notatur ἐκείνας τε ὑπ' ἐκείνῃ. B. & E omittunt τὸ, quod delevi cum W. legendum monente τέμνεσθαι, τοτὲ δ' ἄλλαις.

2 Vulgo ἐπιδεικνύουσιν. Corrigendum putavi; praeeunte vers. Xyl. & probante W.

3 Vulgo ἢ νοῆσαι. W. ἢ delendum monuit.

4 Sic jam in R. correctum legitur, quod W. hic loci & infra sumsit ex B. E. Turn. V. Anon. pro vulg. δίησιν.

5 Ald. Bas. αὐτῶν; Turn. & V. αὐτήν.

6 Sic cum W. dedi ex Ald. Bas. Xyl. B. E. pro vulg. ἐκεῖνος.

7 Sic in R. correctum legitur, quod W. ex B. & E. sumsit pro vulg. περίησι.

λείπων ἕτερον ἀφώτιστον· ἡμισφαιρίου γὰρ ὀλίγῳ δοκεῖ μεῖζον εἶναι [1] τὸ περιλαμπόμενον ἑκατέρας· δότε δή μοι γεωμετρικῶς εἰπεῖν πρὸς ἀναλογίαν, ὡς, εἰ, τριῶν ὄντων, οἷς τὸ ἀφ' ἡλίου φῶς πλησιάζει, γῆς, σελήνης, ἀέρος, ὁρῶμεν, οὐχ ὡς ὁ ἀὴρ μᾶλλον, ἢ [2] ὡς ἡ γῆ, φωτιζομένην τὴν σελήνην, ἀνάγκη φύσιν ἔχειν ὁμοίαν, ἃ τὰ αὐτὰ πάσχειν ὑπὸ τοῦ αὐτοῦ πέφυκε.

XIX. Ἐπεὶ δὲ πάντες ἐπῄνεσαν τὸν Λεύκιον· Εὖ γε, ἔφην, ὅτι καλῷ λόγῳ καλὴν ἀναλογίαν προσέθηκας· οὐ γὰρ ἀποστερητέον σε τῶν ἰδίων. κἀκεῖνος ἐπιμειδιάσας· Οὐκοῦν, ἔφη, καὶ δεύτερον ἀναλογίᾳ προσχρηστέον, ὅπως μὴ τῷ [3] τὰ αὐτὰ πάσχειν ὑπὸ τοῦ αὐτοῦ μόνον, ἀλλὰ καὶ τῷ ταὐτὰ ποιεῖν ταὐτὸν, ἀποδείξωμεν τῇ γῇ τὴν σελήνην προσεοικυῖαν. ὅτι μὲν γὰρ οὐδὲν οὕτως τῶν περὶ τὸν ἥλιον γενομένων ὅμοιόν ἐστιν, ὡς ἔκλειψις ἡλίου δύσει, δότε μοι, ταύτης ἔναγχος τῆς συνόδου μνησθέντες, ἣ [4] πολλὰ μὲν ἄστρα πολλαχόθεν τοῦ οὐρανοῦ διέφηνεν εὐθὺς ἐκ μεσημβρίας ἀρξαμένη, κρᾶσιν δὲ, οἵαν τὸ λυκαυγὲς, τῷ ἀέρι παρέσχεν· εἰ δὲ μὴ, Θέων ἡμῖν οὗτος τὸν Μίμνερμον [5] ἐπάξει καὶ τὸν Κυδίαν [6] καὶ τὸν Ἀρχίλοχον, πρὸς δὲ τούτοις τὸν Στη-

1 Addidit εἶναι, quod vulgo abest, W. ex B. & E.

2 W. notat, dubiam esse hanc lectionem, & suspicatur legendum: ἀὴρ, μᾶλλον δὲ —. Idem vertendo expressit Kaltw.

3 Vulgo hoc loco abest τῷ. Restitui id e Bas. Legi mavult W. τῷ ταὐτά.

4 Secutus sum W. ita ex E. dantem pro vulg. ἢ. Bas. Xyl. ἢ — ἀρξαμένη.

5 Ald. Ἐργομίμναμον; Turn. Ἐργομίμνερμον; Bas. Μίμνερμον absque articulo, quem Steph. addidit.

6 Quis hic Cydias sit, qui inter nobiles poëtas citatur, se nescire Xyl. fatetur. Kaltw. susp. nomen hoc esse corruptum ex Κερκιδᾶς, qui jamborum poeta fuit & Arcadum legislator, cujus meminit Aelian. Var. H. XIII, c. 20. Cf. Nota Perizonii ad h. l. alibi quoque ejusdem nominis corruptionem emendantis. Citatur hic Plut. locus a Schneidero fragm. Pindar. p. 43.

Στησίχορον καὶ τὸν Πίνδαρον, ἐν ταῖς ἐκλείψεσιν ὀλοφυρομένους τὸν Φανερώτατον [1] κλεπτόμενον, καὶ μέσῳ ἄματι [2] νύκτα γενομένην, καὶ τὴν ἀκτῖνα τοῦ ἡλίου σκότους ατραπὸν [3] * Φάσκοντας· ἐπὶ πᾶσι δὲ τὸν Ὅμηρον, νυκτὶ καὶ ζόφῳ τὰ πρόσωπα [4] κατέχεσθαι τῶν ἀνθρώπων [5] λέγοντα, καὶ τὸν ἥλιον ἐξαπολωλέναι τοῦ οὐρανοῦ [6] περὶ τὴν σελήνην, καὶ * τοῦτο γίνεσθαι πέφυκε [7] τοῦ μὲν Φθίνοντος μηνὸς, τοῦ δὲ ἱσαμένου. τὰ λοιπὰ δ' οἶμαι ταῖς μαθηματικαῖς ἀκριβείαις εἰς τὸν [8] * ἐξῆχθαι καὶ βέβαιον· ὡς ἥ γε νὺξ ἐσὶ σκιὰ γῆς, ἡ δ' ἔκλειψις τοῦ ἡλίου, σκιὰ σελήνης, ὅταν ἡ ὄψις ἐν αὐτῇ [9] γένηται. δυόμενος γὰρ, ὑπὸ τῆς γῆς ἀντιφράττεται [10] πρὸς τὴν ὄψιν· ἐκλιπὼν δὲ, ὑπὸ τῆς σελήνης· ἀμφότεραι δέ εἰσιν ἐπισκοτήσεις· ἀλλ' ἡ μὲν δυτικὴ, τῆς γῆς· ἡ δ' ἐκλειπτικὴ, τῆς σελήνης, τῇ σκιᾷ καταλαμβανούσης [11] τὴν ὄψιν. ἐκ δὲ τούτων εὐθεώ-

1 W. addendum susp. θεόν.

2 Ald. ἅμα τὴν νύκτα γινόμενον. Bas. ἅμα νύκτα γινόμενον. Vulgo ἅμα τὴν νύκτα γενομένην. Ex Leonic. & Schott. reposuit W. ἅματι, quod in ἄματι corrigendum censui ab ἆμαρ, dorice pro ἦμαρ. Interpretamentum ejus est, quod pro μέσῳ notatur e Turn V. & Bong. μέση ἡμέρα.

3 Post ἀτραπὸν deesse monet Xyl. ὑποδῦναι, aut simile verbum. W. judice forte nil excidit: ad sententiae quidem absolutionem nil requirendum.

4 Ita ex ipso Homero (Odyss. XX, 352.) reponendum monuit Xyl. pro vulg. τὰ πρῶτα, dedique cum W.

5 Turn. V. τὸν ἄνθρωπον.

6 Odyss. XX, 357. & deinde, XIV, 162; XIX, 307.

7 Inter καὶ & τοῦτο frustra esse asteriscum, Xyl. notat. W. susp. καὶ περὶ τὴν Σελήνης σύνοδον τοῦτο γίνεσθαι πεφυκέναι. Postremam vocem habent Turn. V. Bong. Anon.

8 W. susp. εἰς τὸν ἀσφαλῆ λόγον ἐξῆχθαι.

9 Secutus sum W. ita ex E. dantem pro vulg. ἐν ἑαυτῇ.

10 Sic restitui pro ἀντιφράττεσθαι, quod est in Frst. & R.

11 Secutus sum W. ita ex E. sumentem pro vulg. καταλαμβανούσῃ.

θεώρητον τὸ γινόμενον. εἰ γὰρ ὅμοιον τὸ πάθος, ὅμοια τὰ ποιȣ̃ντα· τῷ γὰρ αὐτῷ τὰ αὐτὰ συμβαίνειν ὑπὸ τῶν αὐτῶν ἀναγκαῖόν ἐςιν. εἰ δ᾽ ἐχ ȣ̓́τω τὸ περὶ τὰς ἐκλείψεις σκότος βύθιόν ἐςιν, ȣ̓δὲ ὁμοίως τῇ νυκτὶ πιέζει τὸν ἀέρα, μὴ θαυμάζωμεν· ȣ̓σία μὲν γὰρ ἡ αὐτὴ τȣ̃ τὴν νύκτα ποιȣ̃ντος καὶ τȣ̃ τὴν ἔκλειψιν σώματος, μέγεθος δ᾽ ȣ̓κ ἴσον. ἀλλ᾽ Αἰγυπτίȣς μὲν ἑβδομηκοςόδυον οἶμαι φάναι μόριον εἶναι [1] τὴν σελήνην, Ἀναξαγόραν δὲ, ὅση Πελοπόννησος· Ἀρίςαρχος δὲ τὴν διάμετρον τῆς σελήνης λόγον ἔχȣσαν ἀποδείκνυσιν, ὃς ἐλάττων μὲν, ἢ ἑξήκοντα πρὸς δεκαεννέα, μείζων δέ πως ἑκατὸν ὀκτὼ πρὸς τεσσαράκοντα τρία ἐςίν. ὅθεν ἡ μὲν γῆ παντάπασι τῆς ὄψεως τὸν ἥλιον ἀφαιρεῖται διὰ μέγεθος· Μεγάλη γὰρ ἡ ἐπιπρόσθησις, καὶ χρόνον ἔχȣσα τὸν τῆς νυκτός· ἡ δὲ σελήνη κἂν ὅλον ποτὲ κρύψῃ τὸν ἥλιον, ȣ̓κ ἔχει χρόνον ȣ̓δὲ πλάτος ἡ ἔκλειψις, ἀλλὰ περιφαίνεταί τις αὐγὴ περὶ τὴν ἴτυν, ȣ̓κ ἐῶσα βαθεῖαν γενέσθαι τὴν σκιὰν καὶ ἄκρατον. Ἀριςοτέλης δὲ ὁ παλαιὸς αἰτίαν τȣ̃ πλεονάκις τὴν σελήνην ἐκλείπȣσαν ἢ τὸν ἥλιον καθορᾶσθαι, πρὸς ἄλλαις τισὶ καὶ ταύτην ἀποδίδωσιν· ἥλιον γὰρ ἐκλείπειν σελήνης ἀντιφράξει. σελήνην δὲ [2], * ὁ δὲ Ποσειδώνιος ὁριζόμενος ȣ̓́τως τόδε τὸ πάθος [3], ἔκλειψίς ἐςιν

1 Post εἶναι Turn. & V. inserunt γῆς. W. ex iisdem & Anon. notat τῆς γῆς, addens, cogitatione id posse suppleri.

2 Xyl. vertendo inseruit γῆς. Idem expressit Amiot. & addidit, ac si scriptum fuisset, ἣν πολὺ μείζονα ȣ̓̃σαν πλεονάκις ἀποκρύπτειν τὴν σελήνην. W. id ex conjectura profectum esse putat, & probabiliter ad sententiam. Simul suspicatur, his continuata fuisse ut partem Aristotelicae sententiae, ἐκείνοις γὰρ μόνοις —— πρὸς τὸν ἥλιον.

3 Vulgo ȣ̓́τως· τὸ δὲ τὸ πάθος ἔκλειψις W. distinctione locum expeditiorem reddidit. Monet autem simul, forte altius latere vitium, cujus medicina a fonte Posidonii sit petenda, ex quo sua hauserit Cleomedes L. II. p. 481. ut legendum videatur, ὁρισάμενος, ὅτι τόδε τὸ πάθος τῆς ὄψεως ἐςὶν ἐχ ἡλίȣ, καὶ σύνodos

ἐςιν ἡλίȣ σύνοδος σκιᾶς σελήνης, ἧς τὴν ἔκλειψιν, * ἐκείνοις γὰρ μόνοις ἔκλειψίς ἐςιν, ὧν ἂν ἡ σκιὰ τῆς σελήνης καταλαβȣ̃σα τὴν ὄψιν ἀντιφράξαι πρὸς τὸν ἥλιον· ὁμολογῶν δὲ, σκιὰν τῆς σελήνης φέρεσθαι πρὸς ἡμᾶς, ȣ̓κ οἶδα, ὅ τι λέγειν ἑαυτῷ καταλέλοιπεν· ἄςρȣ δὲ σκιὰν ἀδύνατον γενέσθαι· τὸ γὰρ ἀφώτιςον σκιὰ λέγεται· τὸ δὲ φῶς ȣ̓ ποιεῖ σκιὰν, ἀλλ' ἀναιρεῖν πέφυκεν.

XX. Ἀλλὰ τί δὴ (ἔφη) μετὰ τȣ̃το τῶν τεκμηρίων ἐλέχθη; Κἀγώ· Τὴν αὐτὴν (ἔφην) ἐλάμβανεν ἡ σελήνη ἔκλειψιν [1]. Ὀρθῶς (εἶπεν) ὑπέμνησας· ἀλλὰ δὴ πότερον ὡς πεπεισμένων [2] ὑμῶν καὶ τιθέντων, ἐκλείπειν τὴν σελήνην ὑπὸ τȣ̃ σκιάσματος ἁλισκομένην, ἤδη τρεπόμεθα [3] πρὸς τὸν λόγον, ἢ βȣ́λεσθε, μελέτην ποιήσωμαι καὶ [4] ἀπόδειξιν ὑμῖν τῶν ἐπιχειρημάτων ἕκαςον ἀπαριθμήσας [5]; Νὴ Δία (εἶπεν ὁ Θέων) τȣ́τοις ἐμμελέτησον· ἐγὼ δὲ πειθȣ̃ς τινος δέομαι, ταύτῃ μόνον ἀκηκοὼς, ὡς, ἐπὶ μίαν εὐθεῖαν [6] τῶν τριῶν σωμάτων γινομένων, γῆς καὶ ἡλίȣ καὶ σελήνης, αἱ ἐκλείψεις συντυγχάνȣσιν· ἡ γὰρ γῆ τῆς σελήνης, ἢ πάλιν ἡ σελήνη τῆς γῆς ἀφαιρεῖται τὸν ἥλιον· ἐκλείπει γὰρ ȣ̃τος μὲν σελήνης, σελήνη δὲ γῆς ἐν μέσῳ τῶν τριῶν ἱςαμένης· ὧν γίνεται τὸ μὲν ἐν συνόδῳ, τὸ δ' ἐν διχομηνίᾳ [7]. καὶ

ὁ

* οδος σκιᾷ σελήνης, ἣν δὴ ἔκλειψιν Ἡλίȣ καλȣ̃μεν· ὁμολογῶν γε —.

1 Sanum, nec ne, sit, non statuit W. ferri posse addens ea, quam reddiderit, sententia: *Et ego, Eandem, inquam, Luna defectus causam accepit.*

2 Ita cum W. dedi e Turn. V. accedentibus E. & Anon. pro vulg. πεποιημένων.

3 Ald. Bas. Xyl. B. E. τρέπονται. Steph. ex Leonic. Schott. Anon. dedit τρέπομαι. W. mavult τρέπωμαι, aut τρεπόμεθα, quod ex Turn. recepi.

4 Sic W. ex E. dedit. Vulgo μελέτην ποιήσωμεν ἀπόδειξιν.

5 Turn. ἀπαριθμῆσαι.

6 Vulgo ἐπὶ μίαν μὲν εὐθεῖαν. Delevi μὲν, W. jubente.

7 Ita W. dedit ex B. & E., & legendum jam viderat Corsin. Fast. Att. I, p. 62. Vulgo διχοτομίᾳ.

ὁ Λεύκιος ἔφη· Σχεδὸν μέντοι τῶν λεγομένων κυριώτατα ταῦτ' ἐςι· πρόλαβε δὲ πρῶτον, εἰ βέλει, τὸν ἀπὸ τȣ̃ σχήματος τῆς σκιᾶς λόγον· ἐςι γὰρ κῶνος [1], ὥτε καὶ μεγάλȣ πυρὸς ἢ φωτὸς σφαιροειδȣ̃ς ἐλάττονα, σφαιροειδῆ δὲ, περιβάλλοντος ὄγκȣ· ὅθεν ἐν ταῖς ἐκλείψεσι τῆς σελήνης αἱ περιγραφαὶ τῶν μελαινομένων πρὸς τὰ λαμπρὰ τὰς ἀποτομὰς περιφερεῖς ἴσχȣσιν· ἃς γὰρ ἂν ςρογγύλον ςρογγύλῳ προσμίξαν [2], ἢ δέξηται τομὰς ἢ παράσχῃ, πανταχόσε χωρȣ̃σαι, δι' ὁμοιότητα γίνονται κυκλοτερεῖς. δεύτερον οἶμαί σε γινώσκειν, ὅτι σελήνης μὲν ἐκλείπει πρῶτα μέρη τὰ πρὸς ἀπηλιώτην, ἡλίȣ δὲ τὰ πρὸς δύσιν, κινεῖται δὲ ἡ μὲν σκιὰ τῆς γῆς ἐπὶ τὴν ἑσπέραν ἀπὸ τῶν ἀνατολῶν, ἥλιος δὲ καὶ σελήνη τȣ̓ναντίον ἐπὶ τὰς ἀνατολάς· ταῦτα γὰρ ἰδεῖν τε παρέχει τῇ αἰσθήσει τὰ φαινόμενα, κᾀκ λόγων ȣ̓ πάνυ τοι μακρῶν μαθεῖν ἐςιν· ἐκ δὲ τȣ́των ἡ αἰτία βεβαιȣ̃ται τῆς ἐκλείψεως. ἐπεὶ γὰρ ἥλιος μὲν ἐκλείπει καταλαμβανόμενος, σελήνη δ' ἀπαντῶσα τῷ ποιȣ̃ντι τὴν ἔκλειψιν, εἰκότως, μᾶλλον δ' ἀναγκαίως, ὁ μὲν [3] ὄπισθεν ἁλίσκεται πρῶτον [4], ἡ δ' ἔμπροσθεν· ἄρχεται γὰρ ἐκεῖθεν ἡ ἐπιπρόσθησις, ὅθεν πρῶτον μὲν ἐπιβάλλει τὸ ἐπιπροσθȣ̃ν· ἐπιβάλλει δ' ἐκείνῳ [5] μὲν ἀφ' ἑσπέρας ἡ σελήνη πρὸς αὐτὸν ἁμιλλωμένη, ταύτῃ δ' ἀπὸ τῶν ἀνατολῶν, ὡς πρὸς τȣ̓ναντίον ὑποφερομένη. τρίτον

1 Sic Xyl. re ipſa docente legendum monuit pro vulg. *κοινὸς*, & dedi cum W.

2 Secutus ſum W. ita ex B. & E ſumentem pro vulgari lectione mendoſiſſima: *αἱ γὰρ ἂν ςρογγύλȣ προσμιξίαι.* Ald. Baſ. *πρὸς μίξαν*; Turn. V. *προσμιξίαν* vel *πρόσμιξιν.*

3 Vulgo *τὸ μὲν.* Id corrigere neceſſe duxi ex W. & Kaltw. ſententia.

4 Vulgo adjecta fuit particula *μὲν*, quam delendam cenſui W. probante.

5 Sic Kaltw. monente reſtitui pro vulg. *ἐκεῖνο*, quod eſt in Frſt. & R.

τον τοίνυν ἔτι τὸ τᾶ χρόνα λαβὲ [1] καὶ τὸ τᾶ μεγέθες τῶν ἐκλείψεων αὐτῆς. ὑψηλὴ μὲν ἐκλείπεσα καὶ ἀπόγειος ὀλίγον ἀποκρύπτεται [2] χρόνον, πρόσγειος δὲ καὶ ταπεινὴ αὐτὸ τᾶτο παθᾶσα, σφόδρα πιέζεται, καὶ βραδέως ἐκ τῆς σκιᾶς ἄπεισι· καίτοι ταπεινὴ μὲν ᾖσα, τοῖς μεγίστοις χρῆται κινήμασιν, ὑψηλὴ δὲ τοῖς ἐλαχίστοις. ἀλλὰ τὸ αἴτιον ἐν τῇ σκιᾷ τῆς διαφορᾶς ἐστιν· εὐρυτάτη γὰρ ᾖσα περὶ τὴν βάσιν, ὥσπερ οἱ κῶνοι, συστελλομένη τε κατὰ μικρὸν, εἰς ὀξὺ τῇ κορυφῇ καὶ λεπτὸν ἀπολήγει πέρας. ὅθεν ἡ σελήνη ταπεινὴ μὲν ἐμπεσᾶσα, τοῖς μεγίστοις λαμβάνεται κύκλοις ὑπ' αὐτῆς, καὶ διαπερᾷ τὸ βύθιον καὶ σκοτωδέστατον· ἄνω δὲ, οἷον ἐν τενάγει, διὰ λεπτότητα τᾶ σκιερᾶ χρανθεῖσα, ταχέως ἀπαλλάττεται. παρίημι δὲ ὅσα χωρὶς ἰδίᾳ [3] πρὸς τὰς βάσεις καὶ τὰς διαφορήσεις ἐλέχθη· καὶ γὰρ ἐκεῖναι μέχρι γε τᾶ ἐνδεχομένα προσίενται τὴν αἰτίαν. Ἀλλ' ἐπανάγω πρὸς τὸν ὑποκείμενον λόγον, ἀρχὴν ἔχοντα τὴν αἴσθησιν. ὁρῶμεν γὰρ, ὅτι πῦρ ἐκ τόπα σκιερᾶ διαφαίνεται καὶ διαλάμπει μᾶλλον, εἴτε παχύτητι [4] τᾶ σκοτώδες ἀέρος, ᾶ δεχομένα τὰς ἀποῤῥεύσεις καὶ διαχύσεις, ἀλλὰ συνέχοντος ἐν ταυτῷ τὴν ἐσίαν καὶ σφίγγοντος· εἴτε τῆς αἰσθήσεως τᾶτο πάθος ἐστὶν, ὡς τὰ θερμὰ παρὰ τὰ ψυχρὰ θερμότερα, καὶ τὰς ἡδονὰς παρὰ τὰς πόνες σφοδροτέρας, ᾶτω τὰ λαμπρὰ φαίνεσθαι παρὰ τὰ σκοτεινὰ φανερὰ, τοῖς διαφόροις πάθεσιν ἀντεπιτείνοντα τὴν

1 Addidit λαβὲ, quod vulgo abest, W. ex E. Pro ἔτι Kaltw. legit ἐστί.

2 Sic W. dedit ex E. & marg. B. Vulgo ἀπολείπεται.

3 Vulgo ἰδίας. W. correxit ex B. & E. unde simul addidit, quae sequuntur usque ad αἴσθησιν. Vulgo enim post ἰδίας statim legitur ὁρῶμεν γάρ. Locus a Xyl. asterisco fuit notatus. In rell. edd. nullum apparet lacunae signum.

4 Ald. B. E. ἐπὶ ταχύτητι; Baf. Xyl. ἐπί παχύτητι. Steph. ex Leonic. & Schott. dedit εἴτε, relicta voce ταχύτητι, quam W. iterum mutavit in παχύτητι.

ϛην φαντασίαν. ἔοικε δὲ πιθανώτερον εἶναι τὸ πρότερον· ἐν γὰρ ἡλίῳ πᾶσα πυρὸς φύσις ȣ̓ μόνον τὸ λαμπρὸν ἀπόλλυσιν, ἀλλὰ τῷ εἴκειν γίνεται δύσεργος καὶ ἀμβλυτέρα· σκίδνησι γὰρ ἡ θερμότης καὶ διαχέει τὴν δύναμιν. εἴπερ ȣ̓ν ἡ σελήνη πυρος εἴληχε βληχρȣ̃ καὶ ἀδρανȣ̃ς, ἄϛρον ȣ̃σα θολερώτερον, ὥσπερ αὐτοὶ λέγȣσιν, ȣ̓θὲν, ὧν πάσχȣσα φαίνεται νῦν, ἀλλὰ τὰ ἐναντία πάντα, πάσχειν αὐτὴν προσῆκόν ἐϛι, φαίνεσθαι μὲν, ὅτε κρύπτεται, κρύπτεσθαι δὲ, ὁπηνίκα φαίνεται· τȣτέϛι, κρύπτεσθαι μὲν τὸν ἄλλον χρόνον ὑπὸ τȣ̃ περιέχοντος αἰθέρος ἀμαυρȣμένην, ἐκλάμπειν δὲ καὶ γίνεσθαι καταφανῆ δι' ἓξ μηνῶν, καὶ παλιν διὰ πέντε τῇ σκιᾷ τῆς γῆς ὑποδυομένην. αἱ γὰρ πέντε καὶ ἑξήκοντα καὶ τετρακόσιαι περίοδοι τῶν ἐκλειπτικῶν πανσελήνων, τὰς τέσσαρας καὶ τετρακοσίας ἑξαμήνȣς ἔχȣσι, τὰς δ' ἄλλας πενταμήνȣς. ἔδει τοίνυν διὰ τοσȣ́των χρόνων φαίνεσθαι τὴν σελήνην ἐν τῇ σκιᾷ λαμπρυνομένην. ἡ δὲ ἐν * [1] μὲν ἐκλείπει καὶ ἀπόλλυσι τὸ φῶς, ἀναλαμβάνει δ' αὖθις, ὅταν ἐκφύγῃ τὴν σκιὰν, καὶ φαίνεταί γε πολλάκις ημέρας, ὡς πάντα μᾶλλον, ἢ πύρινον ȣ̃σα σῶμα καὶ ἀϛεροειδές.

XXI. Εἰπόντος δὲ τȣ̃το τȣ̃ Λευκίȣ, συνεξέδραμον ἅμα πως τῷ [2] * ὅ τε Φαρνάκης καὶ ὁ Ἀπολλωνίδης· εἶτα τȣ̃ Ἀπολλωνίδȣ παρέντος [3], ὁ Φαρνάκης εἶπεν, ὅτι τȣ̃το καὶ μάλιϛα τὴν σελήνην δείκνυσιν ἄϛρον ἢ πῦρ ȣ̃σαν· ȣ̓ γάρ ἐϛι παντελῶς ἄδηλος ἐν ταῖς ἐκλείψεσιν, ἀλλὰ διαφαίνει τινὰ χρόαν ἀνθρακώδη καὶ βλοσυρὰν, ἥτις ἴδιός ἐϛιν αὐτῆς. ὁ δ' Ἀπολλωνίδης ἐνέϛη

1 E Turn. & V. affertur ἡ δὲ ἐν σκιᾷ. Idem W. interponendum censet.

2 Turn. & V. lacunam explent vocabulo αὐτῷ. W. judice excidit λόγῳ.

3 Sic W. dedit, ut jam vertendo correxerat Xyl. — *concedente dicendi partes Apollonide* —. Vulgo παρόντος.

ἐνέστη περὶ τῆς σκιᾶς· ἀεὶ γὰρ οὕτως ὀνομάζειν τοὺς [1] μαθηματικοὺς τὸν ἀλαμπῆ τόπον, σκιάν τε μὴ δέχεσθαι τὸν οὐρανόν. ἐγὼ δὲ τοῦτο μὲν, ἔφην, πρὸς τοὔνομα μᾶλλον ἐριστικῶς, ἢ πρὸς τὸ πρᾶγμα φυσικῶς καὶ μαθηματικῶς ἐνισταμένους [2]· τὸν γὰρ ἀντιφραττόμενον ὑπὸ τῆς γῆς τόπον εἰ μὴ σκιάν τις ἐθέλοι καλεῖν, ἀλλ' ἀφεγγὲς χωρίον, ὅμως ἀναγκαῖον ἐν αὐτῷ τὴν σελήνην γενομένην [3] *. καὶ ὅλως, ἔφην, εὔηθές ἐστιν, ἐκεῖ μὴ φάναι τῆς γῆς ἐξικνεῖσθαι τὴν σκιὰν [4], * ἡ σκιὰ τῆς σελήνης ἐπιπίπτουσα τῇ ὄψει, καὶ * πρὸς τὴν γῆν ἔκλειψιν ἡλίου ποιεῖν. πρὸς σὲ δὲ, ὦ Φαρνάκη, τρέψομαι· τὸ γὰρ ἀνθρακῶδες ἐκεῖνο καὶ διακαὲς χρῶμα τῆς σελήνης, ὃ φὴς ἴδιον αὐτῆς εἶναι, σώματός ἐστι πυκνότητα καὶ βάθος ἔχοντος· οὐθὲν γὰρ ἐθέλει τοῖς ἀραιοῖς [5] ὑπόλειμμα φλογὸς οὐδ' ἴχνος ἐμμένειν, οὐδ' ἔστιν ἄνθρακος γένεσις, ὅπου μὴ [6] στερέμνιον σῶμα, δεξάμενον διὰ βάθους τὴν πύρωσιν καὶ σῶζον [7]· ὥς που καὶ Ὅμηρος εἴρηκεν·

Αὐτὰρ

1 ante τὰς vulgo fuit lacuna, quam W. sustulit auctoritate codicis E. At Turn. & Anon. inserunt πάντα. Inter τόπον & σκιὰν in E. est spatium trium fere literarum.

2 W. legendum censet ἐνισταμένου, scil. ἐστί, ut vertit Xyl.

3 W. judice, aut excidit σκοτοῦσθαι, aut μᾶλλον λάμπειν καὶ διαφαίνεσθαι, quod ex Turn. V. Anon. affertur; aut simile quid.

4 Turn. post hanc vocem inserit ὅπου, & deinde post ὄψει καὶ cum V. διήκουσα. Anon. consentit. W. judice vix dubium, quin locus ita sit explendus. Tunc pro ποιεῖν reponendum ποιεῖ.

5 Ita Xyl. legendum monuit pro vulg. ἀρχαίοις, dedique cum W. consentientibus Exempl. Turn. Amiot. & una Graecolat. 1624. E Turn. & V. affertur Ἀχαιοῖς.

6 Vulgo ἀνθρακογένεσις, οὐ μήν. Xyl. legendum monuit ὅπου μὴ pro οὐ μήν. Secutus sum W. ita de suo dantem.

7 Vulgo omnes libri monstrose σέλων. Xyl. σῶζον dandum monuit, dedique cum W.

Αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύσατο δὲ φλὸξ
Ἀνθρακιὴν ϛορέσασα [1].

ὁ γὰρ ἄνθραξ ἔοικεν ὁ πῦρ ἀλλὰ σῶμα πεπυρωμένον εἶναι, καὶ πεπονθὸς ὑπὸ πυρὸς, ϛερεῷ καὶ ῥίζαν ἔχοντι προσμένοντος ὄγκῳ καὶ προσδιατρίβοντος· αἱ δὲ φλόγες ἀραιᾶς εἰσὶν ἔξαψις καὶ ῥεύματα τροφῆς καὶ ὕλης, ταχὺ δι' ἀσθένειαν ἀναλυομένης. ὥϛ' ἐδὲν ἂν ὑπῆρχε τῦ [2] γεώδη καὶ πυκνὴν εἶναι τὴν σελήνην ἕτερον ἕτως ἐναργὲς τεκμήριον, εἴπερ αὐτῆς ἴδιον ἦν, ὡς χρῶμα, τὸ ἀνθρακῶδες. ἀλλ' ἐκ ἔϛιν, ὦ φίλε Φαρνάκη, πολλὰς γὰρ ἐκλειπέσας χρόας ἀμείβει [3], καὶ διαιρῦσιν αὐτὰς ἕτως οἱ μαθηματικοὶ κατὰ χρόνον καὶ ὥραν ἀφορίζοντες· ἂν ἀφ' ἑσπέρας ἐκλείπῃ, φαίνεται μέλαινα [4] δεινῶς ἄχρι τρίτης ὥρας καὶ ἡμισείας· ἂν δὲ μέση [5], τῦτο δὴ τὸ ἐπιφοινίσσον ἵησι, καὶ πῦρ καὶ πυρωπόν· ἀπὸ δὲ ἑβδόμης ὥρας καὶ ἡμισείας, ἀνίσαται τὸ ἐρύθημα· καὶ τέλος ἤδη πρὸς ἕω λαμβάνει χρόαν κυανοειδῆ καὶ χαροπὴν, ἀφ' ἧς δὴ καὶ μάλιϛα Γλαυκῶπιν αὐτὴν οἱ ποιηταὶ καὶ Ἐμπεδοκλῆς ἀνακαλῦνται. τοσαύτας ἦν χρόας ἐν τῇ σκιᾷ τὴν σελήνην λαμβάνυσαν ὁρῶντες, ἐκ ὀρθῶς ἐπὶ μόνον καταφέρονται τὸ ἀνθρακῶδες, ὃ μάλιϛα φῆσαι τις ἂν ἀλλότριον αὐτῆς εἶναι, καὶ μᾶλλον ὑπό-



1 Non ita verſus hi in Homero, qualem nunc habemus, leguntur; at ſimilis occurrit locus Iliad. IX, 213.

2 Vulgo abeſt τῦ. In ind. Frft. inſeritur id a codice quodam innominato, qui autem teſte W. eſt Turn. Idem exhibent E. & Anon. dedique cum W.

3 Vulgo πολλὰς τὰς ἐκλ. χρ. ἀμείβειν. Hinc Xyl. mutilum eſſe notat. Pro τὰς dedi e Turn. & V. γὰρ, & ἀμείβειν mutandum fuit in ἀμείβει. Utrumque legendum monuit W.

4 Dedi ſic cum W. id a Xyl. recipiente. Vulgo μέλανα.

5 W. non ſatis videri ſanum notat, quanquam interpretes ſententiam recte expreſſerint. Pro τῦτο Turn. V. & Anon. dant τότε; at W. judice, vulgatum ſatis probum.

μιγμα καὶ λεῖμμα τῦ φωτὸς, διὰ τῆς σκιᾶς περιλάμποντος· ἴδιον δὲ τὸ μέλαν καὶ γεῶδες. ὅπυ δὲ πορφυρίσιν ἐνταῦθα καὶ φοινικίσι λίμναις τε καὶ ποταμοῖς δεχομένοις ἥλιον ἐπίσκια χωρία γειτνιῶντα συγχρώζεται καὶ περιλάμπεται [1], διὰ τὰς ἀνακλάσεις ἀποδιδόντα πολλὰς καὶ διαφόρυς ἀπαυγασμὺς, τί θαυμαςὸν, εἰ ῥεῦμα πολὺ σκιᾶς ἐμβάλλον ὥσπερ εἰς πέλαγος ὐράνιον ὐ ςαθερῦ φωτὸς ὐδ' ἠρεμῦντος, ἀλλὰ μυρίοις ἄςροις ἐλαυνομένυ [2] μίξεις τε παντοδαπὺς καὶ μεταβολὺς λαμβάνοντος, ἄλλην ἄλλοτε χρόαν ἐκματτόμενον ὐπὸ τῆς σελήνης ἐνταῦθα ἀποδίδωσιν; ἄςρον μὲν γὰρ ἢ πῦρ ὐκ ἂν ἐν σκιᾷ διαφανείη μέλαν, ἢ γλαυκὸν ἢ κυανοειδές· ὄρεσιδὲ καὶ πεδίοις καὶ θαλάσσαις πολλαὶ μὲν ἀφ' ἡλίυ μορφαὶ χρωμάτων ἐπιτρέχυσι, καὶ σκιαῖς καὶ ὁμίχλαις, οἵας [3] φαρμάκοις γραφικοῖς μιγνύμενον ἐπάγει βαφὰς τὸ λαμπρόν· ὧν τὰ μὲν τῆς θαλάττης ἐπικεχείρηκεν ἀμωσγέπως ἐξονομάζειν Ὅμηρος, ἰοειδέα καλῶν καὶ οἴνοπα πόντον, αὖθις δὲ πορφύρεον κῦμα, γλαυκήν τ' ἄλλως θάλασσαν. καὶ λευκὴν γαλήνην [4]. τὰς δὲ περὶ τὴν γῆν διαφορὺς τῶν ἄλλοτε ἄλλως ἐπιφαινομένων χρωμάτων παρῆκεν, ὡς ἀπείρυς τὸ πλῆθος ὔσας. τὴν δὲ σελήνην ὐκ εἰκὸς, ὥσπερ [5] τὴν θάλασσαν μίαν ἔχειν ἐπιφάνειαν, ἀλλ' ἐοικέναι μάλιςα τῇ γῇ τὴν φύσιν, ἣν ἐμυθολόγει Σωκράτης ὁ παλαιὸς, εἴτε δὴ ταύτην

1 Dedi ſic cum W. ita ex E. ſumente pro vulg. συγχρώζηται καὶ περιλάμπηται. Notat idem, in priori conſentire Baſ. & Xyl. at, quod ego quidem obſervo, in poſteriori conſentiunt Ald. & Baſ.

2 E. περιελαυνομένυ.

3 Secutus ſum W. ita ex B. & E. dantem pro vulg. ἃς. Turn. & V. ὡς.

4 Cf. Odyſs. V, 56. XI, 106. I, 183. II, 421. Iliad. XVI, 34. I, 482. Odyſs. II, 428. X, 94.

5 Adidit ὥσπερ W. ex E. Vulgo abeſt. Turn. V. Leonic. Schott. Anon. addunt ὡς.

την αἰνιττόμενος, εἴτε δὴ ἄλλην τινὰ διηγέμενος· ἐ γὰρ ἄπισον, ἐδὲ θαυμαςὸν, εἰ μηδὲν ἔχεσα διεφθορὸς ἑαυτῇ μηδ' ἰλυῶδες, ἀλλὰ φῶς τε καρπεμένη καθαρὸν ἐξ ἐρανἒ, καὶ θερμότητος ἐ διακαῆς ἐδὲ μανικἒ πυρὸς, ἀλλὰ νοτερἒ καὶ ἀβλαβἒς καὶ κατὰ φύσιν ἔχοντος ἔσα πλήρης, κάλλη τε θαυμαςὰ κέκτηται τόπων, ὄρη τε φλογοειδῆ [1], καὶ ζώνας ἀλεργὰς ἔχει, χρυσόν τε καὶ ἄργυρον, ἐκ ἐν βάθει διεσπαρμένον, ἀλλὰ πρὸς τοῖς πεδίοις ἐξανθἒντα πολὺν, ἢ πρὸς ὕψεσι λείοις περιφερόμενον. εἰ δὲ τέτων ὄψις ἀφικνεῖται διὰ τῆς σκιᾶς ἄλλοτε ἄλλη πρὸς ἡμᾶς, ἐξαλλαγῇ καὶ διαφορᾷ τινι τἒ περιέχοντος, τό γε μὴν τίμιον ἐκ ἀπόλλυσι τῆς δόξης ἐδὲ τὸ θεῖον ἡ σελήνη, ἥτις [2] * ἱερὰ πρὸς ἀνθρώπων νομιζομένη, μᾶλλον ἢ [3] πῦρ θολερὸν, ὥσπερ οἱ Στωϊκοὶ λέγεσι, καὶ τρυγῶδες. πῦρ μέν γε παρὰ Μήδοις καὶ Ἀσσυρίοις βαρβαρικὰς ἔχει τιμὰς, οἳ φόβῳ τὰ βλάπτοντα θεραπεύεσι πρὸ τῶν σεμνῶν ἀφοσιέμενοι· τὸ δὲ γῆς ὄνομα παντί πε φίλον Ἕλληνι καὶ τίμιον, καὶ πατρῷον ἡμῖν ὥσπερ ἄλλον τινὰ θεὸν σέβεσθαι. πολλἒ δὲ δέομεν ἄνθρωποι τὴν σελήνην, γῆν ἔσαν ὀλυμπίαν, ἄψυχον ἡγεῖσθαι σῶμα καὶ ἄνευ καὶ ἄμοιρον, ὧν θεοῖς ἀπάρχεσθαι προσήκει, νόμῳ τε τῶν ἀγαθῶν ἀμοιβὰς τίνοντας, καὶ κατὰ φύσιν σεβομένες τὸ κρεῖττον ἀρετῇ καὶ δυνάμει καὶ τιμιώτερον. ὥςε μηδὲν οἰώμεθα πλημμελεῖν γῆν αὐτὴν θέμενοι, τὸ δὲ φαινόμενον τετὶ πρόσωπον αὐτῆς, ὥσπερ ἡ παρ' ἡμῖν ἔχει γῆ κόλπες τινὰς μεγάλες, ἕτως ἐκείνην ἀνεπτύχθαι βάθεσι μεγάλοις καὶ ῥήξεσιν ὕδωρ ἢ ζοφερὸν ἀέρα περιέχεσιν, ὧν ἐντὸς ἐ καθίησιν, ἐδ' ἐπιψαύει τὸ



1 Ita W. ex B. & E. dedit pro vulg. καταφλογοειδῆ. Mox E. eodem teste ἀλεργὲς.

2 Turn. Anon. inserunt γῆ, ut Amiot. & Kaltw. vertunt. W. locum ita explendum suspicatur. ἥτις θεὸς διατελεῖ καὶ ἱερὰ.

3 Vulgo ἢ μᾶλλον. Turn. auctoritate inverti cum W.

τȣ͂ ἡλίȣ Φῶς, ἀλλ' ἐκλείπει, καὶ διεσπασμένην ἐνταῦθα τὴν ἀνάκλασιν [1] ἀποδίδωσιν.

XXII. Ὑπολαβὼν δὲ ὁ Ἀπολλωνίδης· Εἶτα, ὦ πρὸς αὐτῆς, ἔφη, τῆς σελήνης, δυνατὸν εἶναι δοκεῖ ὑμῖν [2], ῥηγμάτων τινῶν ἢ Φαράγγων εἶναι σκιὰς, κἀκεῖθεν ἀΦικνεῖσθαι δεῦρο πρὸς τὴν ὄψιν, ἢ τὸ συμβαῖνον ȣ̓ λογίζεσθε [3], κἀγὼ τȣτὶ εἴπω; ἀκȣ́οιτε δὲ, καίπερ ȣ̓κ ἀγνοȣ͂ντες [4]. ἡ μὲν διάμετρος τῆς σελήνης δυοκαίδεκα δακτύλȣς ἔχει, τὸ Φαινόμενον, ἐν τοῖς μέσοις ἀποστήμασι μέγεθος· τῶν δὲ μελάνων καὶ σκιερῶν ἕκαστον ἡμιδακτυλίȣ Φαίνεται μεῖζον, ὥστε τῆς διαμέτρȣ μεῖζον ἢ εἰκοστοτέταρτον εἶναι. καὶ μὴν, εἰ μόνων ὑποθοίμεθα τὴν περίμετρον τῆς σελήνης τρισμυρίων σταδίων, μυρίων δὲ τὴν διάμετρον, κατὰ τὸ ὑποκείμενον, ȣ̓κ ἔλαττον ἂν εἶναι [5] πεντακοσίων σταδίων ἐν αὐτῇ τῶν σκιερῶν ἕκαστον. ὅρα δὴ πρῶτον, ἂν ᾖ δυνατὸν, τῇ σελήνῃ τηλικαῦτα βάθη καὶ τηλικαύτας εἶναι τραχύτητας, ὥστε σκιὰν ποιεῖν τοσαύτην· ἔπειτα πῶς ȣ̓͂σαι τηλικαῦται τὸ μέγεθος ὑΦ' ἡμῶν ȣ̓χ ὁρῶνται. κἀγὼ μειδιάσας πρὸς αὐτόν· Εὖγε, ἔΦην, ὅτι τοιαύτην ἐξεύρηκας ἀπόδειξιν, ὦ Ἀπολλωνίδη, δι' ἧς κἀμὲ καὶ σαυτὸν ἀποδείξεις τῶν Ἀλωάδων [6] ἐκείνων μείζονας εἶναι, ȣ̓κ ἐν ἅπαντι μέντοι χρόνῳ τῆς ἡμέρας, ἀλλὰ πρωῒ μάλιστα καὶ δείλης· οἴει [7], τὰς σκιὰς ἡμῶν τȣ͂ ἡλίȣ

1 Sic W. ex B. & E. dedit, quod item Xyl. correxit. Vulgo ἀνάβασιν.

2 Ita Xyl. vertit, & dedit W. ex E. Vulgo ἡμῖν.

3 Ita Xyl. vertit, & habent E. & Anon. deditque W. pro vulg. λογίζεσθαι.

4 Ita W ex E. dedit. Vulgo καίπερ ȣ̓κ ἀγνοȣ͂ντες, ἀκȣ́οιτε δέ. Pro δὲ Turn δή.

5 Turn. εἴη pro εἶναι. Idem W. ex Anon. notat, & probabiliter sic legi censet.

6 Neptuni filii, Otus & Ephialtes. Cf. Apollodor. Bibl. L. II. c. 7.

7 W. legi mavult δείλης, ὅτε — παρέχει —.

ηλίȣ ποιȣ̃ντος ἠλιβάτȣς, τὸ καλὸν τȣ̃τον αἰθήσει παρέχειν συλλογισμὸν, ὡς, εἰ μέγα τὸ σκιαζόμενον, ὑπερμέγεθες τὸ σκιάζον. ἐν Λήμνῳ μὲν ȣ̓δέτερος ἡμῶν εὖ οἶδ᾽ ὅτι γέγονε, τȣτὶ μέντοι τὸ θρυλλȣ́μενον ἰάμβειον ἀμφότεροι πολλάκις ἀκηκόαμεν·

Ἄθως καλύψει πλευρὰ [1] Λημνίας βοός.

ἐπιβάλλει γὰρ ἡ σκιὰ τȣ̃ ὄρȣς, ὡς ἔοικε, χαλκέῳ τινὶ βοϊδίῳ, μῆκος ἀποτείνȣσα διὰ τῆς θαλάττης ȣ̓κ ἔλαττον ἑπτακοσίων ςαδίων, τὸ [2] κατασκιάζον ὕψος εἶναι διὰ τὴν αἰτίαν· ὅτι πολλαπλασίȣς αἱ τȣ̃ φωτὸς ἀποςάσεις τῶν σωμάτων τὰς σκιὰς ποιȣ̃σι. δεῦρο δὴ θεῶ καὶ τῆς σελήνης, ὅτε πάμμηνός ἐςι, καὶ μάλιςα τὴν ἰδέαν ἔναρθρον τȣ̃ προσώπȣ βαθύτητι [3] τῆς σκιᾶς ἀποδίδωσι, τὸ μέγιςον ἀπέχοντα διάςημα τὸν ἥλιον· ἡ γὰρ ἀπόςασις τȣ̃ φωτὸς αὐτὴ τὴν σκιὰν μεγάλην, ȣ̓ τὰ μεγέθη τῶν ὑπὲρ τὴν σελήνην ἀνωμαλιῶν, πέποίηκε. καὶ μὴν ȣ̓δὲ τῶν ὀρῶν τὰς ὑπεροχὰς ἐῶσι μεθ᾽ ἡμέραν αἱ περιαυγαὶ τȣ̃ ἡλίȣ καθορᾶσθαι, τὰ μέντοι βαθέα καὶ κοῖλα φαίνεται καὶ σκιώδη πόῤῥωθεν· ȣ̓δὲν ȣ̓̃ν ἄτοπον, εἰ καὶ τῆς σελήνης τὴν ἀντίληψιν καὶ τὸν ἐπιφωτισμὸν ȣ̓κ ἔςι καθορᾶν ἀκριβῶς, αἱ δὲ τῶν σκιερῶν παραθέσεις παρὰ τὰ λαμπρὰ τῇ διαφορᾷ τὴν ὄψιν ȣ̓ λανθάνȣσιν.

XXIII. Ἀλλ᾽ ἐκεῖνο μᾶλλον, ἔφην, ἐλέγχειν δοκεῖ τὴν λεγομένην ἀνάκλασιν ἀπὸ τῆς σεληνης, ὅτι τȣ̀ς ἐν ταῖς ἀνακλωμέναις αὐγαῖς ἑςῶτας ȣ̓ μόνον συμβαίνει τὸ φωτιζόμενον ὁρᾶν, ἀλλὰ καὶ τὸ φωτίζον. ὅταν γὰρ,



1 Apud Euſtath. in Iliad. L. XIV, 229. legitur: Ἄθως σκιάζει νῶτα Λ. β. De umbra hujus montis cf. Apollon. Argonaut. I, 601. ſqq.

2 Pro τὸ Turn. exhibet τῷ. Xyl. locum aſteriſco notavit. Excidiſſe quid, manifeſtum eſſe declarat W. qui locum ita forte inſtaurandum conjicit: ςαδίων· σὺ δ᾽ ἂν τὸ κατασκιάζον ὕψος εἶναι διανοήσῃ τὴν αἰτίαν, ȣ̓δὲ μεμνήσῃ ὅτι πολλαπλασίȣς —.

3 Ita W. ex E. dedit pro vulg. βαθύτητα. Turn. & V. poſt προσώπȣ inſerunt καὶ.

αὐγῆς ἀφ' ὕδατος πρὸς τοῖχον ἀλλομένης, ὄψις ἐν αὐτῷ τῷ πεφωτισμένῳ κατὰ τὴν ἀνάκλασιν τόπῳ γένηται, τὰ τρία καθορᾷ, τήν τ' ἀνακλωμένην αὐγὴν, καὶ τὸ ποιοῦν ὕδωρ τὴν ἀνάκλασιν, καὶ τὸν ἥλιον αὐτὸν, ἀφ' οὗ τὸ φῶς τῷ ὕδατι προσπῖπτον ἀνακέκλαςαι. τούτων δὲ ὁμολογουμένων καὶ φαινομένων, κελεύουσι τοὺς ἀνακλάσει φωτίζεσθαι τὴν γῆν ὑπὸ τῆς σελήνης ἀξιοῦντας, ἐπιδεικνύναι νύκτωρ ἐμφαινόμενον τῇ σελήνῃ τὸν ἥλιον, ὥσπερ ἐμφαίνεται τῷ ὕδατι μεθ' ἡμέραν, ὅταν ἀνάκλασις ὑπ' αὐτὸν [1] γένηται· μὴ φαινομένου δὲ τούτου, κατ' ἄλλον οἴονται τρόπον, οὐκ ἀνακλάσει, γίνεσθαι τὸν φωτισμόν· εἰ δὲ μὴ τοῦτο, μηδὲ γῆν εἶναι τὴν σελήνην. Τί οὖν, ἔφη, πρὸς αὐτοὺς λεκτέον, ὁ Ἀπολλωνίδης; κοινὰ γὰρ ἔοικε καὶ πρὸς ἡμᾶς εἶναι τὰ τῆς ἀνακλάσεως. Ἀμέλει τρόπον τινὰ, ἔφην ἐγὼ, κοινὰ, τρόπον δ' ἄλλον οὐδὲ κοινά· πρῶτον δὲ ὅρα τὰ τῆς εἰκόνος, ὡς ἄνω ποταμῶν καὶ τραπὲν πάλιν λαμβάνουσιν· ἐπὶ γῆς γάρ ἐςι [2] καὶ κάτω τὸ ὕδωρ· ὑπὲρ γῆς δὲ σελήνη καὶ μετέωρος· ὅθεν ἀντίςροφον αἱ κεκλασμέναι τὸ σχῆμα τῆς γωνίας ποιοῦσι, τῆς μὲν ἄνω, πρὸς τῇ σελήνῃ, τῆς δὲ κάτω, πρὸς τῇ γῇ τὴν [3] κορυφὴν ἐχούσης· μὴ ἅπασαν οὖν ἰδέαν κάτοπτρον, μηδ' ἐκ πάσης ἀποςάσεως ὁμοίαν ἀνάκλασιν ποιεῖν ἀξιοῦτωσαν, ἐπεὶ μάχονται πρὸς τὴν ἐνάργειαν. οἱ δὲ σῶμα μὴ λεπτὸν μηδὲ λεῖον, ὥσπερ ἐςὶ τὸ ὕδωρ, ἀποφαίνοντες τὴν σελήνην, ἀλλ' ἐμβριθὲς καὶ γεῶδες, οὐκ οἶδα, ὅπως ἀπαιτοῦνται τοῦ ἡλίου τὴν ἔμφασιν ἐν αὐτῇ πρὸς τὴν ὄψιν· οὐδὲ γὰρ τὸ γάλα

1 Ald. Baf. Xyl. E. ὑπ' αὐτῶν; B. ὑπ' αὐτῆς; Turn. V. ὑπ' αὐτῷ; Steph. dedit nefcio unde ὑπ' αὐτόν; W. legendum fufp. ἀπ' αὐτοῦ. Hoc prope accedit Leonic. Schott. Anon. Exempl. Turn. ὑπ' αὐτοῦ.

2 Ita W. de fuo correxit. Vulgo ἐπὶ γῆς πάρεςι. Etiam Xyl. jam ita verterat.

3 Articulum τὴν addidit W. ex E. Vulgo abeft.

γάλα τοὺς τοιούτους ἐσοπτρισμοὺς ἀποδίδωσιν, οὐδὲ ποιεῖ τῆς ὄψεως ἀνακλάσεις διὰ τὴν ἀνωμαλίαν καὶ τραχύτητα τῶν μορίων· πόθεν γε [1] τὴν σελήνην δυνατόν ἐστιν ἀναπέμπειν ἀφ' ἑαυτῆς τὴν ὄψιν, ὥσπερ ἀναπέμπει τὰ λειότερα τῶν ἐσόπτρων; καίτοι καὶ ταῦτα δήπουθεν ἐὰν ἀμυχή τις ἢ ῥύπος ἢ τραχύτης [2] καταλάβῃ τὸ σημεῖον ἂν ἀφ' οὗ πέφυκεν ἡ ὄψις ἀνακλαθὲν τυποῦται· καὶ βλέπεται [3] μὲν αὐτὰ, τὴν δ' ἀνταύγειαν οὐκ ἀποδίδωσιν. ὁ δ' ἀξιῶν ἢ καὶ τὴν ὄψιν ἡμῶν ἐπὶ τὸν ἥλιον [4], ἢ μηδὲ τὸν ἥλιον ἐφ' ἡμᾶς ἀνακλᾶν ἀφ' ἑαυτῆς τὴν σελήνην, ἡδύς ἐστι τὸν ὀφθαλμὸν ἥλιον ἀξιῶν εἶναι, φῶς δὲ τὴν ὄψιν, οὐρανὸν δὲ τὸν ἄνθρωπον. τοῦ μὲν γὰρ ἡλίου δι' εὐτονίαν καὶ λαμπρότητα πρὸς τῇ σελήνῃ γινομένην μετὰ πληγῆς τὴν ἀνάκλασιν φέρεσθαι πρὸς ἡμᾶς εἰκός ἐστιν· ἡ δ' ὄψις, ἀσθενὴς οὖσα, λεπτὴ [5] καὶ ὀλιγοστὴ, τί θαυμαστὸν, εἰ μήτε πληγὴν ἀνακρουστικὴν ποιεῖ, μήτ' ἀφαλλομένης τηρεῖ τὴν συνέχειαν, ἀλλὰ θρύπτεται καὶ ἀπολείπει, πλῆθος οὐκ ἔχουσα φωτὸς, ὥστε μὴ διασπᾶσθαι περὶ τὰς ἀνωμαλίας καὶ τραχύτητας. ἀπὸ μὲν γὰρ ὕδατος καὶ τῶν ἄλλων ἐσόπτρων ἰσχυούσαν ἔτι τῆς ἀρχῆς ἐγγὺς οὖσαν ἐπὶ τὸν ὀφθαλμὸν [6] ἅλλεσθαι τὴν ἀνάκλασιν, οὐκ ἀδύνατόν ἐστιν· ἀπὸ δὲ τῆς σελήνης, κἂν γίνωνταί τινες ὀλισθήσεις αὐτῆς, ἀσθενεῖς ἔσονται καὶ ἀμυδραὶ, καὶ προαπολείπουσαι διὰ τὸ μῆκος τῆς



ἀπο-

1 Turn. V. πόθεν γάρ.

2 Ita W. ex E. dedit pro vulg. ταραχή τις. Propius ad receptum accedit Ald. ταραχύτης.

3 W. judice legendum videtur τὸ σημεῖον ἀφ' οὗ πέφυκεν ἡ ὄψις ἀνακλαθεῖσα τυποῦσθαι, βλέπεται μὲν αὐτά —.

4 Quae sequuntur usque ad ὀφθαλμὸν ἥλιον, addidit W. ex B. & E. Vulgo absunt.

5 Vulgo οὖσα καὶ ὀλιγοστή. W. addidit λεπτὴ ex E.

6 W. notante, Steph ita dedit, ut videtur, ex Turn. & Amiot. estque hoc unice verum. Ald. Bas. Xyl. B. E. ἐπὶ τὸν ἥλιον.

ἀποςάσεως. καὶ γὰρ ἄλλως τὰ μὲν κοῖλα τῶν ἐσόπτρων εὐτονωτέραν ποιεῖ τῆς προηγȣμένης αὐγῆς τὴν ἀνακλωμένην, ὥςε καὶ Φλόγας ἀναπέμπειν πολλάκις· τὰ δὲ κυρτὰ καὶ σφαιροειδῆ, τῷ μὴ πανταχόθεν ἀντερείδειν, ἀσθενῆ καὶ ἀμαυράν. * ὁρᾶται [1] δήπȣθεν, ὅταν ἴριδες δύο Φανῶσι, νέφȣς νέφος ἐμπεριέχοντος, ἀμαυρὰν ποιȣ̃σαν καὶ ἀσαφῆ τὰ χρώματα τὴν περιτρέχȣσαν· τὸ γὰρ ἐκτὸς νέφος, ἀπωτέρω τῆς ὄψεως κείμενον, ȣ̓κ εὔτονον ȣ̓δ᾽ ἰσχυρὰν τὴν ἀνάκλασιν ἀποδίδωσι. καὶ τί δεῖ πλείονα λέγειν; ὅπȣ γὰρ τὸ τȣ̃ ἡλίȣ Φῶς, ἀνακλώμενον ἀπὸ τῆς σελήνης, τὴν μὲν θερμότητα πᾶσαν ἀποβάλλει, τῆς δὲ λαμπρότητος αὐτȣ̃ [2] λεπτὸν ἀφικνεῖται μόλις πρὸς ἡμᾶς καὶ ἀδρανὲς λείψανον· ἦ πȣ τῆς ὄψεως τὸν ἴσον Φερομένης [3] δίαυλον, ἐνδέχεται μόριον ὁτιȣ̃ν λείψανον ἐξικέσθαι πρὸς τὸν ἥλιον ὑπὸ [4] τῆς σελήνης; ἐγὼ μὲν ȣ̓κ οἶμαι. σκοπεῖτε δὲ (εἶπον) καὶ ὑμεῖς· εἰ τὰ αὐτὰ πρὸς τὸ ὕδωρ καὶ τὴν σελήνην ἔπασχεν ἡ ὄψις, ἔδει [5] καὶ γῆς καὶ Φυτῶν καὶ ἀνθρώπων καὶ ἄςρων ἐμφάσεις ποιεῖν τὴν πανσέληνον, οἵας τὰ λοιπὰ ποιεῖται τῶν ἐσόπτρων· εἰ δ᾽ ȣ̓ γίνονται πρὸς ταῦτα τῆς ὄψεως ἀνακλάσεις, δι᾽ ἀσθένειαν αὐτῆς ἢ τραχύτητα τῆς σελήνης, μηδὲ πρὸς τὸν ἥλιον ἀπαιτῶμεν.

XXIV. Ἡμεῖς μὲν ȣ̓ν, ἔφην, ὅσα μὴ διαπέφευγε τὴν μνήμην τῶν ἐκεῖ λεχθέντων, ἀπηγγέλκαμεν· ὥρα δὲ καὶ Σύλλαν παρακαλεῖν, μᾶλλον δ᾽ ἀπαιτεῖν τὴν διήγησιν, οἷον ἐπὶ ῥητοῖς ἀκροατὴν γεγενημένον.

ὥςε

1 Turn. & Amiot. ἀμαυράν. Ὁρᾶτε: ita ad ſenſum quidem nil requiratur.

2 Ita cum W. reſtitui ex Ald. Baſ. Xyl. B. E. pro αὐτῷ, quod ex Steph. in rell. tranſiit.

3 Ita W. dedit ex B. & E. Vulgo Φερομένοις.

4 W. mavult ἀπὸ τ. σ.

5 Vulgo ἡ ὄψις· ὃ δή. E Turn. & V. recepi ἔδει, conſentiente Amiot. & probante W.

ὥςε, εἰ δοκεῖ, καταπαύσαντες τὸν περίπατον, καὶ καθίσαντες ἐπὶ τῶν βάθρων, ἑδραῖον αὐτῷ παρέχωμεν ἀκροατήριον. ἔδοξε δὴ ταῦτα· καὶ καθισάντων ἡμῶν, ὁ Θέων· Ἐγώ τοι, ὦ Λαμπρία, εἶπεν, ἐπιθυμῶ μὲν ὀδενὸς ἧττον ὑμῶν ἀκῦσαι τὰ λεχθησόμενα, πρότερον δ' ἂν ἡδέως ἀκέσαιμι περὶ τῶν οἰκεῖν λεγομένων ἐπὶ τῆς σελήνης, ὀκ εἰ κατοικῦσί τινες, ἀλλ' εἰ δυνατὸν ἐκεῖ κατοικεῖν· εἰ γὰρ ὀ δυνατὸν, ἄλογον καὶ τὸ γῆν εἶναι τὴν σελήνην· δόξει γὰρ πρὸς ὀθὲν, ἀλλὰ μάτην γεγονέναι, μήτε καρπὸς ἐκΦέρυσα, μήτ' ἀνθρώποις τισὶν ἕδραν παρέχυσα καὶ γένεσιν καὶ δίαιταν· ὧν ἕνεκα καὶ ταύτην γεγονέναι Φαμὲν, κατὰ Πλάτωνα [1], τροΦὸν ἡμετέραν, ἡμέρας τε καὶ νυκτὸς ἀτρεκῆ Φύλακα καὶ δημιυργόν. ὁρᾷς δὲ, ὅτι πολλὰ λέγεται καὶ σὺν γέλωτι καὶ μετὰ σπυδῆς περὶ τύτων· τοῖς μὲν γὰρ ὑπὸ τὴν σελήνην οἰκῦσιν, ὥσπερ Ταντάλοις, ὑπὲρ κεΦαλῆς ἐκκρέμασθαί Φασι, τὰς δ' οἰκῦντας αὖ πάλιν ἐπ' αὐτῆς, ὥσπερ Ἰξίονας, ἐνδεδεμένυς ῥύμῃ τόσῃ. [2] * καίτοι μίαν ὀ κινεῖται κίνησιν, ἀλλ', ὥς πυ καὶ λέγεται, τριοδῖτις ἐςὶν, ἅμα μῆκος ἐπὶ τῦ ζωδιακῦ καὶ πλάτος ἐπιΦερομένη καὶ βάθος· ὧν τὴν μὲν, περιδρομὴν, τὴν δὲ, ἕλικα, τὴν δ' ὀκ οἶδα πῶς ἀνωμαλίαν ὀνομάζυσιν οἱ μαθηματικοὶ, καίπερ ὀδεμίαν ὁμαλὴν, ὀδὲ τεταγμένην ταῖς ἀποκαταςάσεσιν ὁρῶντες ἔχυσαν [3]. ὀκῦν εἰ λέων τις ἔπεσεν [4] ὑπὸ ῥύμης εἰς Πελοπόννησον, ἄξιόν ἐςι θαυμάζειν· ἀλλ' ὅπως [5] ὀ μυρία ὁρῶμεν ἀεὶ πεσήματα

1 Timae. Plat. opp. Vol. IX. ed. Bip. p. 323. Pro τροΦὸν Ald. Bas. τροΦήν.

2 W. susp. ῥύμῃ τοσαύτῃ δινεῖσθαι. καίτοι —.

3 W. susp. ὀδὲν ἀνώμαλον ὀδὲ τεταραγμένον. Xyl. lacunam ponit post ἔχυσαν, hoc vertens ac si legisset ὄσαν. Amiot. post ὀδεμίαν inserit ὄτως.

4 Aelian. H anim. XII, 7.

5 Vulgo ἀλλ' ὅμως; Turn. ὅπως vel ὅτι; V. ὅπως. Sic dedi cum W. consentientibus Leonic. Schott. Anon. Amiot.

ματα ἀνέμων καὶ ἀπολακτισμοὺς βίων ἐκεῖθεν οἷον ἐκκυβιστώντων καὶ περιτρεπόντων [1]. καὶ γὰρ γελοῖον, περὶ μονῆς τῶν ἐκεῖ διαπορεῖν, εἰ μὴ γένεσιν μηδὲ σύστασιν ἔχειν δύναται [2]. ὅπου γὰρ Αἰγύπτιοι καὶ Τρωγλοδύται, οἷς ἡμέρας μιᾶς ἀκαρὲς [3] ἵσταται κατὰ κορυφὴν ὁ ἥλιος ἐν τροπαῖς, εἶτ' ἄπεισιν, ὀλίγον ἀπέχουσι τοῦ κατακεκαῦσθαι ξηρότητι τοῦ περιέχοντος· ἦπου τοὺς ἐπὶ τῆς σελήνης εἰκός ἐστι δώδεκα θερείας ὑπομένειν ἔτους ἑκάστου, κατὰ μῆνα τοῦ ἡλίου πρὸς κάθετον αὐτοῖς ἐφισταμένου καὶ στηρίζοντος, ὅταν ᾖ πανσέληνος. πνεύματά γε μὴν καὶ νέφη καὶ ὄμβρους, ὧν χωρὶς οὔτε γένεσις φυτῶν ἐστιν, οὔτε σωτηρία γενομένοις, ἀμήχανον ἐκεῖ διανοηθῆναι συνιστάμενα διὰ θερμότητα καὶ λεπτότητα τοῦ περιέχοντος· οὐδὲ γὰρ ἐνταῦθα τῶν ὀρῶν τὰ ὑψηλὰ δέχεται τοὺς ἀγρίους καὶ ἐναντίους [4] χειμῶνας· ἀλλ' * ἤδη καὶ σάλον ἔχων ὑπὸ κουφότητος ὁ ἀήρ, ἐκφεύγει τὴν σύστασιν ταύτην καὶ πύκνωσιν· εἰ μὴ νὴ Δία φήσομεν, ὥσπερ ἡ Ἀθηνᾶ τῷ Ἀχιλλεῖ νέκταρός τι καὶ ἀμβροσίας ἐνέσταξε [5], μὴ προσιεμένῳ τροφήν, οὕτω τὴν σελήνην, Ἀθηνᾶν λεγομένην καὶ οὖσαν, τρέφειν τοὺς ἄνδρας, ἀμβροσίαν ἀνιεῖσαν αὐτοῖς ἐφημέριον, ὡς Φερεκύδης ὁ παλαιὸς οἴεται σιτεῖσθαι αὐτοὺς θεούς [6]. τὴν μὲν γὰρ Ἰνδικὴν ῥίζαν, ἥν φησι Μεγασθένης τοὺς [7] μήτ' ἐσθίοντας, μήτε πίνοντας, ἀλλ' ἀστόμους [8] ὄντας ὑποτύφειν καὶ θυμιᾶν, καὶ τρέ-

1 W. susp. περιτραπέντων.

2 Corrigendum, W. monente, δύνανται.

3 Sic cum W. dedi e Turn. B. E. Anon. Xyl. Vulgo ἀκανές.

4 W. neutrum placet, postremum quidem mutandum censuit in ἐνιαυσίους, quod Amiot. expressit. Susp. deinde W. ἀλλὰ λεπτότητα ἤδη, quod Xyl. reddidit vertendo.

5 Iliad. XIX, 352 sq.

6 Cum W. malim τοὺς θεοὺς vel αὐτοὺς τοὺς θεούς.

7 Vulgo abest τούς. Restituendum censui ex Ald. & Bas. In his autem exciderunt μήτ' ἐσθίοντας.

8 Sic Bas. Xyl. Leonic. Schott. Amiot. Steph. At Ald. B. E. εὐστόμους, quod, W. judice, non omni specie caret.

τρέφεσθαι τῇ ὀσμῇ, πόθεν ἄν τις ἐκεῖ φυομένην λάβοι, μὴ βρεχομένης τῆς σελήνης.

XXV. Ταῦτα τοῦ Θέωνος εἰπόντος [1] * γε ἔφην καὶ ἄριστα τῇ παιδιᾷ τοῦ λόγου τὰς ὀφρῦς * ἃ καὶ θάρσος ἡμῖν ἐγγίνεται πρὸς τὴν ἀπόκρισιν, μὴ πάνυ πικρὰν [2] μηδ' αὐστηρὰν εὐθύνην περιδοκῶσι [3]. καὶ γὰρ ὡς ἀληθῶς τῶν σφόδρα πεπεισμένων τὰ τοιαῦτα οὐδὲν [4] διαφέρουσιν οἱ σφόδρα δυσκολαίνοντες αὐτοῖς καὶ διαπιστεῦντες, ἀλλὰ μὴ πράως τὸ δυνατὸν καὶ τὸ ἐνδεχόμενον ἐθέλοντες ἐπισκοπεῖν. εὐθὺς οὖν τοπρῶτον, οὐκ ἀναγκαῖόν ἐστιν, εἰ μὴ κατοικοῦσιν ἄνθρωποι τὴν σελήνην, μάτην γεγονέναι καὶ πρὸς μηθέν. οὐδὲ γὰρ τήνδε τὴν γῆν δι' ὅλης ἐνεργὸν οὐδὲ προσοικουμένην ὁρῶμεν, ἀλλὰ μικρὸν αὐτῆς μέρος, ὥσπερ ἄκραις τισὶν ἢ χεῤῥονήσοις ἀνέχουσιν ἐκ βυθοῦ γόνιμόν ἐστι ζώων καὶ φυτῶν, τῶν δ' ἄλλων τὰ μὲν ἔρημα καὶ ἄκαρπα χειμῶσι καὶ αὐχμοῖς, τὰ δὲ πλεῖστα κατὰ τῆς μεγάλης δέδυκε θαλάσσης. ἀλλὰ σὺ, τὸν Ἀρίσταρχον ἀγαπῶν ἀεὶ καὶ θαυμάζων, οὐκ ἀκούεις Κράτητος ἀναγινώσκοντος [5].

Ὠκεανὸς, ὅσπερ γένεσις πάντεσσι τέτυκται
Ἀνδράσιν ἠδὲ θεοῖς, πλείστην ἐπὶ γαῖαν ἵησιν.

ἀλλὰ πολλοῦ δεῖ μάτην ταῦτα γεγονέναι· καὶ γὰρ ἀναθυμιάσεις ἡ θάλασσα μαλακὰς ἀνίησι καὶ τῶν πνευμάτων

1 W. susp. εἰπόντος, κάλλιστά γε, ἔφην, κ. ἄ. τ. π. τ. λ. τὰς ὀφρῦς ἡμῶν ἀνῆκας, δι' ἃ καὶ θάρσος —. Ad eandem sententiam verterunt Amiot. & Kaltw.

2 Sic W. dedit e marg. B. & verterunt Amiot. & Xyl. Vulgo μικρὰν.

3 E. προσδοκῶσι. Idem esse videtur, quod e Turn. affertur προδοκῶσι

4 Vulgo abest οὐδέν. Id inserendum duxi vertendo praeeunte Xyl. & probante W.

5 Sic W. dedit ex E. & vertit Xyl. Vulgo ἀναγινώσκων. Alter versuum est in Iliad. XIV, 246. Alter abest a nostris edd.

των τὰ ἥδιϛα, θέρȣς ἀκμάζοντος· ἐκ τῆς ἀοικήτȣ καὶ κατεψυγμένης αἱ χιόνες ἀτρέμα διατηκόμεναι χαλῶσι καὶ διασπείρȣσιν [1]. ἡμέρας τε καὶ νυκτὸς ἕϛηκεν ἀτρεκὴς ἐν μέσῳ Φύλαξ, κατὰ Πλάτωνα, καὶ δημιȣργός. ȣ̓δὲν ȣ̑ν κωλύει, καὶ τὴν σελήνην ζώων μὲν ἔρημον εἶναι, παρέχειν δ' ἀνακλάσεις τῷ Φωτὶ περὶ αὐτὴν διαχεομένῳ, καὶ συῤῥοὴν ταῖς τῶν ἀϛέρων αὐγαῖς ἐν αὐτῇ καὶ σύγκρασιν, ᾗ συνεκπέττει τε τὰς ἀπὸ τῆς γῆς ἀναθυμιάσεις, ἅμα τε καὶ τῷ ἡλίῳ τὸ ἔμπυρον ἄγαν καὶ σκληρὸν ἀΦίησι [2]. καὶ πολύ τι καὶ παλαιᾷ Φήμῃ διδόντες, Ἄρτεμιν αὐτὴν νομιϑῆναι Φήσομεν, ὡς παρθένον καὶ ἄγονον, ἄλλως δὲ βοηθητικὴν καὶ ὠΦέλιμον· ἐπεὶ τῶν γ' εἰρημένων ȣ̓δὲν, ὦ Φίλε Θέων [3], ἀδύνατον δείκνυσι τὴν λεγομένην ἐπ' αὐτῆς οἴκησιν. ἥ τε γὰρ δίνη, πολλὴν ἔχȣσα πραότητα καὶ γαλήνην, ἐπιλεαίνει τὸν ἀέρα, καὶ διανέμει [4] συγκατακοσμȣ́μενον, ὥϛε μηδὲν εἶναι δέος, ἐκπεσεῖν καὶ ἀποσΦαλῆναι τȣ̀ς ἐκεῖ βεβιωκότας [5]. εἰ δὲ μηδ' αὐτὴ, καὶ τὸ ποικίλον [6] τȣ̃το τῆς Φορᾶς καὶ πεπλανημένον ȣ̓κ ἀνωμαλίας ȣ̓δὲ ταραχῆς ἐϛιν, ἀλλὰ θαυμαϛὴν ἐπιδείκνυνται τάξιν ἐν τȣ́τοις καὶ πορείαν οἱ ἀϛρολόγοι, κύκλοις τισὶ περὶ κύκλȣς

1 Desidero quid cum his verbis jungendum & ad sententiam bene nectendam. Kaltw. distinguit post ἀνίησι, & καὶ τῶν πνευμάτων τὰ ἥδιϛα ad sequentia refert.

2 W. susp. τȣ̃ ἡλίȣ — ἀνίησι. Idem deinde corrigendum censet καὶ πȣ́ τι pro καὶ πολύ τι.

3 Recepi correctionem Xyl. pro vitiosa lectione ȣ̓δὲν ὠΦελεῖν Θέων. Eandem expressit Kaltw. cum Amiot. & probat W. Mallim autem simul ἔπειτα vel εἶτα pro ἐπεὶ, cum, meo quidem sensu, nova responsionis pars ordiatur; ἐπεὶ autem nil habeat, ad quod commode referri possit.

4 Dedi sic e W. sententia pro vulg. διαμένει. Kaltw. susp. & vertit διατείνει.

5 Turn. βεβηκότας, rectius, W. judice.

6 Bene susp. W. ἔτι δὲ, νὴ Δί', αὐτό γε τὸ ποικίλον. Ald. deinde & Bas. πεπλανημένα.

κύκλυς ἑτέρυς ἐξελιττομένοις συνάγοντες αὐτὴν, οἱ μὲν ἀτρεμῦσαν [1], οἱ δὲ λείως καὶ ὁμαλῶς ἀεὶ τάχεσι τοῖς αὐτοῖς ἀνθυποφερομένην· αὗται γὰρ αἱ τῶν κύκλων ἐπιβάσεις καὶ περιαγωγαὶ καὶ σχέσεις πρὸς ἀλλήλυς [2] καὶ πρὸς ἡμᾶς, τὰ φαινόμενα τῆς κινήσεως ὕψη καὶ βάθη, καὶ τὰς κατὰ πλάτος παραλλάξεις, ἅμα ταῖς κατὰ μῆκος αὐτῆς περιόδοις ἐμμελέστατα συμπεραίνυσι. τὴν δὲ πολλὴν θερμότητα καὶ συνεχῆ πύρωσιν ὑπὸ ἡλίυ παύσῃ [3] φοβύμενος, ἂν πρῶτον μὲν ἀντιθῇς ταῖς ἕνδεκα θεριναῖς συνόδοις τὰς πανσελήνυς, εἶτα δὲ τὸ συνεχὲς τῆς μεταβολῆς ταῖς ὑπερβολαῖς χρόνον ὐκ ἐχύσαις [4] πολὺν, ἐμποιεῖν κρᾶσιν οἰκείαν, καὶ τὸ ἄγαν ἑκατέρας ἀφαιρεῖν, τὰ μέσα δὲ τύτων, ὡς εἰκὸς, ὥραν ἔαρι προσφορωτάτην ἔχυσιν. ἔπειτα πρὸς μὲν ἡμᾶς καθίησι [5] δι᾽ ἀέρος θολερῦ, καὶ συνεπερείδων τὴν θερμότητα ταῖς ἀναθυμιάσεσι τρεφομένην· ἐκεῖ δὲ λεπτὸς ὢν καὶ διαυγὴς ὁ ἀὴρ σκίδνησι καὶ διαχεῖ τὴν αὐγὴν, ὑπέκκαυμα καὶ σῶμα μηδὲν ἔχυσαν. ὕλην δὲ καὶ καρπὺς αὐτοὶ [6] μὲν ὄμβροι τρέφυσιν, ἑτέρως δὲ, ὥσπερ ἄνω περὶ Θήβας παρ᾽ ὑμῖν καὶ Συήνην, ὐκ ὄμβριον ὕδωρ, ἀλλὰ γηγενὲς ἡ γῆ πίνυσα, καὶ χρωμένη πνεύμασι καὶ δρόσοις, ὐκ ἂν ἐθελήσειεν, οἶμαι, τῇ πλεῖςον ὑομένῃ πολυκαρπίᾳ

1 W. monente sententia loci postulare videtur ἀνισοδρομῦσαν, vel aliquid certe hujus significationis.

2 Ita W. ex B. & E. dedit pro vulg. ἄλληλα.

3 Vulgo ὐ παύσῃ. W. ὐ delendum monuit, & delevi auctoritate Baſ. & Xyl. vers.

4 Ita W. dedit ex E. pro vulg. ἐχύσης. Alias adesse monet corruptelas per hunc locum, quem ita verterit ac si legeretur: ἐχύσαις πολὺν, ἐμποιῦν κρᾶσιν οἰκείαν — ἀφαιρῦν — προσφορωτάτην ἔχον.

5 Excidisse susp. W. ante hanc vocem ὁ ἥλιος.

6 W. legendum monet αὐτῦ, & deinde ἑτέρωθι pro ἑτέρως: qua sententia verterunt Amiot. & Xyl.

πίᾳ συμφέρεσθαι [1], δι' ἀρετήν τινα καὶ κρᾶσιν. τὰ δ' αὐτὰ φυτὰ τῷ γένει, παρ' ἡμῖν [2] μὲν, εἰ σφόδρα πιεσθῇ χειμῶσιν, ἐκφέρει πολὺν καὶ καλὸν καρπόν· ἐν δὲ Λιβύῃ, καὶ παρ' ὑμῖν ἐν Αἰγύπτῳ, δύσριγα κομιδῇ καὶ δειλὰ πρὸς χειμῶνας ἐστί. τῆς δὲ Γεδρωσίας καὶ Τρωγλοδύτιδος, ἣ καθήκει προς τὸν ὠκεανὸν, ἀφόρου διὰ ξηρότητα καὶ ἀδένδρου παντάπασιν οὔσης, ἐν τῇ παρακειμένῃ καὶ περικεχυμένῃ θαλάττῃ θαυμαστὰ μεγέθη φυτῶν τρέφεται, καὶ κατὰ βυθοῦ τέθηλεν· ὧν τὰ μὲν ἐλαίας, τὰ δὲ δάφνας, τὰ δ' Ἴσιδος τρίχας [3] καλοῦσιν. οἱ δ' ἀνακαμψέρωτες οὕτοι προσαγορευόμενοι, τῆς γῆς ἐξαιρεθέντες, οὐ μόνον ζῶσι κρεμάμενοι χρόνον [4] ὅσον βούλεταί τις, ἀλλὰ βλαστάνουσιν [5], σπείρεται δὲ τὰ μὲν [6] πρὸς χειμῶνος, τὰ δὲ θέρους ἀκμάζοντος ὥσπερ σήσαμον καὶ μελίνη. τὸ δὲ θύμον ἢ τὸ κενταύριον ἂν εἰς αγαθὴν καὶ πίονα σπαρῇ χώραν, καὶ βρέχηται καὶ ἄρδηται, τῆς κατὰ φύσιν ἐξίσταται ποιότητος, καὶ ἀποβάλλει τὴν δύναμιν, αυχμῷ δὲ χαίρει, καὶ πρὸς τὸ οἰκεῖον ἐπιδίδωσιν· εἰ δὲ, ὥς φασιν, οὐδὲ τὰς δρόσους ἀνέχεται, καθάπερ τὰ πλεῖστα τῶν Ἀραβικῶν,

1 Ald. Baſ. Xyl. B. E. *συμφαίνεσθαι*. Steph. *συμφύρεσθαι*. Tres Graeco-lat. R. & W. *συμφέρεσθαι*, ut verterunt Amiot. & Xyl. & conſentiunt Leonic. Schott. Anon.

2 Sola Ald. *παρ' ὑμῖν*; non item Baſ. cui in ind. Frſt. & nota R. eadem lectio tribuitur.

3 Plin. H. N. XIII, 51. 52.

4 W. addidit *χρόνον* ex B. & E. Vulgo abeſt.

5 Poſt hanc vocem vulgo eſt lacunae ſignum. Id ſuſtuli, cum hic loci nil exciderit. Haud dubie, quod W. monet, non ſuo loco fuit poſitum.

6 Quae ſequuntur *πρὸς χειμῶνος* — *θύμον ἢ* W. ex B. & E. repoſuit. Vulgo nil adeſt niſi *ὡς*, cujus tamen loco in Ald. *ἢ* legitur, e Turn. autem & V. *ἢ* notatur. Pro *τὸ δὲ θύμον* dedit quidem e codd. W. *τὸν δὲ θύμον*; id autem mutandum monuit in *ὁ δὲ θύμος*. Ut ad ſcripturam propius accederem, formam neutram retinui, cujus non deſunt exempla.

κῶν, ἀλλ' ἐξαμαυρῦται διαινομενα [1] καὶ φθείρεται, τί δὴ θαυμαςόν ἐςιν, εἰ γίνονται περὶ τὴν σελήνην ῥίζαι καὶ σπέρματα καὶ ὕλαι μηθὲν ὑετῶν δεόμενα μήτε χειμώνων, ἀλλὰ πρὸς θερινὸν [2] ἀέρα καὶ λεπτὸν εὐφυῶς ἔχουσαι; πῶς δ' ἐκ εἰκὸς ἀνιέναι τε πνεύματα θαλπόμενα τῇ σελήνῃ, καὶ τῷ σάλῳ τῆς περιφορᾶς αὔρας τε παρομαρτεῖν ἀτρέμα, καὶ δρόσους καὶ ὑγρότητας ἐλαφρὰς περιεχέσας καὶ διασπειρομένας ἐπαρκεῖν τοῖς βλαςάνουσιν, αὐτῇ δὲ τῇ κράσει [3] μὴ πυρώδη, μηδ' αὐχμηρὰν, ἀλλὰ μαλακὴν καὶ ὑδροποιὸν εἶναι [4]; ξηρότητος μὲν γὰρ ὐδὲν ἀφικνεῖται πάθος ἀπ' αὐτῆς πρὸς ἡμᾶς, ὑγρότητος δὲ πολλὰ καὶ θηλύτητος, αὐξήσεις φυτῶν, σήψεις [5] κρεῶν, τροπαὶ καὶ ἀνέσεις οἴνων, μαλακότητες ξύλων, εὐτοκίαι γυναικῶν. δέδοικα δὲ ἡσυχάζοντα Φαρνάκην αὖθις ἐρεθίζειν καὶ κινεῖν, ὠκεανῦ τε [6] πλημμύρας, ὥς λέγουσιν αὐτοὶ, καὶ πορθμῶν ἐπιδόσεις, διαχεομένων [7] καὶ αὐξανομένων ὑπὸ τῆς σελήνης τῷ ἀνυγραίνεσθαι, παρατιθέμενος. διὸ πρὸς

1 Dedi sic, ut verterunt Amiot. & Xyl. pro vulg. λειαινόμενα, W. probante. Pro τί δὴ Ald. Baf. τί δέ.

2 Ald Baf. Xyl. B. E. πρόσθερον; Turn. V. Anon. Amiot. πρὸς ξηρὸν; Vulgatum Steph. dedit consentientibus Leonic. Schott. Anon. Exempl. Turn. Xyl. vers.

3 W. judice nexus desideratur, forte ita restituendus: — τὴν σελήνην — περιέχουσαν, διασπειρομένας ἐπαρκεῖν τοῖς βλαςάνουσιν· αὐτὴν δὲ τῇ κράσει —.

4 W. addidit εἶναι ex B. & E. Vulgo abest.

5 Sic W. ex B. & E. recepit pro vulg. πέψεις.

6 Ita Baf. Xyl. Amiot. ex Turn.: dubium, W. monente, utrum ex conjectura, an veteribus libris: certe, re ipsa postulante. Ald. B. E. ὥστε καὶ ἀνοιγαί; unde Anon. Turn. V. ὥστε καὶ ἀναγωγαί.

7 Ita W. ex B. & E. reposuit. Vulgo διαδεχομένων.

πρὸς σὲ τρέψομαι μᾶλλον, ὦ Φίλε Θέων· λέγεις γὰρ ἡμῖν ἐξηγούμενος ταῦτα τὰ Ἀλκμᾶνος [1].

— Διὸς θυγάτηρ, ἔρσα, τρέφει
Καὶ σελάνας δίας,

ὅτι τὸν Δία τὸν ἀέρα καλεῖ, καί Φησιν [2] αὐτὸν ὑπὸ τῆς σελήνης καθυγραινόμενον εἰς δρόσους τρέπεσθαι. κινδυνεύει γὰρ, ὦ ἑταῖρε, πρὸς τὸν ἥλιον ἀντιπαθῆ Φύσιν ἔχειν· εἴγε μὴ μόνον, ὅσα πυκνοῦν καὶ ξηραίνειν ἐκεῖνος, αὐτὴ μαλάσσειν καὶ διαχεῖν πέφυκεν, ἀλλὰ καὶ τὴν ἀπ᾽ ἐκείνου θερμότητα καθυγραίνειν καὶ καταψύχειν προσπίπτουσαν αὐτῇ καὶ συμμιγνυμένην. οἵ τε δὴ τὴν σελήνην ἔμπυρον σῶμα καὶ διακαὲς εἶναι νομίζοντες ἁμαρτάνουσιν· οἵ τε τοῖς ἐκεῖ ζώοις, ὅσα τοῖς ἐνταῦθα πρὸς γένεσιν καὶ τροΦὴν καὶ δίαιταν ἀξιοῦντες ὑπάρχειν, ἐοίκασιν ἀθέατοι [3] τῶν περὶ Φύσιν ἀνωμαλιῶν, ἐν αἷς μείζονας ἐστι καὶ πλείονας πρὸς ἄλληλα τῶν ζώων, ἢ πρὸς τὰ μὴ ζῶα, διαΦορὰς καὶ ἀνομοιότητας εὑρεῖν. καὶ ἄστομοι [4] μὲν ἄνθρωποι καὶ ὀσμαῖς τρεφόμενοι μὴ ἔστωσαν, εἰ μὴ [5] * μὴ δοκοῦσι τήν τε Ἄμμωνος ἡμῖν αὐτὸς ἐξηγεῖτο δύναμιν, ἠνίξατο μὲν Ἡσίοδος, εἰπὼν [6].

Οὐδ᾽ ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ᾽ ὄνειαρ·
ἔργῳ

1 Ald. Bas. ταύτη τὰ Ἀλκμᾶνος * θυγάτηρ ἔργα τρέφει καὶ σελάνας, ὅτι —. Hinc Xyl. locum sic restitui voluit: Ἀλκμᾶνος· οἷα Διὸς θυγάτηρ, ἔρσα, τρέφει καὶ Σελάνας, ex Quaestion. natur. c. 24. V. h. p. 21. & Symp. III, 10. Vol. XI. p. 153.

2 Ald. Bas. Xyl. B. E. ὅτι νῦν τὸν ἀέρα καλεῖ, καὶ Δία Φησὶν αὐτόν. Steph. nescio unde dedit καὶ διάΦυσιν αὐτὸν, quod in rell. transiit. W. revocavit priorem lectionem, ut meliorem certe vulgata. Equidem Xyl. correctionem, W. probatam, recepi.

3 Ald. Bas. ἐοίκασι καὶ θεαταῖς. Hinc Xyl. legendum monet ἐοίκασιν ἀθεάτοις; Turn. οὐκ ἐοίκασι θεαταῖς.

4 Ald. Bas. σύστομοι.

5 W. legendum susp. μὴ ἔστωσαν, οἱ μηδὲ εἶναι μοι δοκοῦσι· ἣν δὲ Ἀμμώνιος ἡμῖν αὐ. ἐξ. δύ. Pro τήν τε Turn. V. ἥν γε.

6 Op. & d. v. 41. Cf. Plin. H. N. XXI, 68. XXII, 32.

ἔργῳ δ' ἐμφανῆ παρέσχεν Ἐπιμενίδης, διδάξας, ὅτι μικρῷ παντάπασιν ἡ φύσις ὑπεκκαύματι ζωπυρεῖ καὶ συνέχει τὸ ζῶον, ἂν ὅσον ἐλαίας μέγεθος λάβῃ, μηδεμιᾶς ἔτι τροφῆς δεόμενον. τοὺς δ' ἐπὶ τῆς σελήνης, εἴπερ εἰσὶν, εὐσταλεῖς εἶναι τοῖς σώμασι, καὶ διαρκῶς [1] ὑπὸ τῶν τυχόντων τρέφεσθαι πιθανόν ἐστι· καὶ γὰρ αὐτὴν τὴν σελήνην, ὥσπερ τὸν ἥλιον, ζῶον ὄντα πύρινον, καὶ τῆς γῆς ὄντα πολλαπλάσιον, ἀπὸ τῶν ὑγρῶν φασι τῶν ἀπὸ [2] τῆς γῆς τρέφεσθαι, καὶ τοὺς ἄλλους ἀστέρας, ἀπείρους ὄντας· οὕτως ἐλαφρὰ καὶ λιτὰ τῶν ἀναγκαίων φέρειν ζῶα τὸν ἄνω τόπον ὑπολαμβάνουσιν. ἀλλ' οὔτε ταῦτα συνορῶμεν, οὔτε ὅτι καὶ χώρα καὶ φύσις καὶ κρᾶσις ἄλλη πρόσφορός ἐστιν αὐτοῖς. ὥσπερ οὖν, εἰ, τῇ θαλάττῃ μὴ δυναμένων ἡμῶν προσελθεῖν μηδὲ ἅψασθαι, μόνον δὲ τὴν θέαν αὐτῆς πόῤῥωθεν ἀφορώντων, καὶ πυνθανομένων, ὅτι πικρὸν καὶ ἄποτον καὶ ἁλμυρὸν ὕδωρ ἐστὶν, ἔλεγέ τις, ὡς ζῶα πολλὰ καὶ μεγάλα καὶ παντοδαπὰ ταῖς μορφαῖς τρέφει κατὰ βάθους, καὶ θηρίων ἐστὶ πλήρης ὕδατι χρωμένων, ὅσαπερ ἡμεῖς ἀέρι, μύθοις ἂν ὅμοια καὶ τέρασιν ἐδόκει περαίνειν· οὕτως ἐοίκαμεν ἔχειν, καὶ τοῦτο πάσχειν [3] πρὸς τὴν σελήνην, ἀπιστοῦντες, ἐκεῖ τινας ἀνθρώπους κατοικεῖν. ἐκείνους δ' ἂν οἴομαι πολὺ μᾶλλον ἀποθαυμάσαι τὴν γῆν, ἀφορῶντας οἷον ὑποστάθμην καὶ ἰλὺν τοῦ παντὸς ἐν ὑγροῖς καὶ ὁμίχλαις καὶ νέφεσι διαφαινομένην ἀλαμπὲς καὶ ταπεινὸν καὶ ἀκίνητον χωρίον, εἰ ζῶα φύει [4] καὶ τρέφει, μετέχοντα κινήσεως, ἀναπνοῆς, θερμότητος· κἂν εἴ ποθεν αὐτοῖς ἐγγένοιτο τῶν Ὁμηρικῶν τούτων ἀκοῦσαι [5].

F 2 Σμερ-

[1] Ald. διαρκεῖ; Baf. διαρκεῖς.

[2] Dedi ἀπὸ e Turn. V. Anon. pro vulg. ἐπὶ, W. probante.

[3] W. legendum monet τὸ αὐτὸ πάσχειν, quod vertendo significarunt Amiot. & Xyl

[4] Ita in R. correctum exhibetur, quod W. legendum monuit. Vulgo φύσει.

[5] Iliad. XX, 65, VIII, 16.

Σμερδαλέ', εὐρώεντα, τά τε ςυγέεσι θεοίπερ,

καί·

Τόσσον ἔνερθ' ἀίδαο, ὅσον 'ερανός ἐς' ἀπὸ γαίης,

ταῦτα Φήσεσιν ἀτεχνῶς περὶ τȣ̃ χωρίȣ τέτȣ λέγεθαι, καὶ τὸν ᾅδην ἐνταῦθα καὶ τὸν ταρταρον ἀποκεῖσθαι, γῆν δὲ μίαν εἶναι τὴν σελήνην, ἴσον ἐκείνων τῶν ἄνω καὶ τῶν κάτω τέτων 'απέχεσαν.

XXVI. 'Ετι δέ μȣ σχεδὸν λέγοντος, ὁ Σύλλας υπολαβών· 'Επίχες, εἶπεν, ὦ Λαμπρία, καὶ παραβαλȣ̃ τὸ θυρίον τȣ̃ λόγȣ, μὴ λάθῃς τὸν μῦθον ὥσπερ εἰς γῆν ἐξοκείλας, καὶ συγχέῃς τὸ δρᾶμα τ'ȣμὸν [1] ἑτέραν ἔχον σκηνὴν καὶ διάθεσιν. ἐγὼ μὲν ἐν ὑποκριτής εἰμι, πρότερον δ' αὐτȣ̃ φράσω τὸν ποιητὴν ὑμῖν, εἰ μή τι κωλύει, καθ' Ὅμηρον ἀρξάμενος [2].

'Ωγυγίη τις νῆσος ἀπόπροθεν εἰν ἁλὶ κεῖται,

δρόμον ἡμερῶν πέντε Βρεττανίας ἀπέχȣσα πλέοντι πρὸς ἑσπέραν· ἕτεραι δὲ τρεῖς ἴσον ἐκείνης ἀφεςῶσαι καὶ ἀλλήλων, πρόκεινται μάλιςα κατὰ δυσμὰς ἡλίȣ θερινάς· ὧν ἐν μιᾷ τὸν Κρόνον οἱ βάρβαροι καθεῖρχθαι μυθολογȣ̃σιν ὑπὸ τȣ̃ Διὸς, τὸν δὲ, ὡς υἱὸν, ἔχοντα φρȣρὸν τῶν τε νήσων ἐκείνων καὶ τῆς θαλάττης, ἣν Κρόνιον πέλαγος ὀνομάζȣσι, παρακάτω κεῖσθαι [3]. τὴν δὲ μεγάλην ἤπει-

1 Ita W. ex B. E. Anon. dedit. Turn. V. τὸ ἐμόν. Vulgo τὸ νῦν. Ald. τὸν μὲν.

2 Vulgo εἰ μή τι κωλύοι καθ' Ὅμηρον ἀρξάμενον. Dando κωλύει secutus sum W. ita ex E. & marg. B. sumentem, & plenius ita legendum suspicantem ἢ εἰ μή τι κ. κ. Ὅ. ἄρξομαι. Xyl. vertendo praeeunte dedi ἀρξάμενος. Versus est ex Odyss. VII, 244. ad narrationem ipsam tantum accommodatus. Cf. Vol. IX. p. 328.

3 Kaltw. pro τὸν δὲ ὡς υἱὸν legit τὸν δὲ βριάρεων, φρȣρὰν pro φρȣρὸν, & παρακατακεῖσθαι pro παρακάτω κεῖσθαι. Amiot. vertit ac si scriptum esset τὸν δὲ 'Ωγύγιον ἔχοντα φρȣρὰν ἐκείνȣ τε τῶν τε νήσων. W. corrigendum susp. τὸν δὲ (scil. Saturnum) ὡς ὕπνον ἔχοντα φρȣρὸν — vel forte quid post τὸν δὲ excidisse pro-

ἤπειρον, ὑφ' ἧς ἡ μεγάλη περιέχεται κύκλῳ θάλαττα [1], τῶν μὲν ἄλλων ἔλαττον ἀπέχειν, τῆς δ' Ὠγυγίας περὶ πεντακισχιλίους σταδίους, κωπήρεσι πλοίοις κομιζομένῳ· βραδύπορον γὰρ εἶναι καὶ πηλῶδες [2] ὑπὸ πλήθους ῥευμάτων τὸ πέλαγος· τὰ δὲ ῥεύματα τὴν μεγάλην ἐξιέναι γῆν, καὶ γίνεσθαι προχώσεις ἀπ' αὐτῶν, καὶ βαρεῖαν εἶναι καὶ γεώδη τὴν θάλατταν, ἣ [3] καὶ πεπηγέναι δόξαν ἔσχε. τῆς δ' ἠπείρου τὰ πρὸς τῇ θαλάττῃ κατοικεῖν Ἕλληνας περὶ κόλπον οὐκ ἐλάττονα τῆς Μαιώτιδος, οὗ τὸ στόμα τῷ στόματι τοῦ Κασπίου πελάγους μάλιστα κατ' εὐθεῖαν κεῖσθαι [4]· καλεῖν δὲ καὶ νομίζειν ἐκείνους, ἠπειρώτας μὲν αὐτοὺς, νησιώτας δὲ [5] ταύτην τὴν γῆν κατοικοῦντας, ὡς καὶ κύκλῳ περίῤῥυτον οὖσαν ὑπὸ τῆς θαλάσσης· οἴεσθαι δὲ τοῖς Κρόνου λαοῖς ἀναμιχθέντας ὕστερον τοὺς μεθ' Ἡρακλέους παραγενομένους καὶ ὑπολειφθέντας, ἤδη σβεννύμενον τὸ Ἑλληνικὸν ἐκεῖ καὶ κρατούμενον, γλώττῃ τε βαρβαρικῇ καὶ νόμοις καὶ διαίταις, οἷον ἀναζωπυρῆσαι [6] πάλιν ἰσχυρὸν καὶ πολὺ γενόμενον· διὸ τιμὰς [7] ἔχειν πρώ-

F 3

putat, ita explendum, τὸν δὲ δαίμοσί τισι τὴν θεραπείαν τοῦ πατρὸς. φροντίδα αὐτοῦ ὡς υἱὸν ἔχοντα, τήν τε φρουρὰν — ὀνομάζουσι, παρακαταθέσθαι.

1 Sic in R. jam correctum legitur, quod W. dedit. Ald. nimirum & Baſ. Xyl. Steph. θαλάττῃ; tres Graeco-lat. fecerunt θαλάττη quaſi Nominativum.

2 Ita ex Ald. & Baſ. reſtitui, conſentientibus omnibus libris teſte W. qui idem recepit, pro πυλῶδες, quod e Steph. in rell. tranſiit.

3 Reſtitui ex edd. prioribus ἣ, pro ἢ, quod in Frſt. & R. legitur. W. ᾗ.

4 Ald. κινεῖσθαι.

5 ab Ald. B. E. abſunt νησιώτας δὲ, addita in Baſ. unde ceterae habent editiones. W. monente, addi debebat in fine τοὺς.

6 Sic W. ex E. dedit. Vulgo ἀναζωπυρεῖσθαι. Ald. ἀναζωπυρᾶται; Baſ. ἀναζωπυρᾶσθαι.

7 Sic W. ex B. & E. dedit, vertendo conſentientibus Amiot. & Xyl. Vulgo διὸ καὶ ἔχειν.

πρώτας τὸν Ἡρακλέα, δευτέρας δὲ τὸν Κρόνον· ὅταν δὲ ὁ τȣ̃ Κρόνȣ ἀςὴρ, ὃν Φαίνοντα μὲν ἡμεῖς, ἐκείνȣς δὲ Νυκτȣ̃ρον ἔφη καλεῖν, εἰς ταῦρον παραγένηται δι' ἐτῶν τριάκοντα, παρασκευασαμένȣς ἐν χρόνῳ πολλῷ τὰ περὶ τὴν θυσίαν καὶ τὸν ἀπόπλȣν [1] ἐκπέμπειν κλήρῳ λαχόντας [2] ἐν πλοίοις τοσȣ́τοις θεράπειάν τε πολλὴν καὶ παρασκευὴν ἀναγκαίαν μέλλȣσι πλεῖν πέλαγος τοσȣ̃τον εἰρεσίᾳ, καὶ χρόνον ἐπὶ ξένης βιοτεύειν πολὺν, ἐμβαλλομένȣς· ἀναχθέντας ȣ̃ν χρῆσθαι [3] τύχαις, ὡς εἰκὸς, ἄλλȣς ἄλλαις· τȣ̀ς δὲ διασωθέντας ἐκ τῆς θαλάττης, πρῶτον μὲν ἐπὶ τὰς προκειμένας νήσȣς, οἰκȣμένας δὲ ὑφ' Ἑλλήνων κατέχειν [4], καὶ τὸν ἥλιον ὁρᾶν κρυπτόμενον ὥρας μιᾶς ἔλαττον ἐφ' ἡμέρας τριάκοντα· καὶ νύκτα τȣ̃το εἶναι, σκότος ἔχȣσαν ἐλαφρὸν καὶ λυκαυγὲς ἀπὸ δυσμῶν περιλαμπόμενον [5]. ἐκεῖ δὲ διατρίψαντας ἡμέρας ἐνενήκοντα, καὶ μετὰ τιμῆς καὶ φιλοφροσύνης ἱερȣ̀ς νομιζομένȣς καὶ προσαγορευομένȣς, ὑπὸ πνευμάτων ἤδη περαιȣ̃σθαι· μηδ' ἄλλȣς τινὰς ἐνοικεῖν, ἢ σφᾶς τ' αὐτȣ̀ς, καὶ τȣ̀ς πρὸ αὐτῶν ἀποπεμφθέντας· ἐξεῖναι μὲν γὰρ ἀποπλεῖν οἴκαδε τȣ̀ς τῷ θεῷ τριάκοντα ἔτη [6] συλλατρεύσαντας, αἱρεῖσθαι δὲ τȣ̀ς πλείςȣς ἐπιεικῶς

1 Vulgo καὶ τὸν ά cum figno lacunae. Hanc Xyl. & W. voce ἀπόπλȣν, quam dedi, explendam monuerunt.

2 Quae fequuntur ἐν πλοίοις — μέλλȣσι πλεῖν, addidit W. ex B. & E. monens, in παρασκευὴν E. non habere παρὰ, fed ejus loco fignum lacunae.

3 Vulgo admodum corrupte legitur πολὺν ἐμβάλλομεν· ȣ̃ς ἀναχθέντας, ὃ χρη τύχαις. Egregie haec correxi de fuo W., quem fecutus fum. Xyl. jam pro ὃ χρὴ legendum monuit χρῆσθαι.

4 B. E. κατίσχειν.

5 Sic W. ex B. & E. dedit pro vulg. περιπόμενον. E Xyl. hujus vocabuli correctione notatur περισπώμενον, quod certe aeque vitiofum eft.

6 Ald. Baf. Xyl. B. E. τρισκαιδεκάτῳ. Leonic. Schott. Anon. τρισκαίδεκα ἔτη, ἢ τριάκοντα, fignificantes alterutro modo effe corri-

εἰκὼς αὐτόθι κατοικεῖν, τοὺς μὲν ὑπὸ συνηθείας, τοὺς δὲ, ὅτι πόνου [1] δίχα καὶ πραγμάτων ἄφθονα πάρεστι πάντα πρὸς θυσίαις καὶ χορηγίαις, ἢ [2] περὶ λόγους τινὰς ἀεὶ καὶ φιλοσοφίαν διατρίβουσι. θαυμαστὸν γὰρ εἶναι, τῆς τε νήσου τὴν φύσιν, καὶ τὴν πρᾳότητα τοῦ περιέχοντος ἀέρος, ἐνίοις δὲ καὶ τὸ θεῖον ἐμποδὼν γίνεσθαι διανοηθεῖσιν ἀποπλεῖν, ὥσπερ συνήθεσι καὶ φίλοις ἐπιδεικνύμενον, οὐκ ὄναρ [3] μόνον, οὐδὲ διὰ συμβόλων, ἀλλὰ καὶ φανερῶς, ἐντυγχάνειν πολλοὺς ὄψεσι δαιμόνων καὶ φωναῖς. αὐτὸν μὲν γὰρ τὸν Κρόνον ἐν ἄντρῳ βαθεῖ περιέχεσθαι ἐπὶ πέτρας χρυσοειδοῦς καθεύδοντα, τὸν γὰρ ὕπνον αὐτῷ μεμηχανῆσθαι δεσμὸν ὑπὸ τοῦ Διὸς, ὄρνιθας δὲ τῆς πέτρας κατὰ κορυφὴν, οὓς [4] πετομένους ἀμβροσίαν ἐπιφέρειν αὐτῷ, καὶ τὴν νῆσον εὐωδίᾳ κατέχεσθαι πᾶσαν, ὥσπερ ἐκ πηγῆς σκιδναμένης τῆς πέτρας· τοὺς δὲ δαίμονας ἐκείνους περιέπειν καὶ θεραπεύειν τὸν Κρόνον, ἑταίρους αὐτῷ γενομένους, ὅτε δὴ θεῶν καὶ ἀνθρώπων ἐβασίλευσε, καὶ πολλὰ μὲν ἀφ᾽ ἑαυτῶν μαντικοὺς ὄντας προλέγειν, τὰ δὲ μέγιστα καὶ περὶ τῶν μεγίστων, ὡς ὀνείρατα τοῦ Κρόνου, κατιόντας ἐξαγγέλλειν· ὅσα γὰρ ὁ Ζεὺς προδιανοεῖται [5], ταῦτ᾽ ὀνειροπολεῖν τὸν Κρόνον· εἶναι δ᾽ ἀνάστασιν τὰ τιτανικὰ πάθη καὶ κινήματα τῆς ψυχῆς ἐν αὐτῷ. παντάπασιν



corrigendum: Utrumque recepit Steph. & in vulgatis fuit. Alterum tantum retinuit W. non ut verum, ſed ut proximum veteri lectioni, ipſe putans veram lectionem eſſe τριάκοντα ἔτη. Equidem hanc amplecti malui ob infra ſequentia cum Kaltw.

1 Ald. πολλοῦ; Turn. πολέμου; V. ποταμοῦ.

2 Vulgo οἱ, pro quo Turn. exhibet ἢ. Hoc idem W. dedit nulla ſubjuncta adnotatione — *hominibus otium traducentibus vel in ſacrificiis & chororum inſtructione, vel in literis & philoſophia.*

3 W. monente legendum videtur οὐ γὰρ ὄναρ.

4 W. delendum cenſet οὓς.

5 Vulgo προσδιανοεῖται. W. ex E. recepit προδιανοεῖται, forte corrigendum ſuſpicans ὕπαρ διανοεῖται.

ὁ ὕπνος [1] * καὶ γένηται τὸ βασιλικὸν καὶ θεῖον αὐτὸ καθ' ἑαυτὸ καθαρὸν καὶ ἀκήρατον. ἐνταῦθα δὴ κομισθεὶς, ὡς ἔλεγεν, ὁ ξένος, καὶ θεραπεύων τὸν θεὸν ἐπὶ σχολῆς, ἀςρολογίας μὲν ἐφ' ὅσον [2] γεωμετρήσαντι πορρωτάτω προελθεῖν δυνατόν ἐςιν, ἐμπειρίαν ἔσχε, φιλοσοφίας δὲ τῆς ἄλλης τῷ φυσικῷ χρώμενος. ἐπιθυμίαν δέ τινα καὶ πόθον ἔχων γενέσθαι τῆς μεγάλης νήσε θεατής· ὅτω γὰρ, ὡς ἔοικε, τὴν παρ' ἡμῖν οἰκεμένην ὀνομάζεσιν· ἐπεὶ δὲ [3] τὰ τριάκοντα ἔτη διῆλθεν, ἀφικομένων τῶν διαδόχων οἴκοθεν, ἀσπασάμενος [4] τὲς φίλες ἐξέπλευσε, τὰ μὲν ἄλλα κατεσκευασμένος εὐςαλῶς [5], ἐφόδιον δὲ συχνὸν χρυσοῖς [6] ἐκπώμασι κομίζων. ἃ μὲν ἂν ἔπαθε, καὶ ὅσες ἀνθρώπες διῆλθεν, ἱεροῖς τε γράμμασιν ἐντυγχάνων, ἐν τελεταῖς πάσαις τελέμενος, ἐ μιᾶς ἡμέρας ἔργον ἐςὶ διελθεῖν, ὡς ἐκεῖνος ἡμῖν ἀπήγγελλεν, εὖ μάλα καὶ καθ' ἕκαςον ἀπομνημονεύων· ὅσα δ' οἰκεῖα τῆς ἐνεςώσης διατριβῆς ἐςιν, ἀκέσατε. πλεῖςον γὰρ ἐν Καρχηδόνι χρόνον διέτριψεν, ἅτε δὴ παρ' ἡμῖν μεγάλας ἔχοντας καὶ τιμὰς [7], ὅτε ἡ προτέρα πόλις ἀπώλλυτο, διφθέρας ἱερὰς ὑπεκκομισθείσας κρύφα καὶ διαλαθέσας πολὺν χρόνον ἐν γῇ κειμέ-

1 W. sufp. εἶναι δὲ ἀνάςασιν αὐτε τὰ τιτανικὰ πάθη καὶ κινήματα τῆς ψυχῆς, ἃ κατευνάζων ὁ ὕπνος συςέλλει, ἕως κοσμηθῇ, καὶ γένηται —. Saturno expergefacto, exiftere animi motus cafusque Titanicos quos fomnus mulcet, donec —.

2 Inter ὅσον & γεωμετρήσαντι in Ald. & Baf. eft lacuna; Hinc Xyl. notat, nihil ad fenfum deefle; forte οἷα δὴ aut ἅτε excidiffe.

3 W. monente legendum ἐπεί γε.

4 Ald ἀσπασαμένες vitiofe.

5 Dedi fic ex Anon. & Exempl. Turn. confentientibus verss. Amiot. Xyl. & Kaltw. & probante W. pro vulg. εὐςαθῶς.

6 E συχνὸν ἐν χρυσοῖς.

7 Ald. καὶ τινὰς; Baf. μεγάλης ἔ. κ. τιμάς. W. judice corrigendum videntur ἔχοντος τε Κρόνε τιμὰς· καὶ ὅτε.

κειμένας ἐξευρὼν, τῶν τε Φαινομένων θεῶν [1] ἔφη χρῆναι, καί μοι παρεκελεύετο τιμᾷν διαφερόντως τὴν σελήνην, ὡς τοῦ βίου κυριωτάτην οὖσαν * ἐχομένην [2].

XXVII. Θαυμάζοντος δέ μου ταῦτα, καὶ δεομένου σαφέστερον ἀκοῦσαι· Πολλὰ, εἶπεν, ὦ Σύλλα, περὶ θεῶν, οὐ πάντα δὲ καλῶς λέγεται παρ' Ἕλλησιν. οἷον εὐθὺς, ὀρθῶς Δήμητραν καὶ Κόρην ὀνομάζοντες, οὐκ ὀρθῶς ὁμοῦ καὶ περὶ τὸν αὐτὸν ἀμφοτέρας εἶναι τόπον νομίζουσιν· ἡ μὲν γὰρ ἐν γῇ καὶ κυρία τῶν περὶ γῆν ἐστιν, ἡ δ' ἐν σελήνῃ καὶ τῶν περὶ σελήνην [3]. Κόρη τε καὶ ΠερσεΦόνη κέκληται, τὸ μὲν, ὡς ΦωσΦόρος οὖσα, Κόρη δὲ, ὅτι καὶ τοῦ ὄμματος, ἐν ᾧ τὸ εἴδωλον ἀντιλάμπει τοῦ βλέποντος, ὥσπερ τὸ ἡλίου φέγγος ἐνορᾶται τῇ σελήνῃ, κόρην προσαγορεύομεν. τοῖς τε περὶ τὴν πλάνην καὶ τὴν ζήτησιν αὐτῶν λεγομένοις ἔνεστι * τὸ ἀληθές [4]. ἀλλήλων γὰρ ἐφίενται χωρὶς οὖσαι, καὶ συμπλέκονται περὶ τὴν σκιὰν πολλάκις· τὸ δὲ νῦν μὲν ἐν οὐρανῷ καὶ φωτὶ, νῦν δ' ἐν σκότῳ καὶ νυκτὶ γενέσθαι τὴν Κόρην [5], ψεῦδος μὲν οὐκ ἔστιν, ὁ δὲ χρόνος [6] τῷ ἀριθμῷ πλάνην παρέσχηκεν. οὐ γὰρ ἓξ μῆνας, ἀλλὰ παρ' [7] ἓξ μῆνας, ὁρῶμεν αὐτὴν ὑπὸ τῆς γῆς, ὥσπερ ὑπὸ τῆς μητρὸς, τῇ σκιᾷ λαμβανομένην, ὀλιγάκις δὲ

F 5 τοῦτο

1 Kaltw. Φαινομένους θεοὺς esse conjicit planetas stellasque, quibus certa Deorum nomina dabantur.

2 W. supplendum censet οὖσαν ἡγεμόνα· τὴν δὲ γῆν ἐχομένην — proximo secundum illam loco Terram.

3 Ita W. dedit ex E. Vulgo καὶ παρὰ τῶν ἐν τῇ σελήνῃ. Ald. καὶ τῶν περὶ τὴν ἐν τῇ σελήνῃ.

4 Xyl. legit ἔνεστί τι ἀληθὲς sublata lacuna. W. monente tale quid excidit ἔνεστιν ἐπιεικῶς σὺν τῷ μυθώδει καὶ τὸ ἀληθές.

5 Vulgo περὶ τὴν Κόρην. Delevi περὶ W. jubente.

6 Ald. Bas. οὐδὲ χρόνου; Xyl. legisse videtur οὐδὲ χρόνος.

7 Xyl. vertit: sed fere sex menses; W. *sed sexto mense* Kaltw. *von sechs zu sechs Monathen.*

τῦτο διὰ πέντε μηνῶν παθῦσαν [1]· ἐπεὶ [2] τόν γε ᾅδην ἀπολιπεῖν ἀδύνατόν ἐςιν αὐτὴν, τῦ ᾅδυ πέρας ὖσαν [3], ὥσπερ καὶ Ὅμηρος ἐπικρυψάμενος, ὐ φαύλως τῦτο εἶπεν·

Ἀλλ' ἐς ἠλύσιον πεδίον καὶ πείρατα γαίης [4]·

ὅπυ γὰρ ἡ σκιὰ ἐπινεμομένη παύεται, τῦτο τέρμα τῆς γῆς ἔθετο καὶ πέρας· εἰς δὲ τῦτο Φαῦλος μὲν ὐδεὶς ὐδ' ἀκάθαρτος ἄνεισιν. οἱ δὲ χρηςοὶ μετὰ τὴν τελευτὴν κομισθέντες αὐτόθι, ῥᾷςον μὲν ὖτω βίον, ὐ μὴν μακάριον ὐδὲ θεῖον ἔχοντες, ἄχρι τῦ δευτέρυ θανάτυ διατελῦσι.

XXVIII. Τίς δὲ ὖτός [5] ἐςιν, ὦ Σύλλα, μὴ περὶ τύτων ἔρῃ, μέλλω γὰρ αὐτὸς διηγεῖσθαι. τὸν ἄνθρωπον οἱ πολλοὶ σύνθετον μὲν ὀρθῶς, ἐκ δυοῖν δὲ μόνον σύνθετον ὐκ ὀρθῶς ἡγῦνται· μόριον γὰρ εἶναί πως ψυχῆς οἴονται τὸν νῦν [6], ὐδὲν ἧττον ἐκείνων ἁμαρτάνοντες οἷς ἡ ψυχὴ δοκεῖ μόριον εἶναι τῦ σώματος· νῦς γὰρ ψυχῆς, ὅσῳ ψυχὴ σώματος, ἄμεινόν ἐςι καὶ θειότερον· ποιεῖ δὲ ἡ μὲν ψυχῆς σύνοδος λόγον [7], ὧν τὸ μὲν ἡδονῆς

1 Vulgo παρῦσαν; Sola R. σπαρῦσαν. Kaltw. id in παθῦσαν mutandum cenſuit, quod dedi, W. idem vel πάσχυσαν legendum monente.

2 Ald. Baſ. ἐπί; Turn. & V. εἰ.

3 Vulgo ex Steph. περῦσαν, unde id ſumtum, niſi a Bongarſio, ſe neſcire notat W. In Ald. Baſ. Xyl. B. E. eſt περ ὖσαν; Turn. & ipſum Exempl. Turn. πέρας ὖσαν, quod recipiendum putavi, W. probante & vertente: *cujus eſt ipſe terminus*. Idem Kaltw. expreſſit.

4 Odyſs. IV, 563.

5 W. ſuſp. ὄντως. Xyl. haec pro interpellatione Lampriae accepit. Hinc interpoſuit: *aiebam. Tum ille — inquit*. Amiotus autem accepit pro converſione hoſpitis ad Syllam in continua Syllae oratione. Prius, ut in re dubia, verſione retinuit W.

6 Quae ſequuntur ὐδὲν — τῦ σώματος, W. addidit ex B. & F.

7 Mutilus hic locus W. monente ſic forte reſtituendus: ποιεῖ δὲ ἡ μὲν ψυχῆς καὶ σώματος σύνοδος πάθος, ἡ δὲ νῦ καὶ ψυχῆς λό-

νῆς ἀρχὴ καὶ πόνε, τὸ δ' ἀρετῆς καὶ κακίας. τριῶν δὲ τέτων συμπαγέντων, τὸ μὲν σῶμα ἡ γῆ, τὴν δὲ ψυχὴν ἡ σελήνη, τὸν δὲ νῦν ὁ ἥλιος παρέχεν εἰς τὴν γένεσιν. * ὥσπερ [1] αὖ τῇ σελήνῃ τὸ Φέγγος. ὃν δ' ἀποθνήσκομεν θάνατον, ὁ μὲν ἐκ τριῶν δύο ποιεῖ τὸν ἄνθρωπον, ὁ δὲ ἓν ἐκ δυοῖν· καὶ ὁ μέν ἐσιν ἐν τῇ τῆς Δήμητρος [2]. * ἐν αὐτῇ τελεῖν, καὶ τὰς νεκρὰς Ἀθηναῖοι Δημητρείας ὠνόμαζον το παλαιον· ὁ δ' [3] ἐν τῇ σελήνῃ τῆς ΠερσεΦόνης· καὶ σύνοικός ἐσι, τῆς μὲν χθόνιος ὁ Ἑρμῆς, τῆς δ', ἐράνιος· λύει δ' αὐτὴ μὲν ταχὺ καὶ μετὰ βίας τὴν ψυχὴν ἀπὸ τῦ σώματος, ἡ δὲ ΠερσεΦόνη πρᾴως καὶ χρόνῳ πολλῷ τὸν νῦν ἀπὸ τῆς ψυχῆς, καὶ διὰ τῦτο μονογενὴς κέκληται· μόνον γὰρ γίνεται τὸ βέλτισον [4] τῦ ἀνθρώπε διακρινόμενον ὑπ' αυτῆς. συντυγχάνει δὲ ὕτως κατὰ Φύσιν ἑκάτερον. πᾶσαν ψυχὴν, ἄνευ τε καὶ σὺν νῷ, σώματος ἐκπεσῦσαν, εἱμαρμένον ἐσὶ τῷ [5] μεταξὺ γῆς καὶ σελήνης χωρίῳ πλανηθῆναι χρόνον ἐκ ἴσον. ἀλλ' αἱ μὲν ἄδικοι καὶ ἀκόλασοι δίκας τῶν ἀδικημάτων τίνεσι· τὰς δ'

λόγον. Ad eandem ſententiam verterunt Amiot. & Kaltw. Vulgo deinde fuit τῶν τὸ μὲν. W. ſumſit ὧν ex B. & E.

1 W. judice hiatus, ſi quidem aliquid excidit, hanc in ſententiam explendus videtur: γένεσιν· καὶ γὰρ καὶ ἡ σελήνη παρέχει τῇ γῇ ὑγρότητα γόνιμον καὶ Φέγγος, ὥσπερ αὖ ὁ ἥλιος τῇ σελήνῃ τὸ Φέγγος. Vulgo ὥσπερ ἓν. W. ſumſit αὖ ex E.

2 W. haec ſupplenda ſuſpicatur: ἐν τῇ τῆς Δήμητρος μοίρᾳ· ὅθεν τὸ μυεῖσθαι, παρωνύμως τῷ τελευτᾷν ἐν αὐτῇ, τελεῖν — altera eſt in Cereris ditione, ſeu Terra, unde initiandi & moriendi cognata ſunt nomina Graecis, τελευτᾷν & τελεῖν.

3 Ita Kaltw. corruptum vulgo locum: ὠνόμαζον. τὸ παλαιὸν δὲ, — reſtituendum monuit, dedique cum W.

4 Ita W. ex B. & E. dedit pro vulg. βέλτιον, ceteris in hoc loco variantibus. Ald. Baſ. μονὴ pro μόνον, & omittunt deinde praepoſitionem ὑπ' ante αὐτῆς. E Turn. notatur μόνε.

5 W. cum Steph. & Frſt. τὸ μεταξὺ, & legendum ſuſp. ἐν τῷ μ. Eſt τῷ in Ald. Baſ. & R.

τὰς δ' ἐπιεικεῖς, ὅσον ἀφαγνεῦσαι καὶ ἀποπνεῦσαι ἀπὸ τοῦ σώματος, ὥσπερ αἰτίου πονηροῦ, μιασμοὺς [1], ἐν τῷ πρᾳοτάτῳ τοῦ ἀέρος, ὃν λειμῶνας ᾅδου καλοῦσι, δεῖ γίνεσθαι χρόνον τινὰ τεταγμένον· εἶτα, οἷον ἐξ ἀποδημίας ἀνακομιζόμεναι φυγαδικῆς εἰς πατρίδα, γεύονται χαρᾶς, οἵαν οἱ τελούμενοι μάλιστα θορύβῳ καὶ πτοήσει συγκεκραμένῃ μετ' ἐλπίδος ἰδίας [2] ἔχουσι· πολλὰς γὰρ ἐξωθεῖ καὶ ἀποκυματίζει γλιχομένας ἤδη τῆς σελήνης [3], ἐνίας δὲ καὶ τῶν ἐκεῖ περὶ κάτω τερπομένας [4], οἷον εἰς βυθὸν αὖθις ὁρῶσι καταγινομένας. αἱ δ' ἄνω γενόμεναι, καὶ βεβαίως ἱδρύθησαν [5], πρῶτον μὲν, ὥσπερ οἱ νικηφόροι, περιΐασιν [6] ἀναδούμενοι στεφάνοις πτερῶν εὐσταθείας λεγομένας [7], ὅτι τῆς ψυχῆς τὸ ἄλογον καὶ τὸ παθητικὸν, εὐήνιον ἐπιεικῶς τῷ λόγῳ καὶ κεκοσμημένον ἐν τῷ βίῳ παρέσχοντο. δεύτερον [8], ἀκτῖνι τὴν ὄψιν ἐοικέναι [9], περὶ δὲ τὴν ψυχὴν ἄνω κουφιζομένην, ὥσπερ ἐνταῦθα, τῷ περὶ τὴν σελήνην αἰθέρι, καὶ τόνον ἀφ' αὐτοῦ

τοῦ

1 W. fusp. μιασμῶν.

2 Xyl. vertendo corrigere voluit ἡδείας, quod forte praestare W. monet.

3 W. fusp. ἤδη αὐτῆς ἡ σελήνη — *aestuando projicit Luna jam attingere eam affectantes.*

4 W. monente legendum περὶ τὰ κάτω τ. Notat idem ex B. & E. τρεπομένας, quod vulgato non praeferendum censet. Caeterum fuit hoc in R.

5 W. mavult ἱδρυθεῖσαι.

6 W. in textu & nota exhibet νικηφόροις, & legi vult νικηφόροι, περιΐασιν.

7 Quo referendum λεγομένας? Praecedens στεφάνοις requirit λεγομένοις. Malim quoque ἀναδούμεναι ad αἱ δ' ἄνω γενόμεναι.

8 Post δεύτερον Turn. & V. inserunt δέ. Ald. Baf. ἀκτίνη.

9 W. locum hunc ita corrigendum censet: ἐοικυῖαι, πυρὶ δὲ τὴν ψυχὴν, ὥσπερ ἐνταῦθα, ἄνω κουφιζομένην, ἐν τῷ περὶ τὴν σελήνην αἰθέρι. Sumsit simul τῷ ex B. & E. pro vulg. τό. — deinde visus eorum radiis est similis, anima igni, quippe sursum elata, prouti & hac in terra ignis sursum fertur, in lunari aethere —.

τῦ [1] καὶ δύναμιν, οἷον τὰ ςομῦμενα βαφὴν ἴσχυσι· τὸ γὰρ ἀραιὸν ἔτι καὶ διακεχυμένον ῥώννυται, καὶ γίνεται ςαθερὸν καὶ διαυγὲς, ὥςε ὑπὸ τῆς τυχέσης ἀναθυμιάσεως τρέφεσθαι· καὶ καλῶς Ἡράκλειτος εἶπεν, ὅτι αἱ ψυχαὶ ὀσμῶνται καθ' ᾅδην.

XXIX. Ἐφορῶσι δὲ πρῶτον μὲν αὐτῆς σελήνης τὸ μέγεθος, καὶ τὸ κάλλος, καὶ τὴν φύσιν ὐχ ἁπλῆν ὐδ' ἄμικτον, ἀλλ' οἷον ἄςρυ σύγκραμα καὶ γῆς ὖσαν· ὡς γὰρ ἡ γῆ πνεύματι μεμιγμένη καὶ ὑγρῷ μαλακὴ γέγονε, καὶ τὸ αἷμα τῇ σαρκὶ παρέχει τὴν αἴσθησιν ἐγκεκραμένον· ὕτω τῷ αἰθέρι λέγυσι τὴν σελήνην [2] ἀνακεκραμένην διὰ βάθυς, ἅμα μὲν ἔμψυχον εἶναι καὶ γόνιμον, ἅμα δ' ἰσόῤῥοπον ἔχειν τὴν πρὸς τὸ βαρὺ συμμετρίαν τῆς κυφότητος. καὶ γὰρ αὐτὸν ὕτω τὸν κόσμον ἐκ τῶν ἄνω καὶ τῶν κάτω φύσει φερομένων συνηρμοσμένον, ἀπηλλάχθαι παντάπασι τῆς κατὰ τόπον κινήσεως. ταῦτα δὲ καὶ Ξενοκράτης ἔοικεν ἐννοῆσαι θείῳ τινὶ λογισμῷ, τὴν ἀρχὴν λαβὼν παρὰ Πλάτωνος. Πλάτων γάρ ἐςιν ὁ καὶ τῶν ἀςέρων ἕκαςον ἐκ γῆς καὶ πυρὸς συνηρμόσθαι διὰ τῶν μεταξὺ φύσεων ἀναλογίᾳ δοθεισῶν [3] ἀποφηνάμενος· ὐδὲν [4] γὰρ εἰς αἴσθησιν ἐξικνεῖσθαι, ᾧ μή τι γῆς ἐμμέμικται καὶ φωτός. ὁ δὲ Ξενοκράτης τὰ μὲν ἄςρα καὶ τὸν ἥλιον ἐκ πυρός φησι καὶ τῦ πρώτυ πυκνῦ συγκεῖσθαι, τὴν δὲ σελήνην ἐκ τῦ δευτέρυ πυκνῦ καὶ τῦ ἰδίυ ἀέρος, τὴν δὲ γῆν ἐξ ὕδατος καὶ πυρὸς καὶ τῦ τρίτυ τῶν πυκνῶν· ὅλως δὲ μήτε τὸ πυκνὸν αὐτὸ καθ' αὑτὸ, μήτε τὸ μανὸν, εἶναι ψυχῆς δεκτικόν. καὶ ταῦτα μὲν περὶ ὐσίας σελήνης. εὖρος δὲ καὶ μέγεθος, ὐχ

1 W. susp. ἀπ' αὐτῦ.

2 Turn. λέγυσι τὴν γῆν.

3 W. monet, vocabulum geometricum veri speciem habere, vanam tamen, & praestare δεθεισῶν cum Leonic.

4 Ald. Bas. ὐδένα.

οὐχ ὅσον οἱ γεωμέτραι λέγουσιν, ἀλλὰ μεῖζον πολλῷ [1] ἐστί. καταμετρεῖ δὲ τὴν σκιὰν τῆς γῆς ὀλιγάκις τοῖς ἑαυτοῦ μεγέθεσιν, οὐχ ὑπὸ σμικρότητος, ἀλλὰ θερμοτάτην ἐπάγει [2] τὴν κίνησιν, ὅπως ταχὺ διαπερᾷ τὸν σκοτώδη τόπον ὑπεκφέρουσα τὰς τῶν ἀγαθῶν ψυχὰς [3] σπευδούσας καὶ βοώσας· οὐκ ἔτι γὰρ ἐξακούουσιν ἐν τῇ σκιᾷ γενόμεναι τῆς περὶ τὸν οὐρανὸν ἁρμονίας· ἅμα δὲ καὶ κάτωθεν αἱ τῶν κολαζομένων ψυχαὶ τηνικαῦτα διὰ τῆς σκιᾶς, ὀδυρόμεναι καὶ ἀλαλάζουσαι προσφέρονται [4]. (διὸ καὶ κροτεῖν ἐν ταῖς ἐκλείψεσιν εἰώθασιν οἱ πλεῖστοι χαλκώματα, καὶ ψόφον ποιεῖν καὶ πάταγον ἐπὶ τὰς ψυχάς)· ἐκφοβεῖ δ᾽ αὐτὰς καὶ τὸ καλούμενον πρόσωπον, ὅταν ἐγγὺς γένωνται, βλοσυρόν τι καὶ φρικῶδες ὁρώμενον. ἔστι δ᾽ οὐ τοιοῦτον· ἀλλ᾽ ὥσπερ ἡ παρ᾽ ἡμῖν ἔχει γῆ κόλπους βαθεῖς καὶ μεγάλους, ἕνα μὲν [5] ἐνταῦθα διὰ στηλῶν Ἡρακλείων ἀναχεόμενον εἴσω πρὸς ἡμᾶς, ἔξω δὲ τὸν Κάσπιον καὶ τοὺς περὶ τὴν Ἐρυθρὰν θάλατταν, οὕτω βάθη ταῦτα τῆς σελήνης ἐστὶ καὶ κοιλώματα· καλοῦσι δ᾽ αὐτῶν τὸ μὲν μέγιστον Ἑκάτης μυχὸν, ὅπου καὶ δίκας διδόασιν αἱ ψυχαὶ καὶ λαμβάνουσιν, ὧν ἂν ἤδη γεγενημέναι δαίμονες [6] ἢ πάθωσιν, ἢ δράσωσι· τὰ δὲ δύο, μικρὰ [7]. περαι-

1 Ald. Bas. πολλάκις.

2 Ald. ἀναθερμότητα ἐπάγει; Bas. ἀλλὰ θερμότατα ἐπ. B. θερμότητος; E. ἐπείγει. Hinc W. corrigendum censet θερμότητος ἢ ἐπείγει —.

3 ab Ald. abest τὰς & ψυχὰς; Bas. habet ψυχὰς τῶν ἀγαθῶν absque τάς.

4 Haec lectio plane est Bas. Corrupta est Ald. in qua pro ψυχαὶ datur ἀρχαὶ, & deinde ὀδυρόμεναι, ἀλλαλάζουσαι προσφερόνται. Steph. ex Leonic. Schott. Anon. dedit ὀδυρόμεναι, ἀλαλάζουσι διαφερόντως. E. V. notatur διαφέροντας. In restituenda eadem, quam dedi, lectione W. haec adnotat: „Sic B E Bas. Xyl. & in ἀλαλάζουσαι adsentitur Ald. Nam καὶ ipse addidi."

5 mare mediterraneum.

6 Addidit W. δαίμονες ex B. & E. Vulgo abest.

7 Sic Steph. ex Turn. & Amiot. At Leonic. μακρά. B. E. Ald. Bas. Xyl. τὰς δὲ δύο μακράς.

περαιᾶνται γὰρ αἱ ψυχαὶ δι᾽ αὐτῶν, νῦν μὲν εἰς τὰ πρὸς ὀρανὸν τῆς σελήνης, νῦν δὲ πάλιν εἰς τὰ πρὸς γῆν. ὀνομάζεσθαι δὲ τὰ μὲν πρὸς ὀρανὸν τῆς σελήνης, Ἠλύσιον πεδίον· τὰ δ᾽ ἐνταῦθα, Περσεφόνης ὀκ ἀντίχθονος [1].

XXX. Οὐκ ἀεὶ δὲ διατρίβουσιν ἐπ᾽ αὐτῇ [2] οἱ δαίμονες, ἀλλὰ χρηστηρίων δεῦρο κατίασιν ἐπιμελησόμενοι, καὶ ταῖς ἀνωτάτω συμπάρεισι καὶ συνοργιάζουσι τῶν τελετῶν, κολασαί τε γίνονται καὶ φύλακες ἀδικημάτων, καὶ σωτῆρες ἔν τε πολέμοις καὶ κατὰ θάλατταν ἐπιλάμπουσιν· ὅτι δ᾽ ἂν μὴ καλῶς περὶ ταῦτα πράξωσιν, ἀλλὰ ὑπ᾽ ὀργῆς [3] ἢ πρὸς ἄδικον χάριν ἢ φθόνῳ, δίκην τίνουσιν· ὠθοῦνται γὰρ αὖθις ἐπὶ γῆν συῤῥηγνύμενοι [4] σώμασιν ἀνθρωπίνοις. ἐκ δὲ τῶν βελτιόνων ἐκείνων οἵ τε περὶ τὸν Κρόνον ὄντες ἔφασαν αὐτοὺς εἶναι, καὶ πρότερον ἐν τῇ Κρήτῃ τοὺς Ἰδαίους Δακτύλους, ἔν τε Φρυγίᾳ τοὺς Κορύβαντας γενέσθαι, καὶ τοὺς περὶ Βοιωτίαν ἐν Λεβαδείᾳ [5] Τροφωνιάδας, καὶ μυρίους ἄλλους πολλαχόθι τῆς οἰκουμένης· ὧν ἱερὰ καὶ τιμαὶ καὶ προσηγορίαι διαμένουσιν· αἱ δὲ δυνάμεις ἐνίων ἀπολείπουσιν [6], εἰς ἕτερον τόπον τῆς ἀρίστης ἐξαλλαγῆς τυγχανόντων. τυγχάνουσι δὲ οἱ μὲν πρότερον, οἱ δὲ ὕστερον, ὅταν ὁ νοῦς ἀποκριθῇ τῆς ψυχῆς· ἀποκρίνεται δ᾽

1 Xyl. vertit Proserpinae & Antichthonis. Kaltw. legendum susp. ἢ ἀντίχθονα vel ἀντίχθων. W. delendum censet ὀκ ut e proximo ortum.

2 Sic W. monente legendum pro vulg. ἐπ᾽ αὐτήν. Ald. deinde χρηστηρίῳ.

3 Ald. Bas. ὑπὲρ γῆς. Hinc Xyl. notat, sententiam requirere ὕβριν.

4 W. susp. συνειργνύμενοι.

5 Ald. ἐνουλώσα: B. E. ἐν Οὐδάρα. Bas. Xyl. Steph. Amiot. Leonic. Schott. Turn. vulgatum exhibent, ex conjectura, ut W. videtur, cum in Leonic. Schott. Turn. additum sit ἴσως.

6 abest ἀπολείπουσιν ab Ald. & Bas.

δ' ἔρωτι τῆς περὶ τὸν ἥλιον εἰκόνος, δι' ἧς ἐπιλάμπει τὸ ἐφετὸν καὶ καλὸν καὶ θεῖον καὶ μακάριον, ὃ πᾶσα φύσις, ἄλλη δ' ἄλλως, ὀρέγεται. καὶ γὰρ αὐτὴν τὴν σελήνην ἔρωτι τοῦ ἡλίου περιπολεῖν ἀεὶ καὶ συγγίνεσθαι, ὀρεγομένην ἀπ' αὐτοῦ τὸ γονιμώτατον [1]. λείπεται δὲ ἡ τῆς ψυχῆς φύσις ἐπὶ τὴν σελήνην [2], οἷον ἴχνη τινὰ βίου καὶ ὀνείρατα διαφυλάττουσα· καὶ περὶ ταύτης ὀρθῶς ἡγοῦ λελέχθαι τό·

Ψυχὴ δ' ἠύτ' ὄνειρος ἀποπταμένη πεπότηται [3].

οὐδὲ γὰρ εὐθὺς, οὐδὲ τοῦ σώματος ἀπαλλαγεῖσα, τοῦτο πέπονθεν, ἀλλὰ ὕστερον, ὅταν ἔρημος καὶ μόνη τοῦ νοῦ ἀπαλλαττομένη γένηται. καὶ Ὅμηρος, ὧν εἶπε, πάντων μάλιστα δὴ κατὰ θεὸν εἰπεῖν ἔοικε περὶ τῶν καθ' ᾅδου [4].

Τὸν δὲ μετ' εἰσενόησα βίην Ἡρακληείην,
Εἴδωλον· αὐτὸς δὲ μετ' ἀθανάτοισι θεοῖσιν·

αὐτός τε γὰρ ἕκαστος ἡμῶν οὐ θυμός [5] ἐστιν, οὐδὲ φόβος, οὐδ' ἐπιθυμία, καθάπερ οὐδὲ σάρκες, οὐδὲ ὑγρότητες, ἀλλ' ᾧ [6] διανοούμεθα καὶ φρονοῦμεν, ἥ τε ψυχὴ τυπουμένη μὲν ὑπὸ τοῦ νοῦ, τυποῦσα δὲ τὸ σῶμα καὶ περιπτύσσουσα [7] πανταχόθεν ἐκμάττεται τὸ εἶδος· ὥστε κἂν πολὺν χρόνον χωρὶς ἑκατέρου γένηται, διατηροῦσα τὴν ὁμοιότητα καὶ τὸν τύπον, εἴδωλον ὀρθῶς ὀνομάζεται.

1 W. susp. forte additum fuisse λαμβάνειν vel δέχεσθαι, idque similitudine proximae vocis excidisse, ut legendum videatur περιπολεῖν ἀεὶ, συγγίνεσθαι ὀρεγομένην, καὶ ἀπ' αὐτοῦ τὸ γονιμώτατον λαμβάνειν.

2 W. susp. ἐπὶ τῇ σελήνῃ.

3 Odyss. XI, 221. & deinde 600. sq.

4 Sic vertendo expressit Amiot. & legendum monuerunt Kaltw. & W. dedique pro vulg. καθόλου.

5 pro οὐ θυμὸς Ald. & Bas. εὔθυμος.

6 Secutus sum W. ita ex Leonic. & Schott. dantem pro vulg. ὅ.

7 Ald. & Bas. mendose περὶ πτύπου. Xyl. corrigendum monuit in περιπτύσσουσα. Utraque deinde τόπον, pro quo idem Xyl. legi jussit τύπον.

ται. τούτων δὲ ἡ σελήνη, καθάπερ εἴρηται, στοιχεῖόν ἐστιν. ἀναλύονται γὰρ εἰς ταύτην, ὥσπερ εἰς τὴν γῆν τὰ σώματα τῶν νεκρῶν, ταχὺ μὲν αἱ σώφρονες μετὰ σχολῆς ἀπράγμονα καὶ φιλόσοφον στέρξασαι βίον· ἀφεθεῖσαι γὰρ ὑπὸ τοῦ νοῦ, καὶ πρὸς οὐθὲν ἔτι χρώμεναι τοῖς πάθεσιν, ἀπομαραίνονται. τῶν δὲ φιλοτίμων καὶ πρακτικῶν, ἐρωτικῶν τε περὶ σώματα, καὶ θυμοειδῶν, αἱ μὲν οἷον ἐν ὕπνῳ ταῖς τοῦ βίου μνημοσύναις ὀνείρασι χρώμεναι διαφέρονται, καθάπερ ἡ τοῦ Ἐνδυμίωνος· ἐπεὶ δ' αὐτὰς τὸ ἄστατον καὶ τὸ ἀπαθὲς [1] ἐξίστησι, καὶ ἀφέλκει τῆς σελήνης πρὸς ἄλλην γένεσιν, οὐκ ἐᾷ [2] * ἀλλ' ἀνακαλεῖται καὶ καταθέλγει. μικρὸν γὰρ οὐδὲν οὐδὲ ἥσυχον, οὐδὲ ὁμολογούμενον ἔργον ἐστὶν, ὅταν ἄνευ νοῦ τοῦ παθητικοῦ σώματος ἐπιλάβωνται. Τιτυοὶ δὲ καὶ Τυφῶνες, ὅ τε Δελφοὺς καταχὼν καὶ συνταράξας τὸ χρηστήριον ὕβρει καὶ βίᾳ Τυφὼν [3], ἐξ ἐκείνων ἄρα τῶν ψυχῶν ἦσαν, ἔρημοι λόγῳ, καὶ τύφῳ [4] πλανηθέντι τῷ παθητικῷ χρησαμένων. χρόνῳ δὲ κἀκείνας κατεδέξατο εἰς αὐτὴν ἡ σελήνη καὶ [5] κατεκόσμησεν, εἶτα τὸν νοῦν αὖθις ἐπισπείροντος τοῦ ἡλίου, τῷ ζωτικῷ δεχομένη, νέας ποιεῖ ψυχάς· ἡ δὲ γῆ τρίτον σῶμα παρέσχεν. οὐδὲν γὰρ αὕτη δίδωσι μετὰ θάνατον, ὅσα λαμβάνει

1 Ex Ald. & Baſ. notatur τὸ εὐπαθές. At in utraque exhibetur vulgatum. W. legi vult ἐμπαθές, quale quid Amiot. expreſſit. Leonic. Schott. Anon. Turn. εὐπαθές.

2 W. ſuſp. οὐκ οὐδ' ἐᾷ πρὸς τοὺς σώφρονας βίους τρέπεσθαι, ἀλλὰ πρὸς τοὺς ἀκολάστους ἀνακαλεῖται.

3 Kaltw. legit vertitque Πύθων.

4 Vulgo ἢ τύφῳ. W. ſumſit καὶ pro ἢ ex E. corrigendum cenſens: ἐρημίᾳ λόγου καὶ τύφῳ, πλανηθέντι τ. π. χρ. Kaltw. legi vult ἐρήμων ad ψυχῶν.

5 Vulgo κἀκείνας δεξαμένη εἰς αὐ. ἡ σελήνη κατεκόσμησεν. Ald. B. E. κατέδειξεν; Baſ Xyl. κατέδεξεν; Turn. V. Bong. Leonic. Schott. Anon. κατεδέξατο, quod cum W. dedi, repoſito ſimul καὶ e Baſ. Xyl. B.

βάνει πρὸς γένεσιν [1]. ἥλιος δὲ λαμβάνει μὲν ἐδὲν, ἀπολαμβάνει δὲ τὸν νῦν διδές· σελήνη δὲ [2] καὶ λαμβάνει καὶ δίδωσι, καὶ συντίθησι καὶ διαιρεῖ, κατὰ [3] ἄλλην καὶ ἄλλην δύναμιν, ὧν Εἰλείθυια μὲν, ἣ συντίθησιν, Ἄρτεμις δὲ, ἣ διαιρεῖ, καλεῖται. καὶ τριῶν Μοιρῶν, ἡ μὲν Ἄτροπος περὶ τὸν ἥλιον ἱδρυμένη, τὴν ἀρχὴν ἐνδίδωσι τῆς γενέσεως· ἡ δὲ Κλωθὼ, περὶ τὴν σελήνην Φερομένη, συνδεῖ καὶ μίγνυσιν· ἐσχάτη δὲ συνεφάπτεται [4] περὶ γῆν ἡ Λάχεσις, ἣ πλεῖςου τύχης μέτεςι. τὸ γὰρ ἄψυχον, ἄκυρον αὐτὸ καὶ παθητὸν ὑπ' ἄλλων· ὁ δὲ νῦς, ἀπαθὴς καὶ αὐτοκράτωρ: μικτὸν δὲ καὶ μέσον ἡ ψυχὴ, καθάπερ ἡ σελήνη τῶν ἄνω [5] καὶ κάτω σύμμιγμα καὶ μέγα κέρας [6] ὑπὸ τῦ θεῦ γέγονε, τῦτον ἄρα πρὸς ἥλιον ἔχεσα τὸν λόγον, ὃν ἡ γῆ [7] ἔχει πρὸς σελήνην. Ταῦτ', εἶπεν ὁ Σύλλας, ἐγὼ μὲν ἤκεσα τῦ ξένε διξιόντος· ἐκείνῳ δὲ οἱ τῦ Κρόνε κατευνας αὶ καὶ θεράποντες, ὡς ἔλεγεν αὐτὸς, ἐξήγγειλαν· ὑμῖν δὲ, ὦ Λαμπρία, χρῆσθαι τῷ λόγῳ πάρεςιν, ἧ βέλεσθε.

1 Locus mutilus, W. judice, ita fere supplendus: ἐδὲν γὰρ αὕτη δίδωσιν τοῖς ἄλλοις δυσὶ, ἀλλ' ἀποδίδωσι μετὰ θάνατον ὅσα λαμβάνει πρὸς γένεσιν.

2 Ita in R. jam correctum legitur, quod W. ex B. & E. sumsit. Vulgo σελήνης δὲ.

3 Vulgo καὶ κατὰ ἄ. Delevi καὶ cum W. auctoritate Bas. & Xyl.

4 Sic in R. correctum legitur, quod W. dedit pro vulg. συνεφάπται. Xyl. mutavit in συνεφάπτει.

5 Vulgo abest τῶν. W. addidit ex B.

6 Xyl. notat, interpretem videri legisse κέρασμα, mixturam, & sensum hunc loco congruere, cum Luna supra sit dicta σύγκραμα. W. susp. σύγκριμα vel μετακίρασμα, in hunc sensum vertentibus Amiot. & Xyl.

7 absunt ab Ald. ὃν ἡ γῆ; a Bas. abest artic. ἡ.

---

ΠΛΟΥ-

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΠΕΡΙ ΤΟΥ
## ΠΡΩΤΟΥ [1] ΨΥΧΡΟΥ.

Ἔςι τις ἄρα τȣ̃ ψυχρȣ̃ δύναμις, ὦ Φαβωρῖνε, πρώτη καὶ ȣ̉σία, καθάπερ τȣ̃ θερμȣ̃ τὸ πῦρ, ἧς παρȣσίᾳ τινὶ καὶ μετοχῇ γίνεται τῶν ἄλλων ἕκαςον ψυχρόν; ἢ μᾶλλον ἡ ψυχρότης ςέρησίς ἐςι θερμότητος, ὥσπερ τȣ̃ φωτὸς τὸ σκότος λέγȣσι, καὶ τῆς κινήσεως τὴν ςάσιν; ἐπεὶ καὶ τὸ ψυχρὸν ἔοικε ςάσιμον εἶναι, κινητικὸν δὲ τὸ θερμόν· αἵ τε τῶν θερμῶν καταψύξεις ȣ̉δεμιᾶς παρουσίᾳ γίνονται δυνάμεως, ἀλλ᾽ ἐκςάσει θερμότητος· ἅμα γὰρ ἀπιȣ̃σα πολλὴ [2] φαίνεται, καὶ ψύχεται τὸ ὑπολειπόμενον· ὁ γὰρ ἀτμὸς, ὃν τὰ ζέοντα τῶν ὑδάτων μεθίησιν, ἀπιόντι τῷ θερμῷ συνεκπίπτει· διὸ καὶ μειοῖ τὸ πλῆθος ἡ περίψυξις, ἐκκρίνȣσα τὸ θερμὸν, ἑτέρȣ μηδενὸς ἐπεισιόντος.

II. Ἢ πρῶτον μὲν ἄν τις ὑπίδοιτο τȣ̃ λόγȣ τȣ́τȣ, τὸ [3] πολλὰς τῶν ἐμφανῶν ἀναιρεῖν δυνάμεων, ὡς ȣ̉ ποιότητας ȣ̉δὲ ἕξεις, ἕξεων δὲ καὶ ποιοτήτων ςερήσεις; βαρύτητα μὲν κȣφότητος, καὶ σκληρότητα μαλακότητος, τὸ μέλαν δὲ τȣ̃ λευκȣ̃, καὶ τὸ πικρὸν τȣ̃ γλυκέος, καὶ ὧν [4] ἕκαςον ἑκάςῳ πέφυκεν ἀντικεῖσθαι κατὰ δύναμιν, ȣ̉χ ὡς ἕξει ςέρησις; ἔπειθ᾽ ὅτι πᾶσα ςέρησις ἀργόν ἐςι καὶ ἄπρακτον, ὡς τυφλότης, καὶ κωφότης, καὶ σιωπὴ, καὶ θάνατος· ἐκςάσεις γάρ εἰσιν εἰδῶν καὶ ἀναιρέσεις



ȣ̉σιῶν

1 Mez. πρώτως.

2 Mez. ὅλη. Aliud requiri monet W. susp. ἅμα γὰρ ἀπιȣ̃σα ἢ πολλῇ φαίνεται, *simul enim hic confertim abiit, apparet frigus.*

3 Pro τὸ Turn. V. Bong. τῷ.

4 W. judice aut καὶ delendum, aut legendum καὶ ἄλλων ὧν —.

'ϰσιῶν, ϰ φύσεις τινὲς ϰδ' ϰσίαι ϰαθ' ἑαυτάς· ἡ δὲ ψυχρότης ϰϰ ἐλάττονα τῆς θερμότητος ἐγγινομένη τοῖς σώμασι πάθη ϰαὶ μεταβολὰς ἐνεργάζεσθαι πέφυϰε· ϰαὶ γὰρ πήγνυται πολλὰ τῷ ψυχρῷ ϰαὶ συγϰρίνεται [1] ϰαὶ πυϰνῦται· ϰαὶ τὸ στάσιμον αὐτῶν ϰαὶ δυσϰίνητον ϰϰ ἀργὸν ἐστιν, ἀλλ' ἐμβριθὲς ϰαὶ βέβαιον, ὑπὸ ῥώμης συνερειστιϰὸν ϰαὶ συνεϰτιϰὸν ἐχϰσης τόνον. ὅθεν ἡ μὲν στέρησις ἔϰλειψις γίνεται ϰαὶ ὑποχώρησις τῆς ἀντιϰειμένης δυνάμεως, ψύχεται ϰαὶ πολλὰ, πολλῆς αὐτοῖς θερμότητος ἐνυπαρχϰσης, ἔνια δὲ ϰαὶ μᾶλλον ἡ ψυχρότης, ἂν λάβη θερμότερα, πήγνυσι ϰαὶ συνάγει, ϰαθάπερ τὸν βαπτόμενον σίδηρον· οἱ δὲ Στωϊϰοὶ ϰαὶ τὸ πνεῦμα λέγϰσιν ἐν τοῖς σώμασι τῶν βρεφῶν τῇ περιψύξει στομῦσθαι, ϰαὶ μεταβάλλον ἐϰ φύσεως γίνεσθαι ψυχήν· ἀλλὰ τϰτο ἀμφισβητήσιμον. ἑτέρων δὲ πολλῶν τὴν ψυχρότητα φαινομένην δημιϰργὸν, ϰϰ ἄξιον ἡγεῖσθαι στέρησιν.

III. Ἔτι στέρησις μὲν ϰδεμία δέχεται τὸ μᾶλλον ϰαὶ τὸ ἧττον, ϰδ' ἂν εἴποι τις, ἕτερον ἑτέρϰ μᾶλλον πεπηρῶσθαι τῶν μὴ βλεπόντων, ἢ σιωπᾶν τῶν μὴ φθεγγομένων, ἢ τεθνάναι τῶν μὴ ζώντων· ἐν δὲ τοῖς ψυχροῖς πολὺ τὸ μᾶλλον ϰαὶ τὸ ἧττον ἔνεστι, ϰαὶ τὸ λίαν ϰαὶ τὸ μὴ λίαν, ϰαὶ ὅλως ἐπιτάσεις ϰαὶ ἀνέσεις, ὥσπερ ἐν τοῖς θερμοῖς, διὰ τὸ [2] τὴν ὕλην πῆ μὲν σφόδρα, πῆ δ' ἠρέμα πάσχϰσαν ὑπὸ τῶν ἐναντίων δυνάμεων, ἕτερα μᾶλλον ἑτέρων ϰαὶ θερμότερα ϰαὶ ψυχρότερα παρέχειν ἐξ ἑαυτῆς. ϰαὶ γὰρ ἕξεως μὲν ϰϰ ἔστι μίξις πρὸς στέρησιν, ϰδ' ἀναδέχεται δύναμις ϰδεμία τὴν ἀντιϰειμένην αὐτῇ στέρησιν ἐμποιϰσαν [3], ϰδὲ ποιεῖ ϰοινωνὸν, ἀλλ' ἀντεξίσταται· θερμὰ δέ ἐστιν, ἄχρις ϰ ϰεραν-

1 Ita cum W. dedi ex Petav. adſentiente E. Vulgo ἐγϰρίνεται. Mez. ἐϰϰρίνεται.

2 Sic e Mez. correctione, W. probata, dedi pro vulg. διὸ τὴν ὕ.

3 W. ſuſp. ἐνοποιϰσαν.

κεραννύμενα ψυχροῖς ὑπομένει, καθάπερ μέλανα λευκοῖς, καὶ βαρέσιν ὀξέα, καὶ γλυκέσιν αὐςηρὰ, παρέχοντα τῇ κοινωνίᾳ ταύτῃ καὶ ἁρμονίᾳ χρωμάτων τε καὶ φθόγγων καὶ φαρμάκων καὶ ὄψων προσφιλεῖς πολλὰς καὶ φιλανθρώπȣς γενέσεις. ἡ μὲν γὰρ κατὰ ςέρησιν καὶ ἕξιν ἀντίθεσις, πολεμικὴ καὶ ἀσύμβατός ἐςιν, ȣ̓σίαν θατέρȣ τὴν θατέρȣ φθορὰν ἔχοντος· τῇ δὲ κατὰ τὰς ἐναντίας δυνάμεις καιρȣ̃ τυχȣ́σῃ πολλὰ μὲν αἱ τέχναι χρῶνται, πλεῖςα δὲ ἡ φύσις ἔν τε ταῖς ἄλλαις γενέσεσι καὶ ταῖς περὶ τὸν ἀέρα τροπαῖς [1], καὶ ὅσα διακοσμῶν καὶ βραβεύων ὁ θεὸς ἁρμονικὸς καλεῖται καὶ μȣσικὸς, ȣ̓ βαρύτητας συναρμόττων καὶ ὀξύτητας, ȣ̓δὲ λευκὰ καὶ μέλανα συμφώνως ὁμιλȣ̃ντα παρέχων ἀλλήλοις, ἀλλὰ τὴν τῆς θερμότητος καὶ ψυχρότητος ἐν κόσμῳ κοινωνίαν καὶ διαφορὰν, ὅπως συνοίσωνταί τε μετρίως, καὶ διοίσωνται πάλιν, ἐπιτροπεύων, καὶ τὸ ἄγαν ἑκατέρας ἀφαιρῶν, εἰς τὸ δέον ἀμφοτέρας καθίςησι.

IV. Καὶ μὴν ψυχρȣ̃ μὲν αἴσθησίς ἐςιν, ὥσπερ καὶ θερμȣ̃· ςέρησις δὲ ȣ̓́τε ὁρατὸν, ȣ̓́τ' ἀκȣςὸν, ȣ̓́τε ἁπτὸν, ȣ̓́τε ταῖς ἄλλαις αἰσθήσεσι γνωςόν· ȣ̓σίας γάρ τινος αἴσθησις ἦν. ὅπȣ δ' ȣ̓σία μὴ φαίνεται, νοεῖται ςέρησις, ȣ̓σίας ἀπόφασις ȣ̓̃σα, καθάπερ ὄψεως, τυφλότης· καὶ φωνῆς, σιωπή· καὶ σώματος, ἐρημία καὶ κενόν. ȣ̓́τε γὰρ κενȣ̃ δι' ἁφῆς αἴσθησίς ἐςιν, ἀλλ' ὅπȣ μὴ γίνεται σώματος ἁφὴ, κενȣ̃ γίνεται νόησις· ȣ̓́τε σιγῆς ἀκȣ́ομεν, ἀλλὰ κἂν μηδενὸς ἀκȣ́ωμεν, σιγὴν νοȣ̃μεν. ὡς δ' αὔτως καὶ τυφλῶν καὶ γυμνῶν καὶ ἀνόπλων ȣ̓κ αἴσθησίς ἐςιν, ἀλλ' αἰσθήσεως ἀπόφασις [2], νόησις. ἔδει τοίνυν μὴ γίνεσθαι ψυχρῶν αἴσθησιν, ἀλλ' ὅπȣ τὸ θερμὸν ἐπιλείπει, νοεῖσθαι τὸ ψυχρὸν, εἴπερ ἦν θερμȣ̃ ςέρησις· εἰ δ', ὥσπερ τὸ θερμὸν ἀλέᾳ καὶ διακρίσει τῆς σαρκὸς, ȣ̓́τω συγκρίσει καὶ πυκνώσει τὸ ψυχρὸν αἰσθητόν



1 Petav. περιτροπαῖς.

2 W. monente legendum ἀποφάσει, ut Xyl. vertit.

τόν ἐςι, δῆλον, ὅτι καὶ ψυχρότητος ἰδία τις ἐςὶν ἀρχὴ καὶ πηγὴ, καθάπερ θερμότητος.

V. Ἔτι τοίνυν ἕν τι καὶ ἁπλȣν ἡ περὶ ἕκαςον εἶδος ςέρησις, αἱ δ' ȣσίαι πλείονας διαφορὰς καὶ δυνάμεις ἔχȣσι· μονοειδὲς γὰρ ἡ σιωπὴ, ποικίλον δὲ ἡ φωνὴ, νῦν μὲν ἐνοχλȣσα, νῦν δὲ τέρπȣσα τὴν αἴσθησιν. ἔχει δὲ τοιαύτας καὶ τὰ χρώματα καὶ τὰ σχήματα διαφορὰς, ἐν αἷς ἄλλοτε ἄλλως τὸν προστυγχάνοντα [1] διατίθησι· τὸ δ' ἀναφὲς καὶ ἄχρωςον, καὶ ὅλως ἄποιον, ȣκ ἔχει διαφορὰν, ἀλλ' ὅμοιόν ἐςιν.

VI. Ἆρ' ȣν ἔοικε τοῖς ςερητικοῖς τȣτοις τὸ ψυχρὸν, ὥςε μὴ ποιεῖν ἐν τοῖς πάθεσι διαφορὰν; ἢ τȣναντίον ἡδοναί τε μεγάλαι καὶ ὠφέλιμοι τοῖς σώμασιν ἀπὸ ψυχρȣν ὑπάρχȣσι, καὶ βλάβαι πάλιν νεανικαὶ καὶ πόνοι καὶ βαρύτητες, ὑφ' ἃν ȣκ ἀεὶ φεύγει καὶ ἀπολείπει τὸ θερμὸν, ἀλλὰ πολλάκις ἐγκαταλαμβανόμενον ἀνθίςαται καὶ μάχεται, τῇ μάχῃ δ' αὐτῶν ὄνομα φρίκη καὶ τρόμος, ἡττωμένῳ δὲ τῷ θερμῷ τὸ πήγνυσθαι καὶ ναρκȣν ἐπιγίγνεται, κρατȣν δὲ τȣ ψυχρȣ, διάχυσιν παρέχει καὶ ἀλέαν τῷ σώματι μεθ' ἡδονῆς, ὅπερ Ὅμηρος ἰαίνεσθαι κέκληκεν [2]. ἀλλὰ ταῦτά γε παντὶ δῆλα· καὶ τȣτοις ȣχ ἥκιςα τοῖς πάθεσιν ἐνδείκνυται τὸ ψυχρὸν, ὅτι πρὸς τὸ θερμὸν, ὡς ȣσία πρὸς ȣσίαν, ἢ πάθος πρὸς πάθος, ȣχ ὡς ἀπόφασις ἀντίκειται καὶ ςέρησις, ȣδὲ φθορά τις ἐςὶ τȣ θερμȣ καὶ ἀναίρεσις, ἀλλὰ φθαρτικὴ φύσις καὶ δύναμις· ἢ καὶ τὸν χειμῶνα τῶν ὡρῶν, καὶ τὰ βόρεια τῶν πνευμάτων ἐξέλωμεν, ὡς ςερήσεις ὄντα τῶν θερμῶν καὶ νοτίων, ἰδίαν δ' ἀρχὴν ȣκ ἔχοντα.

VII. Καὶ μὴν τεττάρων γε τῶν πρώτων ὄντων ἐν τῷ παντὶ σωμάτων, ἃ διὰ πλῆθος καὶ ἁπλότητα καὶ δύναμιν οἱ πλεῖςοι ςοιχεῖα τῶν ἄλλων ὑποτίθενται καὶ ἀρχὰς,

1 Petav. πρὸς τὸν τυγχάνοντα, omissis seqq. διατίθησι — ȣκ ἔχει.

2 Iliad. XV, 103; XXIII, 600. & alibi.

χὰς, πυρὸς καὶ ὕδατος καὶ ἀέρος καὶ γῆς, ἀναγκαῖόν ἐςι, καὶ ποιότητας εἶναι τὰς πρώτας καὶ ἁπλᾶς τοσαύτας. τίνες ὖν εἴσιν αὗται, πλὴν θερμότης καὶ ψυχρότης καὶ ξηρότης καὶ ὑγρότης, αἷς τὰ ςοιχεῖα πάσχειν ἅπαντα καὶ ποιεῖν πέφυκεν; ὡς δὲ τῶν ἐν γραμματικῇ ςοιχείων βραχύτητές εἰσι καὶ μακρότητες, τῶν δ' ἐν μεσικῇ βαρύτητες καὶ ὀξύτητες, ὖ θάτερα τῶν ἑτέρων ςέρησις, ὕτως ἐν τοῖς φυσικοῖς σώμασιν ἀντὶ ςοιχείων [1] ἀπολειπτέον ὑγρῶν πρὸς ξηρὰ καὶ ψυχρῶν πρὸς θερμὰ, τὸ κατὰ λόγον ἅμα καὶ τὰ φαινόμενα διαφυλάττοντας. ἢ, καθάπερ Ἀναξιμένης ὁ παλαιὸς ᾤετο, μήτε τὸ ψυχρὸν ἐν ὐσίᾳ, μήτε τὸ θερμὸν ἀπολείπωμεν [2], ἀλλὰ πάθη κοινὰ τῆς ὕλης ἐπιγινόμενα ταῖς μεταβολαῖς· τὸ γὰρ συςελλόμενον αὐτῆς καὶ πυκνέμενον, ψυχρὸν εἶναι φησί· τὸ δὲ [3] ἀραιὸν καὶ τὸ χαλαρὸν, ὕτω πως ὀνομάσας καὶ τῷ ῥήματι, θερμόν· ὅθεν ὐκ ἀπεικότως λέγεσθαι [4] τὸ καὶ θερμὰ τὸν ἄνθρωπον ἐκ τῦ ςόματος καὶ ψυχρὰ μεθιέναι· ψύχεται γὰρ ἡ πνοὴ πιεσθεῖσα καὶ πυκνωθεῖσα τοῖς χείλεσιν, ἀνειμένυ δὲ τῦ ςόματος ἐκπίπτυσα γίνεται θερμὸν [5] ὑπὸ μανότητος. τῦτο μὲν ὖν ἀγνόημα ποιεῖται τῦ ἀνδρὸς ὁ Ἀριςοτέλης· ἀνειμένυ γὰρ τῦ ςόματος, ἐκπνεῖσθαι τὸ θερμὸν ἐξ ἡμῶν αὐτῶν, ὅταν δὲ συςρέψαντες τὰ χείλη φυσήσωμεν, ὐ τὸν ἐξ ἡμῶν, ἀλλὰ τὸν ἀέρα



1 Mez. ἀντὶ ςοιχείων corrigit in ἀντιςοιχείαν, W. judice acute & verisimillime. Torn. deinde V. Bong. Petav. ὑποληπτέον.

2 Ita Petav. & Mez. dedique cum W. pro vulg. ἀπολείπομεν.

3 Sic Ald. Baf. Xyl. Pet. & Venet. dedique cum W. pro vulg. τὸ καὶ ἀ.

4 Veterem hanc lectionem W. revocavit ex E. Ald. Baf. Xyl. Pet. Vulgo λέγεται ex Leonic. Schott. Anon. Turn. Amiot.

5 Mez. θερμή.

τὸν πρὸ τοῦ σώματος ὠθεῖσθαι ψυχρὸν ὄντα καὶ προσπίπτειν [1].

VIII. Εἰ δ' ἀπολειπτέον [2] οὐσίαν ψυχροῦ καὶ θερμοῦ, προσάγωμεν ἐπὶ τὸ ἑξῆς τὸν λόγον, ἥτις ἐστὶν οὐσία καὶ ἀρχὴ καὶ φύσις ψυχρότητος, ζητοῦντες. οἱ μὲν οὖν, τῶν σκαληνῶν καὶ τριγωνοειδῶν σχηματισμῶν ἐν τοῖς σώμασι κειμένων, τὸ ῥιγοῦν καὶ τρέμειν καὶ φρίττειν, καὶ ὅσα συγγενῆ τοῖς πάθεσι τούτοις, ὑπὸ τραχύτητος ἐγγίνεσθαι λέγοντες, εἰ καὶ τοῖς κατὰ μέρος διαμαρτάνουσι, τὴν γοῦν [3] ἀρχήν, ὅθεν δεῖ, λαμβάνουσι· δεῖ γάρ, ὥσπερ ἀφ' ἑστίας, τῆς τῶν ὅλων οὐσίας, ἄρχεσθαι τὴν ζήτησιν. ᾧ καὶ μάλιστα δόξειεν ἂν ἰατροῦ καὶ γεωργοῦ καὶ αὐλητοῦ διαφέρειν ὁ φιλόσοφος. ἐκείνοις μὲν γὰρ ἐξαρκεῖ τὰ ἔσχατα τῶν αἰτίων θεωρῆσαι· τὸ γὰρ ἐγγυτάτω τοῦ πάθους αἴτιον ἂν συνοφθῇ, πυρετοῦ μὲν ἔντασις [4] ἢ παρέμπτωσις, ἐρυσίβης δὲ ἥλιοι πυριφλεγεῖς ἐπ' ὄμβρῳ, βαρύτητος δὲ κλίσις αὐλῶν καὶ συναγωγὴ πρὸς ἀλλήλους, ἱκανόν ἐστι τῷ τεχνίτῃ πρὸς τὸ οἰκεῖον ἔργον. τῷ δὲ φυσικῷ, θεωρίας ἕνεκα μετιόντι τἀληθές, ἡ τῶν ἐσχάτων γνῶσις οὐ τέλος ἐστίν, ἀλλ' ἀρχὴ τῆς ἐπὶ τὰ πρῶτα καὶ ἀνωτάτω πορείας. διὸ καὶ Πλάτων ὀρθῶς καὶ Δημόκριτος [5], αἰτίαν θερμότητος καὶ βαρύτητος ζητοῦντες, οὐ κατέπαυσαν ἐν γῇ καὶ πυρὶ τὸν λόγον, ἀλλ' ἐπὶ τὰς νοητὰς ἀναφέροντες ἀρχὰς τὰ αἰσθητά, μέχρι τῶν ἐλαχίστων, ὥσπερ σπερμάτων, προῆλθον.



1 Sic W. dedit ex B. & E. idem e Venet. notans. Vulgo προεμπίπτειν. Petav. προσεμπίπτειν. Addo, hoc ipsum legi in Ald. & Baſ.

2 Ita eſt in Ald. & Baſ. Dedit quoque W. pro vulg. ἀπολειπτέον. B. ὑπολειπτέον, in marg. autem vulgata eſt poſita.

3 abeſt γοῦν a Pet. Ald. Baſ.

4 E Turn notatur, pro ἔντασις ex Galeno legi debere ἔνστασις.

5 W. quaerit, an Ξενοκράτης?

IX. Οὐ μὴν ἀλλὰ καὶ τὰ αἰσθητὰ ταυτὶ προανακινῆσαι βέλτιόν ἐστιν, ἐν οἷς Ἐμπεδοκλῆς τε καὶ Στράτων καὶ οἱ Στωϊκοὶ τὰς ἐσίας τίθενται τῶν δυνάμεων, οἱ μὲν Στωϊκοὶ τῷ ἀέρι τὸ πρώτως ψυχρὸν ἀποδιδόντες, Ἐμπεδοκλῆς δὲ καὶ Στράτων τῷ ὕδατι, τὴν δὲ γῆν ἴσως ἂν ἕτερος Φανείη ψυχρότητος ἐσίαν ὑποτιθέμενος. πρότερον δὲ τὰ ἐκείνων σκοπῶμεν. ἐπεὶ τὸ πῦρ θερμὸν ἅμα καὶ λαμπρόν ἐστι, δεῖ τὴν ἀντικειμένην τῷ πυρὶ Φύσιν ψυχράν τ' εἶναι καὶ σκοτεινήν· ἀντίκειται γάρ, ὡς τῷ λαμπρῷ τὸ ζοφερὸν, ἔτω τῷ θερμῷ τὸ ψυχρόν· ἐστι γὰρ, ὡς ὄψεως τὸ σκοτεινὸν, ἔτω τὸ ψυχρὸν ἁφῆς συγχυτικόν· ἡ δὲ θερμότης διαχεῖ τὴν αἴσθησιν τῦ ἁπτομένυ, καθάπερ ἡ λαμπρότης, τῦ ὁρῶντος. τὸ ἄρα πρώτως σκοτεινὸν ἐν τῇ Φύσει, πρώτως καὶ ψυχρόν ἐστιν. ὅτι δ' ἀὴρ τὸ πρώτως σκοτεινόν ἐστιν, ἐδὲ τὲς ποιητὰς λέληθεν· ἀέρα γὰρ τὸ σκότος καλῦσιν [1].

Ἀὴρ γὰρ παρὰ νηυσὶ βαθὺς ἦν, ἐδὲ σελήνη
Οὐρανόθεν πρῦφαινεν.

καὶ πάλιν·

Αὐτίκα δ' ἠέρα μὲν σκέδασεν καὶ ἀπῶσεν ὀμίχλην,
Ἠέλιος δ' ἐπέλαμψε· μάχη δ' ἐπὶ πᾶσι Φαάνθη.

καὶ γὰρ κνέφας τὸν ἀφώτιστον ἀέρα καλῦσι, κενὸν, ὡς ἔοικε, Φάυς ὄντα· καὶ νέφος ὁ συμπεσὼν καὶ πυκνωθεὶς ἀὴρ ἀποφάσει Φωτὸς κέκληται· καλεῖται [2] δὲ καὶ ἀχλὺς καὶ ὀμίχλη, καὶ ὅσα τῦ Φωτὸς ἐ παρέχει τῇ αἰσθήσει δίοψιν, ἀέρος εἰσὶ διαφοραί· καὶ τὸ ἀειδὲς αὐτῦ καὶ ἄχρωστον Ἅδης καὶ Ἀχέρων ἐπίκλησιν ἔχει. ὥσπερ ἐν αὐγῆς ἐπιλιπέσης σκοτεινὸς ἀὴρ, ἔτω θερμῦ μεταστάντος, τὸ ἀπολειπόμενον ἀὴρ ψυχρὸς, ἄλλο δ' ἐδέν,



1 Odyss. IX, 143. Iliad. XVII, 649.

2 aliud latere vocabulum, monet W. e Mez. notans κνηκὶς, quae vox infra c. XIV. legitur, juncta cum νέφη & ὁμίχλαι.

ἐδέν, ἐστι· διὸ καὶ τάρταρος ἔτος ὑπὸ ψυχρότητος κέκληται· δηλοῖ δὲ καὶ Ἡσίοδος, εἰπὼν [1],

— Τάρταρον ἠερόεντα·

καὶ τὸ ῥιγοῦντα πάλλεσθαι καὶ τρέμειν, ταρταρίζειν. ταῦτα μὲν οὖν τοιοῦτον ἔχει λόγον.

X. Ἐπεὶ δὲ ἡ φθορὰ μεταβολή τις ἐστὶ τῶν φθειρομένων εἰς τοὐναντίον ἑκάστῳ, σκοπῶμεν, εἰ καλῶς εἴρηται τὸ, πυρὸς θάνατος, ἀέρος γένεσις. θνήσκει γὰρ καὶ πῦρ, ὥσπερ ζῶον, ἢ βίᾳ σβεννύμενον, ἢ δι' αὑτοῦ μαραινόμενον. ἡ μὲν οὖν σβέσις ἐμφανεστέραν ποιεῖ τὴν εἰς ἀέρα μεταβολὴν αὐτοῦ· καὶ γὰρ ὁ καπνὸς ἀέρος ἐστὶν εἶδος, καὶ ἡ, κατὰ Πίνδαρον,

Ἀέρος κνίσσ' ἀντιλακτίζουσα καπνῷ,

λιγνὺς καὶ ἀναθυμίασις [2]. οὐ μὴν ἀλλὰ καὶ φθινούσης ἀτροφίᾳ φλογὸς ἰδεῖν ἐστιν, ὥσπερ ἐπὶ τῶν λύχνων, τὸ ἄκρον εἰς ἀέρα καὶ γνοφώδη καὶ ζοφερὸν ἀποχεόμενον [3]. ἱκανῶς δὲ καὶ ὁ τῶν μετὰ λουτρὸν ἢ πυρίαν περιχεαμένων ψυχρὸν [4] ἀνιὼν ἀτμὸς ἐνδείκνυται τὴν εἰς ἀέρα τοῦ θερμοῦ φθειρομένου μεταβολὴν, ὡς φύσει [5] πρὸς τὸ πῦρ ἀντικείμενον· ᾧ τὸ πρώτως τὸν ἀέρα σκοτεινὸν εἶναι καὶ ψυχρὸν ἠκολούθει.

XI. Καὶ μὴν, ἁπάντων γε τῶν γινομένων ὑπὸ ψυχρότητος τοῖς [6] σώμασι, σφοδρότατον καὶ βιαιότατον ἡ πῆξις οὖσα, πάθος μέν ἐστιν ὕδατος, ἔργον δ' ἀέρος·

αὐτὸ

1 Theogon. 119.

2 Ab Ald. Baf. Xyl. Amiot. abfunt λιγνὺς καὶ ἀναθυμίασις; Steph. addidit, non diffentientibus, ut W. notat, excerptis codd. B. E. Venet.

3 Ita cum W. dedi e Baf. & Xyl. Vulgo ἀποχεομένων.

4 Sic cum W. dedi ex Ald. Baf. Xyl. Venet. Vulgo περιχομένων ψυχρῶν, quod Steph. fumfit e Collat. Muret. ac Schott. Sofpic. Kaltw. περιχεομένων ψυχρῷ. Prius vocabulum e Turn. & V. notatur.

5 Ald. Baf. ὡς φησι. Xyl. correxit.

6 Petav. ἐν τοῖς σώμ.

αὐτὸ μὲν γὰρ καθ' ἑαυτὸ τὸ ὕδωρ εὐδιάχυτον καὶ ἀπαγὲς καὶ ἀσύςατόν ἐςιν, ἐντείνεται δὲ καὶ συνάγεται τῷ ἀέρι [1] σφιγγόμενον ὑπὸ ψυχρότητος. διὸ καὶ λέλεκται·

Εἰ δὲ νότος βορέην προκαλέσσεται, αὐτίκα νίψει·

τοῦ γὰρ νότου καθάπερ ὕλην τὴν ὑγρότητα παρασκευάσαντος, ὁ βόρειος ἀὴρ ὑπολαβὼν ἔπηξε. καὶ δῆλόν ἐςι μάλιςα περὶ τὰς χιόνας· ἀέρα γὰρ μεθεῖσαι καὶ προαναπνεύσασαι λεπτὸν καὶ ψυχρὸν, οὕτω ῥέουσιν [2]. Ἀριςοτέλης δὲ καὶ τὰς ἀκόνας τοῦ μολίβδου τήκεσθαί φησι καὶ ῥεῖν ὑπὸ κρύους καὶ χειμῶνος, ὕδατος μόνου πλησιάζοντος αὐταῖς· ὁ δ' ἀὴρ (ὡς ἔοικε) συνελαύνων τὰ σώματα τῇ ψυχρότητι, καταθραύει καὶ ῥήγνυσιν.

XII. Ἔτι τοίνυν τὰ μὲν ἀποσπαθέντα τῆς πηγῆς ὕδατα μᾶλλον πήγνυται· μᾶλλον γὰρ ὁ ἀὴρ ἐπικρατεῖ τοῦ ἐλάττονος. ἂν δέ τις ψυχρὸν ἐκ φρέατος ὕδωρ λαβὼν ἐν ἀγγείῳ, καὶ καθεὶς αὖθις εἰς τὸ φρέαρ, ὥςε μὴ ψαύειν τοῦ ὕδατος τὸ ἀγγεῖον, ἀλλ' ἐν τῷ ἀέρι κρέμασθαι, περιμείνῃ χρόνον οὐ πολὺν, ἔςαι ψυχρότερον τὸ ὕδωρ· ᾧ μάλιςα δηλοῦται, τὸ μὴ τοῦ ὕδατος εἶναι τὴν πρώτην αἰτίαν τῆς ψυχρότητος, ἀλλὰ τοῦ ἀέρος. τῶν γε μὴν μεγάλων ποταμῶν οὐδεὶς πήγνυται διὰ βάθους· οὐ γὰρ καθίησιν εἰς ὅλον ὁ [3] ἀὴρ, ἀλλὰ ὅσα τῇ ψυχρότητι περιλαμβάνει ψαύων καὶ πλησιάζων, ταῦτα ἵςησιν. ὅθεν οἱ βάρβαροι διαβαίνουσι πεζῇ, προβαλόντες ἀλώπεκας· ἂν γὰρ μὴ πολὺς ἀλλ' ἐπιπόλαιος ὁ πάγος ᾖ, αἰσθανόμεναι τῷ ψόφῳ τοῦ ὑποῤῥέοντος [4], ἀναςρέφουσιν· ἔνιοι δὲ καὶ θηρεύουσιν ἰχθῦς, ὕδατι θερμῷ τοῦ πάγου παραλύοντες καὶ χαλῶντες, τότε τὴν ὁρμὴν δεξαμένων [5]. οὕτως οὐδὲν ὑπὸ τοῦ ψυχροῦ τὸ ἐν βάθει πέπονθε. καίτοι

1 a Petav. absunt συνάγεται τῷ ἀέρι.
2 cf. Sympos. VI. 6. & deinde quaest. 8. & 4.
3 abest ὁ a Petav.
4 Pro hac voce Petav. ὑποφέροντος ὕδατος.
5 W. susp. τό γε — δεξόμενον.

τοι τῶν ἄνω τοσαύτη γίνεται μεταβολὴ διὰ τὴν πῆξιν, ὥστε συντρίβειν τὰ πλοῖα τὸ ὕδωρ ἀποβιαζόμενον εἰς ἑαυτὸ καὶ συνθλιβόμενον, ὡς ἱστοροῦσιν οἱ νῦν μετὰ τοῦ Καίσαρος ἐπὶ τοῦ Ἴστρου διαχειμάσαντες. οὐ μὴν ἀλλὰ καὶ τὸ περὶ ἡμᾶς συμβαῖνον ἱκανὴν μαρτυρίαν δίδωσι· μετὰ γὰρ τὰ λουτρὰ καὶ τὰς ἐξιδρώσεις περιψυχόμεθα μᾶλλον, τοῖς σώμασιν ἀνειμένοις καὶ διακεχυμένοις πολλὴν ψυχρότητα μετὰ τοῦ ἀέρος καταδεχόμενοι. τὸ δ' αὐτὸ τοῦτο καὶ τὸ ὕδωρ πάσχει· ψύχεται γὰρ, ἂν προθερμανθῇ, μᾶλλον, εὐπαθέστερον τῷ ἀέρι γενόμενον· ὁπότε [1] τὰ ζέοντα τῶν ὑδάτων ἀναῤῥιπτοῦντες [2] καὶ μετεωρίζοντες, οὐδὲν ἄλλο δήπου ποιοῦσιν, ἢ πρὸς ἀέρα πολὺν ἀνακεραννύουσιν. ὁ μὲν οὖν τῷ ἀέρι τὴν πρώτην ἀποδιδοὺς τῆς ψυχρότητος δύναμιν, ὦ Φαβωρῖνε, λόγος ἐν τοιαύταις ἐστὶ πιθανότησιν.

XIII. Ὁ δὲ τῷ ὕδατι, λαμβάνει [3] μὲν καὶ αὐτὸς ἀρχὰς ὁμοίως· οὕτω πως τοῦ Ἐμπεδοκλέους λέγοντος·

Ἠέλιον μὲν λαμπρὸν ὁρᾶν [4] καὶ θερμὸν ἁπάντη,
Ὄμβρον δ' ἐν πᾶσι δνοφόεντά τε ῥιγαλέον τε.

τῷ γὰρ θερμῷ τὸ ψυχρὸν, ὡς τῷ λαμπρῷ τὸ μέλαν, ἀντιτάξας, συλλογίσασθαι δέδωκεν, ὅτι τῆς αὐτῆς οὐσίας ἐστὶ τὸ μέλαν καὶ τὸ ψυχρὸν, ὡς τῆς αὐτῆς τὸ λαμπρὸν καὶ τὸ θερμόν. ὅτι δ' οὐ τοῦ ἀέρος τὸ μέλαν, ἀλλὰ τοῦ ὕδατός ἐστιν, ἡ αἴσθησις ἐπιμαρτυρεῖ, τῷ μὲν ἀέρι μηδενὸς, ὡς ἁπλῶς εἰπεῖν [5], μελαινομένου, τῷ δὲ

ὕδα-

1 W. legendum monet οἵ τε.

2 Ald. Baf. Pet. nec non B. E. Venet. ἀκορύττοντες. Hinc Xyl. notat, hoc verbum huc non quadrare. Ex Turn. affertur ἀνορύττοντες vel ἀναρύττοντες. Vulgatum notat W. fumfiffe Steph ab Exempl. Turn. in quo praeterea: ἄνω ῥίπτοντες, ἀναρύτοντας: illius fententiam reddidiffe Amiot.

3 Petav. περιλαμβάνει.

4 Ald. Baf. ὁρᾳ. Seq. verfu Turn. V. Bong. ζοφόεντα pro δνοφ.

5 abeft εἰπεῖν a Petav. Idem paulo infra ἱμάντα pro ἱμάτιον.

ὕδατι πάντων. ἂν γὰρ τὸ λευκότατον ἐμβάλῃς ἔριον εἰς ὕδωρ, ἢ ἱμάτιον, ἀναφαίνεται μέλαν καὶ διαμένει, μέχρις ἂν ὑπὸ θερμότητος ἐξικμασθῇ τὸ ὑγρὸν, ἤ τισι ϛρέβλαις καὶ βάρεσιν ἐκπιεσθῇ· τῆς τε γῆς ὕδατι ῥαινομένης, διαμελαίνεσιν οἱ καταλαμβανόμενοι ταῖς ϛαγόσι τόποι, τῶν ἄλλων ὁμοίων μενόντων [1]. αὐτȣ̃ μὲν ȣ̃ν τȣ̃ ὕδατος σκοτεινότατον ὑπὸ πλήθȣς [2] φαίνεται τὸ βαθύτατον, οἷς δὲ ἀὴρ πλησιάζει, ταῦτα περιλάμπεται καὶ διαγελᾷ. τῶν δ' ἄλλων ὑγρῶν διαφανὲς μάλιϛα τȣ̃λαιόν ἐϛι, πλεῖϛον χρώμενον ἀέρι· τȣ́τȣ δὲ τεκμήριον ἡ κȣφότης, δι' ἣν ἐπιπολάζει πᾶσιν, ὑπὸ τȣ̃ ἀέρος ἀναφερόμενον. ποιεῖ δὲ καὶ τὴν γαλήνην ἐν τῇ θαλάττῃ, τοῖς κύμασιν ἐπιῤῥαινόμενον, ȣ̓ διὰ τὴν λειότητα τῶν ἀνέμων ἀπολισθαινόντων, ὡς Ἀριϛοτέλης ἔλεγεν· ἀλλὰ παντὶ μὲν ὑγρῷ τὸ κῦμα διαχεῖται πληττόμενον· ἰδίως δὲ τȣ̃λαιον αὐγὴν καὶ καταφάνειαν ἐν βυθῷ παρέχει, διαϛελλομένων τῷ ἀέρι τῶν ὑγρῶν· ȣ̓ γὰρ μόνον ἐπιπολῆς [3] διανυκτερεύȣσιν, ἀλλὰ καὶ κάτω τοῖς σπογγοθήραις διαφυσώμενον ἐκ τȣ̃ ϛόματος ἐν τῇ θαλάττῃ φέγγος ἐνδίδωσιν. ȣ̓ μᾶλλον ȣ̃ν τῷ ἀέρι τȣ̃ μέλανος ἢ τῷ ὕδατι μέτεϛιν, ἧττον δὲ τȣ̃ ψυχρȣ̃. τὸ γȣ̃ν ἔλαιον, ἀέρος πλεῖϛȣ τῶν ὑγρῶν μετέχον, ἥκιϛα ψυχρόν ἐϛι, καὶ πήγνυται μαλακῶς· ὁ γὰρ ἀὴρ ἐγκεκραμένος ȣ̓κ ἐᾷ σκληρὰν γενέσθαι τὴν πῆξιν· βελόνας δὲ καὶ πόρπας σιδηρᾶς καὶ τὰ λοιπὰ τῶν ἔργων [4] ȣ̓χ ὕδατι βάπτȣσιν, ἀλλ' ἐλαίῳ, τὴν ἄγαν ψυχρότητα φοβȣ́μενοι τȣ̃ ὕδατος, ὡς διαϛρέφȣσαν. ἀπὸ τȣ́των γὰρ δικαιότερόν ἐϛιν ἐξετάζεσθαι τὸν λόγον, ȣ̓κ ἀπὸ τῶν χρωμάτων· ἐπεὶ καὶ χιὼν καὶ χάλαζα καὶ κρύϛαλλος ἅμα

1 Petav. διαμενόντων.

2 Petav. ὑπὸ τȣ̃ πλ.

3 Petav. ἐπὶ πολλοῖς ταῖς

4 W. susp. ἐργαλείων.

ἅμα λαμπρότατα γίνεται καὶ ψυχρότατα· καὶ πάλιν πίττα θερμότερόν ἐςι μέλιτος καὶ σκοτωδέςερον.

XIV. Ὅμως δὲ θαυμάζω τῶν ἀξιέντων, τὸν ἀέρα ψυχρὸν εἶναι διὰ τὸ καὶ σκοτεινὸν, εἰ μὴ συνορῶσιν ἑτέρες, ἀξιᾶντας, θερμὸν εἶναι διὰ τὸ κᾶφον. ὀ γὰρ ὕτω τῷ ψυχρῷ τὸ σκοτεινὸν, ὡς τὸ βαρὺ καὶ ςάσιμον, οἰκεῖόν ἐςι καὶ συγγενές· πολλὰ γὰρ, ἄμοιρα θερμότητος ὄντα, μετέχει λαμπηδόνος, ἐλαφρὸν δὲ καὶ κᾶφον καὶ ἀνωφερὲς ὀδέν ἐςι τῶν ψυχρῶν. ἀλλὰ καὶ τὰ νέφη, μέχρι μὲν ἀέρος ὀσίᾳ μᾶλλον προσήκει, μετεωρίζεται· μεταβαλόντα δ' εἰς ὑγρὸν, εὐθὺς ὀλισθαίνει, καὶ τὸ κᾶφον ὀχ ἧττον, ἢ τὸ θερμὸν, ἀποβάλλει, ψυχρότητος ἐγγινομένης· καὶ τὀναντίον ὅταν θερμότης ἐπέλθῃ, πάλιν ἀναςρέφει τὴν κίνησιν, ἅμα τῷ μεταβαλεῖν εἰς ἀέρα, τῆς ὀσίας ἄνω φερομένης. καὶ μὴν ὀδὲ τὸ τῆς φθορᾶς ἀληθές ἐςιν· ὀ γὰρ εἰς τὀναντίον, ἀλλ' ὑπὸ τὀναντίυ φθείρεται τῶν ἀπολλυμένων ἕκαςον, ὥσπερ τὸ πῦρ ὑπὸ τῦ ὕδατος εἰς τὸν ἀέρα. τὸ γὰρ ὕδωρ ὁ μὲν Αἰσχύλος, εἰ καὶ τραγικῶς, ἀλλ' ἀληθῶς, εἶπε·

Παῦε ὕδωρ, δίκην πυρός.

Ὅμηρος [1] δὲ τῷ ποταμῷ τὸν Ἥφαιςον, καὶ τῷ Ποσειδῶνι τὸν Ἀπόλλωνα κατὰ τὴν μάχην φυσικῶς μᾶλλον ἢ μυθικῶς ἀντέταξεν. ὁ δ' Ἀρχίλοχος ἐπὶ τῆς τἀναντία φρονέσης ὀ κακῶς εἶπε·

Τῇ μὲν ὕδωρ ἐφόρει δολοφρονέυσα χειρὶ, τῇ ἑτέρῃ δὲ πῦρ [2].

Ἐν δὲ Πέρσαις τῶν ἱκετευμάτων μέγιςον ἦν καὶ ἀπαραίτητον, εἰ πῦρ λαβὼν ὁ ἱκετεύων, καὶ ἐν ποταμῷ βεβηκὼς, ἀπειλοίη, μὴ τυχὼν τὸ πῦρ ἐς τὸ ὕδωρ ἀφήσειν· ἐτύγχανε μὲν γὰρ, ὧν ἐδεῖτο, τυχὼν δ' ἐκολάζετο

1 Iliad. XXI, 342. ſqq. 435. ſqq.

2 Mez. item Bryan. & M. Solanus ad Plut. Vit. Demetr. Vol. V. p. 434. — δολόφρων χερὶ, τῇ δ' ἑτέρῃ πῦρ.

ζετο διὰ τὴν ἀπειλὴν, ὡς παρὰ νόμον καὶ κατὰ τῆς φύσεως γενομένην. καὶ τοῦτο δὴ το πρόχειρον ἅπασι, πῦρ ὕδατι μιγνύναι, τὸ παροιμιαζόμενον [1] ἐν τοῖς ἀδυνάτοις, μαρτυρεῖν ἔοικεν, ὅτι τῷ πυρὶ τὸ ὕδωρ πολέμιόν ἐστι, καὶ ὑπὸ τούτου φθείρεται καὶ κολάζεται σβεννύμενον· οὐχ ὑπὸ τοῦ ἀέρος τεῖνον [2], ὃς ὑπολαμβάνει τὴν οὐσίαν αὐτοῦ καὶ δέχεται μεταβάλλοντος. εἰ γὰρ αἰτία [3] εἰς ὃ μεταβάλλει τὸ φθειρόμενον ἐναντίον ἐστὶ, τί [4] μᾶλλον τῷ ἀέρι τὸ πῦρ, ἢ τὸ ὕδωρ, ἐναντίον φαίνεται; μεταβάλλει γὰρ εἰς ὕδωρ, συνιστάμενος· εἰς δὲ πῦρ, διακρινόμενος· ὥσπερ αὖ πάλιν τὸ ὕδωρ διακρίσει μὲν εἰς ἀέρα φθείρεται, συγκρίσει δ' εἰς γῆν· ὡς μὲν ἐγὼ νομίζω, δι' οἰκειότητα τὴν πρὸς ἀμφότερα καὶ συγγένειαν, οὐχ ὡς ἐναντίον ἑκατέρω καὶ πολέμιον. ἐκεῖνοι δὲ, ὁποτέρως ἂν εἴπωσι, τὸ ἐπιχείρημα διαφθείρουσι. πήγνυσθαί γε μὴν ὑπὸ τοῦ ἀέρος φάναι ὕδωρ, ἀλογώτατόν ἐστιν, αὐτὸν τὸν ἀέρα μηδαμοῦ πηγνύμενον ὁρῶντας. νέφη γὰρ καὶ ὁμίχλαι καὶ κνηκίδες, οὐ πήξεις εἰσὶν, ἀλλὰ συστάσεις καὶ παχύτητες ἀέρος διεροῦ

καὶ

III. ΑΥΤ. Τίς δὲ, ὦ φίλε Σώκλαρε, τἔτ᾽ ἠξίωσεν, ὄντος ἐν τοῖς πράγμασι τε λογικε, μὴ εἶναι τὸ ἄλογον; πολὺ γάρ ἐςι καὶ ἄφθονον ἐν πᾶσι τοῖς ψυχῆς ἀμοιρεσι, καὶ ἐδ᾽ ἔτι [3] ἑτέρας δεόμεθα πρὸς τὸ λογικὸν ἀντιθέσεως, ἀλλὰ πᾶν εὐθὺς τὸ ἄψυχον ὡς ἄλογον καὶ ἀνόητον ἀντίκειται τῷ μετὰ ψυχῆς λόγον ἔχοντι καὶ διάνοιαν. εἰ δέ τις ἀξιοῖ, μὴ κολοβὸν εἶναι τὴν φύσιν, ἀλλὰ τὴν ἔμψυχον φύσιν ἔχειν, τὸ μὲν, λογικὸν, τὸ δ᾽, ἄλογον· ἕτερος ἀξιώσει τὴν ἔμψυχον φύσιν ἔχειν, τὸ μὲν, φανταςικὸν, τὸ δὲ, ἀφαντασίωτον, καὶ τὸ μὲν, αἰσθητικὸν, τὸ δ᾽, ἀναίσθητον· ἵνα δὴ τὰς ἀντιζύγες ταύτας καὶ ἀντιθέτες ἕξεις καὶ ςερήσεις [4] περὶ ταυτὸν ἡ φύσις ἔχοι γένος οἷον ἰσοῤῥοπέ-

1 Vulgo haec ita diſtincta leguntur προσήκοντα λεχθῆναι, καιρόν. Mutando diſtinctionem ſecutus ſum W.

2 In Ald. & Baſ. πρὸς αὐτὲς junguntur antecedentibus. Hinc Xyl. vertit: *tractata ſunt adverſus illos.* W. corrigit vertendo: *inter nos repetamus*: & Kaltw. *für uns allein wiederholen.*

3 Porph. ἐδέν; Jun. ἐδέν τι, pro ἐδ᾽ ἔτι.

4 Petav. περιςήσεις.

ῥοπέσας. εἰ δ' ἄτοπος ὁ ζητῶν τȣ̃ ἐμψύχȣ τὸ μὲν, αἰσθητικὸν, τὸ δ', ἀναίσθητον εἶναι, καὶ τὸ μὲν, φανταστικὸν, τὸ δ', ἀφαντασίωτον, ὅτι πᾶν [1] τὸ ἔμψυχον αἰσθητικὸν εὐθὺς εἶναι καὶ φανταστικὸν πέφυκεν· ȣ̓δὲ ȣ̔́τος [2] ἐπιεικῶς ἀπαιτήσει τὸ μὲν λογικὸν εἶναι τȣ̃ ἐμψύχȣ, τὸ δ' ἄλογον, πρὸς [3] ἀνθρώπȣς διαλεγόμενος, μηδὲ ἓν οἰομένȣς αἰσθήσεως μετέχειν, ὃ μὴ καὶ συνέσεως, μηδ' εἶναι ζῶον, ᾧ μὴ δόξα τις καὶ λογισμὸς, ὥσπερ αἴσθησις καὶ ὁρμὴ κατὰ φύσιν πάρεστιν. ἡ γὰρ φύσις, ἥν ἕνεκά τȣ [4] καὶ πρός τι πάντα ποιεῖν ὀρθῶς λέγȣσιν, ȣ̓κ ἐπὶ ψιλῷ τῷ πάσχον τι [5] αἰσθάνεσθαι τὸ ζῶον αἰσθητικὸν ἐποίησεν· ἀλλ' ὄντων μὲν οἰκείων πρὸς αὐτὸ πολλῶν, ὄντων δ' ἀλλοτρίων, ȣ̓δ' ἀκαρὲς ἦν περιεῖναι, μὴ μαθόντι τὰ μὲν φυλάττεσθαι, τοῖς δὲ συμφέρεσθαι. τὴν μὲν ȣ̓̃ν γνῶσιν ἀμφοῖν ὁμοίως ἡ αἴσθησις ἑκάστῳ παρέχει· τὰς δὲ ἑπομένας τῇ αἰσθήσει, τῶν μὲν ὠφελίμων λήψεις καὶ διώξεις, διακρȣ́σεις δὲ καὶ φυγὰς τῶν ὀλεθρίων καὶ λυπηρῶν, ȣ̓δεμία μηχανὴ παρεῖναι [6] τοῖς μὴ λογίζεσθαί τι καὶ κρίνειν καὶ μνημονεύειν καὶ προσέχειν πεφυκόσιν· ἀλλὰ ὧν

1 Pro ὅτι πᾶν Ald. & Bas. ȣ̓ πᾶν. Hinc Xyl. notat, sensum requirere γὰρ inseri, & legi per interrogationem hoc comma, quasi parenthesin.

2 Dedi sic R. jubente, & W. cum Mez. probante pro vulg. ȣ̔́τως.

3 W. notante, inter ἄλογον & πρὸς E. habet lacunam octo fere literarum. At ceteri omnes libri & Porphyr. cum vulgata consentiunt.

4 Ita sane cum W. scribendum fuit & habent Porphyr. exempla. Vulgo ἕνεκα τȣ̃.

5 Dedi sic divisim, R. jubente, quod vulgo junctim datur πάσχοντι. Aut idem voluit W. aut cum Porphyr. πάσχειν καὶ, aut cum Mez. πάσχειν τι καὶ.

6 Verbum παρεῖναι inseri jussit R. & addidi cum W. idem e Porphyr. sumente. Vulgo abest.

ὧν ἂν [1] ἀφέλῃς παντάπασι προσδοκίαν, μνήμην, πρόθεσιν, παρασκευὴν, τὸ ἐλπίζειν, τὸ δεδοικέναι, τὸ ἐπιθυμεῖν, τὸ ἀγάλλειν, ἔτ' ὀμμάτων ὄφελος ἐδὲν αὐτοῖς παρόντων, ἔτ' ὤτων· αἰθήσεώς τε πάσης καὶ φαντασίας, τὸ χρώμενον ἐκ ἐχέσης, ἀπηλλάχθαι βέλτιον, ἢ πονεῖν καὶ λυπεῖθαι καὶ ἀλγεῖν, ᾧ διακρίσεται ταῦτα μὴ παρόντος. καίτοι Στράτωνός γε, τῦ φυσικῦ, λόγος ἐςὶν, ἀποδεικνύων, ὡς ἐδ' αἰθάνεθαι τοπαράπαν ἄνευ τῦ [2] νοεῖν ὑπάρχει· καὶ γὰρ γράμματα πολλάκις ἐπιπορευομένες [3] τῇ ὄψει, καὶ λόγοι προσπίπτοντες τῇ ἀκοῇ διαλανθάνεσιν ἡμᾶς καὶ διαφεύγεσι πρὸς ἑτέροις τὸν νῦν [4] ἔχοντας· εἶτ' αὖθις ἐπανῆλθε [5] καὶ μεταθεῖ καὶ μεταδιώκει τῶν προϊεμένων ἕκαςον ἀναλεγόμενος. ἢ καὶ λέλεκται·

Νῦς ὁρῇ, καὶ νῦς ἀκέει, τὰ δὲ ἄλλα [6] κωφὰ καὶ τυφλά·

ὡς τῦ περὶ τὰ ὄμματα καὶ ὦτα πάθες, ἂν μὴ παρῇ τὸ φρονῦν, αἴθησιν ἐ ποιῦντος. διὸ καὶ Κλεομένης ὁ βασιλεὺς παρὰ πότον εὐδοκιμῦντος ἀκροάματος, ἐρωτηθεὶς, εἴ οἱ [7] φαίνεται σπεδαῖον, ἐκέλευσεν ἐκείνες σκοπεῖν, αὐτὸν γὰρ ἐν Πελοποννήσῳ τὸν νῦν ἔχειν. ὅθεν ἀνάγκη πᾶσιν, οἷς τὸ αἰθάνεθαι, καὶ τὸ νοεῖν ὑπάρχειν, εἰ τῷ νοεῖν αἰθάνεθαι πεφύκαμεν. ἔςω δὲ μὴ δεῖ-

1 Vulgo ἂν abest. Addidit W. ex B. & Porphyr. Etiam Petav. id exhibet, at omisso ὧν.

2 Petav. ἄνευ τῦ μένει τῇ ὄψει omissis intermediis.

3 Sic est in Ald. Bas. Xyl. nec non B. E. Harl. Venet. & Porphyr. dedique cum W. pro vulg. ἐπιπορευόμενα, quod Steph. dedit: unde & quare, latet.

4 Petav. προπίπτοντες τῇ ἀκοῇ διὰ τὸν νῦν ἔχοντας, omissis intermediis.

5 scil. ἡμῶν ἕκαςος. R. Melius Kaltw. refert ad νῦς, & vertit W. *deinde redit animus*. Pro μεταδιώκει Petav. διώκει.

6 Mez. τ' ἄλλα, W. judice recte: ut exstat ap. Theodoret. de Cur. Gr. Aff. I. p. 478. D. T. IV. & monitum ab aliis.

7 Petav. Ald. Bas. εἰ μή.

δεῖσθαι τοῦ νοῦ τὴν αἴσθησιν πρὸς τὸ αὐτῆς ἔργον, ἀλλ' ὅταν γε τῷ ζώῳ πρὸς τὸ οἰκεῖον καὶ τὸ ἀλλότριον ἡ αἴσθησις ἐνεργασαμένη διαφορὰν ἀπέλθη, τί τὸ μνημονεῦόν ἐστιν ἤδη, καὶ δεδιὸς τὰ λυποῦντα, καὶ ποθοῦν τὰ ὠφέλιμα, καὶ, μὴ παρόντων, ὅπως παρέσται μηχανώμενον ἐν αὐτοῖς [1], καὶ παρασκευαζόμενον ὁρμητήρια καὶ καταφυγὰς, καὶ θήρατρα πάλιν αὖ τοῖς ἁλωσομένοις, καὶ ἀποδράσεις τῶν ἐπιτιθεμένων; καίτοι γε [2] κἀκεῖνοι λέγοντες ἀποκναίουσιν, ἐν ταῖς εἰσαγωγαῖς ἑκάστοτε τὴν πρόθεσιν ὁριζόμενοι σημείωσιν ἐπιτελειώσεως [3], τὴν δ' ἐπιβολὴν ὁρμὴν πρὸ ὁρμῆς, παρασκευὴν δὲ πρᾶξιν πρὸ πράξεως, μνήμην δὲ κατάληψιν ἀξιώματος παρεληλυθότος, οὗ [4] τὸ παρὸν ἐξ αἰσθήσεως κατελήφθη· τούτων γὰρ οὐδὲν, ὅ τι μὴ λογικόν ἐστι, καὶ πάντα τοῖς ζώοις ὑπάρχει πᾶσιν· ὥσπερ ἀμέλει καὶ τὰ περὶ τὰς νοήσεις, ἃς ἐναποκειμένας μὲν ἐννοίας καλοῦσι, κινουμένας δὲ διανοήσεις· τὰ δὲ πάθη σύμπαντα [5] κοινῶς κρίσεις φαύλας καὶ δόξας ὁμολογοῦντες εἶναι, θαυμαστὸν, ὅτι δὴ παρορῶσιν ἐν τοῖς θηρίοις ἔργα καὶ κινήματα, πολλὰ μὲν θυμῶν, πολλὰ δὲ φόβων, καὶ ναὶ μὰ Δία φθόνων καὶ ζηλοτυπιῶν [6]· αὐτοὶ δὲ καὶ κύνας ἁμαρτάνοντας καὶ ἵππους κολάζουσιν, οὐ διακενῆς, ἀλλ' ἐπὶ σωφρο-

1 R. mavult ἐν αὐτῷ, referendo ad τὸ ζῶον, addens tamen, posse ferri vulgatam, cum sermo sit de animantibus in universum.

2 Sic R. dari voluit, dedique e Turn. V. Bong cum W. adsentientibus Leonic. Schott. Anon. Vulgo καὶ ταυτί γε; Porphyr. ἢ ταυτί γε.

3 Secutus sum W. ita ex B. E. Porphyr. dantem pro vulg. ἐπὶ τελειώσεως. R. voluit ἐπὶ τελειώσει, *notationem alicujus rei eo fine, ut ista res perficiatur.*

4 abest οὗ a Petav.

5 R. ad haec subintelligi voluit ὑπάρχει τοῖς ζώοις πᾶσιν ex antecedentibus, & deinde legi ἃ κοινῶς.

6 Sic e Porphyr. W. dedit pro vulg. φθόνον καὶ ζυλοτυπίαν. Harl. φθόνων καὶ ζηλοτυπίας; B. φθόνους καὶ ζηλοτυπίας, quibus vestigia receptae lectionis servantur.

φρονισμῷ, λύπην δι' ἀλγηδόνος ἐμποιȣ̃ντες αὐτοῖς, ἣν μετάνοιαν ὀνομάζομεν. ἡδονῆς δὲ τῷ μὲν δι' ὤτων ὄνομα κήλησίς ἐςι, τῷ δὲ [1] δι' ὀμμάτων γοητεία· χρῶνται δὲ ἑκατέροις ἐπὶ τὰ θηρία [2]. κηλȣ̃νται μὲν ἔλαφοι καὶ ἵπποι σύριγξι καὶ αὐλοῖς, καὶ τȣ̀ς παγȣ́ρȣς ἐκ τῶν χηραμῶν ἀνακαλȣ̃νται βιαζόμενοι ταῖς φώτιγξι, καὶ τὴν θρίσσαν ᾀδόντων καὶ κροτȣ́ντων ἀναδύεσθαι καὶ προϊέναι λέγȣσιν· ὁ δ' ὦτος αὖ πάλιν ἁλίσκεται γοητευόμενος, ὀρχȣμένων ἐν ὄψει μεθ' ἡδονῆς ἅμα ῥυθμῷ γλιχόμενος τȣ̀ς ὤμȣς ἐȣ̃ διαφέρειν. οἱ δὲ περὶ τȣ́των ἀβελτέρως λέγοντες, μήτε ἥδεσθαι, μήτε θυμȣ̃σθαι, μήτε φοβεῖσθαι, μήτε παρασκευάζεσθαι [3] τὴν ἀηδόνα, μήτε μνημονεύειν τὴν μέλιτταν, καὶ ὡσανεὶ θυμȣ̃σθαι τὸν λέοντα, καὶ ὡσανεὶ φοβεῖσθαι τὴν ἔλαφον, ȣ̓κ οἶδα, τί χρήσονται τοῖς λέγȣσι, μηδὲ βλέπειν, μήδ' ἀκȣ́ειν, ἀλλ' ὡσανεὶ βλέπειν αὐτὰ, καὶ ὡσανεὶ ἀκȣ́ειν· μηδὲ

1 Sic R. dari juffit, dedique cum W. idem ex Harl. fumente. Vulgo τὸ μὲν — τὸ δὲ.

2 R. mavult aut ἐπὶ τῶν θηρίων, aut περὶ τὰ θηρία.

3 R. fufp. παρασκευάζεσθαι, μήτε ἁμιλλᾶσθαι τὴν ἀηδόνα. Caeterum W. nostri ante locus ad fenfum, ut videtur, integer, fed infigni vexatus varietate lectionis. Porphyr. & Harl. παρασκευάζεσθαι μήτε μνημονεύειν, ἀλλ' ὡσανεὶ μνημονεύειν τὴν μέλιτταν, καὶ ὡσανεὶ παρασκευάζεσθαι τὴν χελιδόνα, καὶ ὡσανεὶ θυμȣ̃σθαι. B. παρασκευάζεσθαι, μήτε μνημονεύειν τὴν μέλιτταν, καὶ ὡσανεὶ παρασκευάζεσθαι τὴν χελιδονα, καὶ ὡσανεὶ θυμȣ̃σθαι —: & fic item habent, nifi quod τὴν ἀηδόνα etiam fervant, Venet. Pol. Jannot. Inter μέλιτταν & καὶ Xyl. notat in fuo codice fcripta optime haec interferta effe: (fi pro καὶ legas ἀλλὰ.) ἀλλ' ὡσανεὶ παρασκευάζεσθαι τὴν χελιδόνα. Hinc Kaltw. vocem ἀηδόνα mutari vult in χελιδόνα, & καὶ ante primum ὡσανεὶ in ἀλλά. Num forte locus fic plene ftruendus: μήτε ἥδεσθαι, μήτε θυμȣ̃σθαι, μήτε φοβεῖσθαι, μήτε παρασκευάζεσθαι, μήτε μνημονεύειν, ἀλλ' ὡσανεὶ ἥδεσθαι τὴν ἀηδόνα, καὶ ὡσανεὶ θυμȣ̃σθαι τὸν λέοντα, καὶ ὡσανεὶ φοβεῖσθαι την ἔλαφον. καὶ ὡσανεὶ παρασκευάζεσθαι τὴν χελιδόνα, καὶ ὡσανεὶ μνημονεύειν τὴν μέλιτταν? Earundem vocum iteratione facillime potuit fieri, ut erraret librarius.

μηδὲ φωνεῖν, ἀλλ' ὡσανεὶ φωνεῖν· μηδὲ ὅλως ζῆν, ἀλλ' ὡσανεὶ ζῆν· ταῦτα γὰρ ἐ μᾶλλον ἐκείνων ἐςὶ λεγόμενα παρὰ τὴν ἐνάργειαν, ὡς ἐγὼ πείθομαι.

IV. ΣΩΚ. Κἀμὲ τοίνυν, ὦ Αὐτόβελε, ταῦτα γε [1] τίθει πειθόμενον· ὅταν δὲ [2] τοῖς ἀνθρωπίνοις ἤθεσι καὶ βίοις καὶ πράξεσι καὶ διαίταις τὰ τῶν ζώων παρατιθεὶς, ἄλλην τε πολλὴν ἐνορῶ φλαυρότητα, καὶ τῆς ἀρετῆς, πρὸς ἣν ὁ λόγος γέγονε, μηδένα ἐμφαινόμενον ςοχασμὸν αὐτῶν μηδὲ προκοπὴν μηδ' ὄρεξιν, ἐπορῶ, πῶς ἡ φύσις ἔδωκε τὴν ἀρχὴν αὐτοῖς, ἐπὶ το τέλος ἐξικέσθαι μὴ δυναμένοις.

ΑΥΤ. Ἀλλὰ τῦτο μὲν ἐδ' αὐτοῖς ἐκείνοις, ὦ Σώκλαρε, τοῖς ἀνδράσιν ἄτοπον εἶναι δοκεῖ· τὴν γὰν πρὸς τὰ ἔκγονα φιλοςοργίαν, ἀρχὴν μὲν ἡμῖν κοινωνίας καὶ δικαιοσύνης τιθέμενοι, πολλὴν δὲ τοῖς ζώοις καὶ ἰσχυρὰν ὁρῶντες παρῦσαν, ἐ φασιν αὐτοῖς ἐδ' ἀξιῦσι μετεῖναι δικαιοσύνης· ἡμιόνοις δὲ τῶν γεννητικῶν μορίων ἐδὲν ἐνδεῖ, καὶ γὰρ αἰδοῖα καὶ μήτρας καὶ τὸ χρῆσθαι μεθ' ἡδονῆς τέτοις ἔχυσι, πρὸς τὸ τέλος ἐκ ἐξικνῦνται τῆς γενέσεως [3]. σκόπει δ' ἄλλως, μὴ καταγέλαςόν ἐςι τὲς Σωκράτεις [4] καὶ τὲς Πλάτωνας ἐδὲν

1 Ald. Baf. Pet. ταῦτά τε.

2 Misere corruptus vulgo hic locus extat. Ald. Baf. τὸ δὲ τοῖς α. ἤ — — τ. τ. ζώων παρατιθέναι, — πολλὴν ἐν ὅλῳ — γέγονε, μηδὲν ἐμφήνη ςοχ. —. Baf. deinde δυναμένης. Hinc Xyl. notat, post φλαυρότητα, (pro quo Petav. φαυλότητα habet) deesse ἔχει, aut aliquid tale; pro μηδὲν legi voluit μηδένα, & e Ms. exhibet ἐμφαίνειν: (Petav. μηδὲν ἐφήνη) denique ex Ms. probat lectionem Ald. δυναμένοις, & hiare contextum addit. In seqq. edd. nihil mutatum fuit, nisi μηδένα ἐμφαινομένων pro μηδὲν ἐμφήνη. Quare R. post παρατιθέναι addendo legi voluit ἄτοπον, vel ἄτοπον ἐμοὶ δοκεῖ· ἄλλην τε γὰρ πολλὴν —. Correctio loci debetur nunc W. qui ὅταν dedit ex Porph. παρατιθεὶς ex eodem & Harl. ἐνορῶ ex Porph. ἐμφαινόμενον ex B.

3 R. mavult γεννήσεως.

4 Vulgo τὰς Σωκράτας. Hinc R. legi voluit τὸν Σωκράτην καὶ

ὐδὲν ἐλαφροτέρᾳ κακίᾳ τȣ̃ τυχόντος ἀνδραπόδȣ συνεῖναι φάσκοντας [1], ἀλλ' ὁμοίως ἄφρονας εἶναι καὶ ἀκολάςȣς καὶ ἀδίκȣς, εἶτα τῶν θηρίων αἰτιᾶσθαι τὸ μὴ καθαρὸν μηδ' ἀπηκριβωμένον πρὸς ἀρετὴν, ὥσπερ ȣ̓χὶ φαυλότητα λόγȣ καὶ ἀσθένειαν, καὶ ταύτην [2] κακίαν ὁμολογȣ̃ντας εἶναι λογικὴν, ἧς πᾶν θηρίον ἀναπέπληςαι· καὶ γὰρ δειλίαν πολλοῖς καὶ ἀκολασίαν, ἀδικίαν τε καὶ κακοήθειαν ὁρῶμεν ὑπάρχȣσαν [3]. ὁ δ' ἀξιῶν τὸ μὴ πεφυκὸς ὀρθότητα λόγȣ δέχεσθαι, μηδὲ λόγον δέχεσθαι φύσει [4], πρῶτον μὲν ȣ̓δὲν διαφέρει τȣ̃ μήτε πίθηκον αἴσχȣς φύσει μετέχειν, μήτε χελώνην βραδυτῆτος, ἀξιȣ̃ντος, ὅτι μηδὲ κάλλȣς ἐπιδεκτικὰ μηδὲ τάχȣς ἐςίν· ἔπειτα τὴν διαφορὰν ἐμποδὼν ȣ̃σαν ȣ̓ συνορᾷ· λόγος μὲν γὰρ ἐγγίνεται φύσει, σπȣδαῖος δὲ λόγος καὶ τέλειος ἐξ ἐπιμελείας καὶ διδασκαλίας διὰ τȣ̃ λογικȣ̃ [5] πᾶσι τοῖς ἐμψύχοις μέτεσιν· ἣν δὲ ζητȣ̃σιν ὀρθότητα καὶ σοφίαν, ȣ̓δ' ἄνθρωπον εἰπεῖν κεκτημένον ἔχȣσιν. ὥσπερ δὲ [6] ὄψεώς ἐςι πρὸς ὄψιν διαφορὰ, καὶ πτήσεως πρὸς πτῆσιν. (ȣ̓ γὰρ ὁμοίως ἱέρακες βλέπȣσι

καὶ Πλάτωνα. E Petav. notatur τὰς Σωκράτεις, quod W. dedit, haec adnotans: „Ald. Baf. Steph. & duae priores Graecolat. Σωκράτȣς. Ceteri libri recte, ut edidimus "

1 W. non quidem, ut vitiofum, repudiandum cenfet: fed minus probandum quam φάσκειν.

2 R. judice aut delendum ταύτην, aut legendum καὶ ταύτῃ, etiam hic, καὶ κακίαν. Petav. deinde ὁμολογȣ̃ντες.

3 Mez. ἐνυπάρχȣσαν.

4 abfunt ab Ald. & Baf. Pet. μηδὲ λόγον δέχεσθαι φύσει. Ex Turn. V. Bong. notatur λόγȣ δέχεσθαι μηδὲ λόγον λέγεσθαι vel δέχεσθαι φύσει.

5 Pro διὰ Xyl. dari voluit διό. R. mavult διὰ τȣ̃ λογικȣ̃, fc. ἐγγίνεται, ȣ̃ πᾶσι.

6 W. addidit δὲ, quod vulgo abeft, ex Pol. & Jannot., adnotans, minoris effe auctoritatis, quamvis ipfum probum ad orationis bonitatem & lectionis verifimilitudinem, ὡς γὰρ Mez.

πᾶσι καὶ τέττιγες, οὐδ' ἀετοὶ πέτανται καὶ πέρδικες) οὕτως οὐδὲ παντὶ λογικῷ μέτεστιν ὡσαύτως τῆς εὑρομένης τὸ ἄκρον [1] εὐςροφίας καὶ ὀξύτητος· ἐπεὶ δείγματά γε πολλὰ κοινωνίας καὶ ἀνδρείας καὶ τοῦ πανούργου περὶ τοὺς πορισμοὺς καὶ τὰς οἰκονομίας, ὥσπερ αὖ καὶ τῶν ἐναντίων, ἀδικίας, δειλίας, ἀβελτηρίας ἔνεστιν αὐτοῖς. καὶ μαρτυρεῖ τὸ νυνὶ πεποιηκὸς ἐν τοῖς νεανίσκοις τὴν ἅμιλλαν· ὡς γὰρ οὔσης τινὸς διαφορᾶς, οἱ μὲν τὰ χερσαῖά φασιν, οἱ δὲ τὰ θαλάσσια, μᾶλλον προῆχθαι φύσει πρὸς ἀρετήν· ὃ δὴ καὶ δῆλόν ἐςι, παραβαλλομένων πελαργοῖς ἵππων ποταμίων· οἱ μὲν γὰρ τρέφουσι τοὺς πατέρας, οἱ δ' ἀποκτιννύουσιν, ἵνα τὰς μητέρας ὀχεύωσι· καὶ περιςεραῖς περδίκων· οἱ μὲν γὰρ ἀφανίζουσι τὰ ᾠὰ καὶ διαφθείρουσι τὰς θηλείας, ὅταν ἐπῳάζωσιν, οὐ προσδεχομένας τὴν ὀχείαν, οἱ δὲ καὶ διαδέχονται τὴν ἐπιμέλειαν, ἐν μέρει θάλποντες τὰ ᾠὰ, καὶ ψωμίζουσι πρότεροι τὰ νεοττία, καὶ τὴν θήλειαν, ἐὰν πλείονα χρόνον ἀποπλανηθῇ, κόπτων ὁ ἄῤῥην εἰσελαύνει πρὸς τὰ ᾠὰ καὶ τοὺς νεοττούς. ὄνοις δὲ καὶ προβάτοις Ἀντίπατρος ἐγκαλῶν ὀλιγωρίαν καθαριότητος, οὐκ οἶδα, πῶς παρῆλθε [2] τὰς λύγγας καὶ τὰς χελιδόνας, ὧν αἱ μὲν ἐκτοπίζουσι παντάπασι κρύπτουσαι καὶ ἀφανίζουσαι τὸ λυγγούριον. αἱ δὲ χελιδόνες ἔξω ςρεφομένους διδάσκουσι τοὺς νεοττοὺς ἀφιέναι τὸ περίττευμα [3]. καίτοι διὰ τί δένδρον δένδρου οὐ λέγομεν ἀμαθέςερον, ὡς κυνὸς πρόβατον; οὐδὲ λαχάνου λάχανον ἀνανδρότερον, ὡς ἔλαφον λέοντος; ἢ καθάπερ ἐν τοῖς ἀκινήτοις ἕτερον ἑτέρου βραδύτερον οὐκ ἔςιν, οὐδὲ μικροφωνότερον ἐν τοῖς ἀναύδοις, οὕτως οὐδὲ δειλότερον [4], οὐδὲ νωθρότερον, οὐδ' ἀκρατέςερον,

1 R. susp. τῆς ἐῤῥωμένης εἰς τὸ ἄκρον εὐς. Petav. εὐτροφίας.

2 E Turn. & Bong. citatur παρῖδε.

3 Turn. & Bong. τὸ περίττωμα.

4 Sic vertendo expressit Xyl. deditque W. e Porphyr. Vulgo δεινότερον.

ρον, οἷς μὴ φύσει πᾶσιν [1] ἡ τοῦ φρονεῖν δύναμις, ἄλλοις δ' ἄλλως κατὰ τὸ μᾶλλον καὶ ἧττον παροῦσα, τὰς ὁρωμένας διαφορὰς πεποίηκεν.

V. ΣΩΚ. Ἀλλὰ θαυμαστὸν ὅσον ἄνθρωπος εὐμαθείᾳ [2] καὶ ἀγχινοίᾳ καὶ τοῖς περὶ δικαιοσύνην καὶ κοινωνίαν διαφέρει τῶν ζώων.

ΑΥΤ. Καὶ γὰρ ἐκείνων, ὦ ἑταῖρε, πολλὰ τοῦτο μὲν μεγέθει καὶ ποδωκείᾳ, τοῦτο δ' ὄψεως ῥώμῃ καὶ ἀκοῆς ἀκριβείᾳ [3] πάντας ἀνθρώπους ἀπολέλοιπεν· ἀλλ' οὐ διὰ τοῦτο τυφλὸς, οὐδ' ἀδύνατος, οὐδ' ἄωτος [4] ὁ ἄνθρωπός ἐστιν· ἀλλὰ καὶ χειρῶν καὶ ὀμμάτων ἰσχύος τε [5] καὶ μεγέθους ἡ φύσις ἡμᾶς οὐκ ἀπεστέρησεν, καίτοι τὸ μηδὲν ἐν τούτοις πρὸς ἐλέφαντα καὶ κάμηλον ὄντας. οὐκοῦν ὁμοίως μηδὲ τὰ θηρία λέγωμεν, εἰ νωθρότερον φρονεῖ καὶ κάκιον διανοεῖται, μὴ διανοεῖσθαι, μηδὲ φρονεῖν ὅλως, μηδὲ κεκτῆσθαι λόγον, ἀσθενῆ δὲ καὶ θολερὸν κεκτῆσθαι, ὥσπερ ὀφθαλμὸν ἀμβλυώττοντα καὶ τεταραγμένον. εἰ δὲ μὴ πολλὰ τοὺς νεανίσκους αὐτίκα δὴ μάλα προσεδόκων, τὸν μὲν ἐκ γῆς, τὸν δ' ἐκ θαλάττης ἐνταῦθα συνερανίσειν, φιλολόγους καὶ φιλογραμμάτους ὄντας, οὐκ ἂν ἀπεσχόμην σοῦ μυρία μὲν εὐμαθείας, μυρία δὲ [6] εὐφυΐας παρα-



1 R. legi vult πάρεστιν.

2 Ita R. legendum censuit, deditque W. e Porphyr. pro vulg. εὐηθείᾳ. Xyl. conjecit ἐπιμηθείᾳ.

3 W. mavult ποδωκείᾳ καὶ ῥώμῃ, τοῦτο δὲ ὄψεως καὶ ἀκοῆς ἀκριβείᾳ.

4 R. notat, ἄωτος pro κωφὸς insolens sibi accidisse. Ald. & Bas. ἄνωτος.

5 W. ad haec: „Porphyr. — ἀδύνατος ὁ ἄνθρωπός ἐστιν· ἀλλὰ καὶ θέομεν, εἰ καὶ βραδύτερον ἐλάφων· καὶ βλέπομεν, εἰ καὶ χεῖρον ἱεράκων· ἰσχύος τε —. Reliquiae hujus lectionis sunt in Harl. χεῖρον ἱεράκων pro χειρῶν καὶ ὀμμάτων. Dubium, quae sit verior totius loci scriptura: hoc non dubium, quin, vel retenta vulgata, ὀμμάτων mutandum sit in σωμάτων."

6 Vulgo abest δέ. Id addidi cum W. jubente R. ex Bas. Xyl. Venet. Harl. Mez.

παραδείγματα θηρίων διηγέμενος, ὧν ἄμαις καὶ σκάφαις ἡμῖν ἐκ τῶν βασιλικῶν ἀρύσαθαι θεάτρων ἡ καλὴ Ῥώμη παρέσχηκε. ταῦτα μὲν ἒν ἐκείνοις νεαρὰ καὶ ἄθικτα πρὸς τὸν λόγον ἐγκαλλωπίσαθαι καταλείπωμεν· Βέλομαι δὲ μικρόν τι μετὰ σῦ σκέψαθαι καθ' ἡσυχίαν. οἶμαι γὰρ, ἰδίαν τινὰ μέρους ἑκάςε καὶ δυνάμεως φαυλότητα καὶ πήρωσιν εἶναι καὶ νόσον, ὥσπερ ὀφθαλμῦ τυφλότητα, καὶ σκέλους χωλότητα, καὶ ψελλότητα γλώσσης, ἄλλε δὲ μηδενός· ὐ γάρ ἐςι τυφλότης μὴ πεφυκότος ὁρᾶν, ὐδὲ χωλότης μὴ πεφυκότος βαδίζειν, ψελλόν τε τῶν ἀγλώσσων, ἢ τῶν ἀναύδων [1] φύσει τραυλὸν, ὐδὲν ἂν προσείποις· ὐκῦν ὐδὲ παραπαῖον, ἢ παραφρονῦν, ἢ μαινόμενον, ᾧ μὴ τὸ φρονεῖν, ἢ λογίζεθαι καὶ διανοεῖθαι κατὰ φύσιν ὑπῆρχεν· ὐ γάρ ἐςιν ἐμπαθὲς γενέθαι, μὴ κεκτημένον δύναμιν, ἧς τὸ πάθος ἢ ςέρησις, ἢ πήρωσις, ἤ τις ἄλλη κάκωσις ἦν. ἀλλὰ μὴν ἐντετύχηκάς γε λυττώσαις κυσὶν, ἐγὼ δὲ καὶ ἵπποις· ἔνιοι δέ φασι καὶ βῦς μαίνεθαι καὶ ἀλώπεκας· ἀρκεῖ δὲ τὸ τῶν κυνῶν, ὃ ἀναμφισβήτητόν ἐςι, καὶ μαρτυρεῖ λόγον ἔχειν καὶ διάνοιαν ὐ φαύλην τὸ ζῶον, ἧς ταραττομένης καὶ συγχεομένης ἡ λεγομένη λύττα καὶ μανία πάθος ἐςίν· ὔτε γὰρ ὄψιν ἀλλοιεμένην αὐτῶν, ὔτ' ἀκοὴν ὁρῶμεν, ἀλλὰ ὥσπερ ἀνθρώπε μελαγχολῶντος ἢ παρακόπτοντος, ὁ μὴ λέγων ἐξεςάναι καὶ διεφθορέναι τὸ φρονῦν καὶ λογιζόμενον καὶ μνημονεῦον, ἄτοπός ἐςι· καὶ γὰρ ἡ συνήθεια ταῦτά γε κατηγορεῖ τῶν παραφρονέντων μὴ εἶναι παρ' αὐτοῖς, ἀλλ' ἐκπεπτωκέναι τῶν λογισμῶν· ὕτως ὁ τὰς λυττῶντας κύνας, ἄλλο τι πεπονθέναι νομίζων, ἀλλ' ὐχὶ τῷ φρονεῖν πεφυκότι καὶ λογίζεθαι καὶ μνημονεύειν ἀναπεπλησμένες ταραχῆς, καὶ παραπεπαικότας, ἀγνοεῖν τὰ φίλτατα πρόσωπα, καὶ φεύγειν τὰς συντρόφες διαίτας,

1 Turn. V. Boug. τὸν ἄγλωσσον, ἢ ἄναυδον. Dedi deinde cum W. ὐδὲν ex Ald. Bas. Xyl. B. E. pro vulg. ὐδένα.

τας, ἢ παρορᾷν τὸ φαινόμενον ἔοικεν, ἢ συνορῶν [1] τὸ γινόμενον ἐξ αὐτοῦ, φιλονεικεῖν πρὸς τὴν ἀλήθειαν.

VI. ΣΩΚ. Ὀρθῶς μοι δοκεῖς ὑπονοεῖν· οἱ γὰρ ἀπὸ τῆς Στοᾶς καὶ τοῦ Περιπάτου μάλιστα πρὸς τοὐναντίον ἐντείνονται τῷ λόγῳ, τῆς δικαιοσύνης ἑτέραν γένεσιν οὐκ ἐχούσης, ἀλλὰ παντάπασιν ἀσυστάτου καὶ ἀνυπάρκτου γινομένης, εἰ πᾶσι τοῖς ζώοις λόγου μέτεστι· γίνεται γὰρ ἢ τὸ ἀδικεῖν ἀναγκαῖον ἡμῖν ἀφειδοῦσιν αὐτῶν, ἢ μὴ χρωμένων αὐτοῖς, τὸ ζῆν ἀδύνατον καὶ ἄπορον· καὶ τρόπον τινὰ θηρίων βίον βιωσόμεθα, τὰς ἀπὸ τῶν θηρίων προέμενοι χρείας. ἀφίημι γὰρ Νομάδων καὶ Τρωγλοδυτῶν ἀνεξευρέτους ἀριθμῷ [2] μυριάδας, οἳ τροφὴν σάρκας, ἄλλο δ' οὐδὲν ἴσασιν· ἀλλὰ ἡμῖν τοῖς ἡμέρως καὶ φιλανθρώπως ζῆν δοκοῦσι, ποῖον ἔργον ἀπολείπεται γῆς, ποῖον ἐν θαλάττῃ, τίς ἐν ὄρεσι [3] τέχνη, τίς κόσμος διαίτης, ἂν, ὡς προσήκει, λογικοῖς καὶ ὁμοφύλοις πᾶσι τοῖς ζώοις οὖσιν ἀβλαβῶς καὶ μετὰ εὐλαβείας προσφέρεσθαι μάθωμεν, ἔργον ἐστὶν εἰπεῖν. οὐδὲν οὖν φάρμακον οὐδ' ἴαμα, τῆς ἢ τὸν βίον ἀναιρούσης ἢ τὴν δικαιοσύνην ἀπορίας οὐδὲν ἔχομεν, ἂν μὴ τὸν ἀρχαῖον ὅρον καὶ νόμον φυλάττωμεν, ᾧ, καθ' Ἡσίοδον [4], ὁ τὰς φύσεις διελὼν καὶ θέμενος ἰδίᾳ τῶν γενῶν ἑκάτερον,

Ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖς πετεηνοῖς,
Ἔσθειν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἐστὶ μετ' αὐτοῖς,
Ἀνθρώποισι δ' ἔδωκε δίκην

 πρὸς

1 Sic dedit W. ex Porphyr. pro vulg. μὴ συνορῶν. Petav. συνορᾷν.

2 Sic R. dandum censuit — *quos facile non est numero complecti* — dedique cum W. ex Petav. E. Porphyr. apud quem De Abstin. I, 5. & seq. hic locus inde a γίνεται γὰρ usque ad finem hujus capitis repetitus exstat. Vulgo ἀριθμῶν.

3 Pro ἐν ὄρεσι W. ex Porphyr. notat ἐναργής, idque, si cum Reiskio mutetur in ἔνεργος, praefert vulgato.

4 Op. & d. v. 275 sq. Addidit W. proxime sequens ὁ ex E. Vulgo abest. Quare pro antecedente ᾧ R. legi voluit ὅς. Monet W. potuisse quoque ex Porphyr. dari ὁ Ζεύς.

πρὸς ἀλλήλους. οἷς δὲ [1] οὐκ ἔστι δικαιοπραγεῖν πρὸς ἡμᾶς, οὐδ᾽ ἡμῖν πρὸς ἐκεῖνα γίνεται τὸ ἀδικεῖν. ὡς οἵ γε τοῦτον προέμενοι τὸν λόγον, οὔτε χρείαν ἄλλην, οὔτε λιτὴν [2] τῇ δικαιοσύνῃ παρεισελθεῖν ὁδὸν ἀπολελοίπασι.

VII. ΑΤΤ. Ταῦτα μὲν, ὦ Φίλε, ἀπὸ [3] καρδίας τῶν ἀνδρῶν ἐξείρηκας· οὐ μὴν δοτέον, ὥσπερ δυστοκούσαις γυναιξὶ, περιάψασθαι τοῖς Φιλοσόφοις ὠκυτόκιον, ἵνα ῥᾳδίως καὶ ἀταλαιπώρως τὸ δίκαιον ἡμῖν ἀποτέκωσιν. οὐδὲ γὰρ αὐτοὶ τῷ Ἐπικούρῳ διδόασιν ὑπὲρ τῶν μεγίστων, σμικρὸν οὕτω πρᾶγμα καὶ φαῦλον, οἶμαι [4], ἄτομον παρεγκλῖναι μίαν ἐπὶ τοὐλάχιστον, ὅπως ἄστρα καὶ ζῶα καὶ τύχη παρεισέλθῃ, καὶ τὸ ἐφ᾽ ἡμῖν μὴ ἀπόληται· δεικνύναι δὲ τὸ ἄδηλον [5], ἢ λαμβάνειν τι τῶν προδήλων, καὶ προσήκει τὸ περὶ τῶν ζώων ὑποτίθεσθαι πρὸς τὴν δικαιοσύνην, εἰ μήθ᾽ ὁμολογεῖται, μήτ᾽ ἄλλως ἀποδεικνύουσιν. ἔχει γὰρ ἑτέραν ὁδὸν ἐκεῖ τὸ δίκαιον, οὐ σφαλε-

ρὰν

1 W. addidit δὲ ex Harl. & Porphyr. Vulgo abest. R. voluit οἷς οὖν οὐκ ἔ. Petav. οἷος οὐκ ἔστι τι δικ. Etiam in Ald. & Bas. est τι post ἔστι.

2 Pro οὔτε χρ. — λιτὴν W. notat e Porphyr. οὔτε εὐρεῖαν ἄλλην, οὔτε λεπτὴν, idque forte rectius censet.

3 Vitiose haec in edd. vulgo leguntur, vel ὦ φίλετ᾽ ἀποκαρδίας, vel ὦ Φίλε τἀπὸ καρδίας. Hinc R. legendum notat ὦ Φίλε, ἀπὸ κ. quod dedi cum W.

4 Pro οἶμαι Ald. Bas. καί.

5 Locum hunc se non intelligere, R. fatetur. Eundem Xyl. asterisco notavit. W. teste, ita corrupte legitur in omnibus libris, nisi quod Xyl. τοῦ habeat pro τό. Ejusdem conjectura, quam latine reddidit, haec est: δεικνύντα δε τὸ ἄδηλον λαμβάνειν τι τῶν προδήλων προσήκει, οὔτε περὶ τῶν ζώων ὑποτίθεσθαί τι πρὸς τὴν δικαιοσύνην, εἰ μήθ᾽ ὁμολογεῖται μήτ᾽ ἄλλως ἀποδεικνύουσιν — At qui obscurum quid patefacere ac demonstrare vult, debet manifestum quid sumere unde demonstrationem ducat: neque proinde tanquam fundamentum demonstrationi supponere dictum ejusmodi de brutis, quod de brutis quidem neque hominum consensu probetur, neque ipse praeterea demonstret, sed accommodatum sit ad justitiae originem inducendam.

ρὰν καὶ παράκρημνον ἔτω καὶ διὰ τῶν ἐν ἔργων ἀνατρεπομένων [1] Φέρεσαν, ἀλλὰ ἥν, Πλάτωνος ὑφηγεμένε δείκνυσιν ἐμὸς υἱὸς, ὦ Σώκλαρε, σὸς δὲ ἑταῖρος, τοῖς μὴ Φιλομαχεῖν, ἕπεσθαι δὲ καὶ μανθάνειν βελομένοις. ἐπεὶ τό γε μὴ παντάπασι καθαρεύειν ἀδικίας τὸν ἄνθρωπον ἔτω τὰ ζῶα μεταχειριζόμενον, Ἐμπεδοκλῆς καὶ Ἡράκλειτος ὡς ἀληθὲς προσδέχονται, πολλάκις ὀδυρόμενοι καὶ λοιδορἕντες τὴν Φύσιν, ὡς ἀνάγκην καὶ πόλεμον ἔσαν, ἀμιγὲς δὲ μηδὲν μηδ' εἰλικρινὲς ἔχεσαν, ἀλλὰ διὰ [2] πολλῶν καὶ ἀδίκων παθῶν περαινομένην· ὅπε καὶ τὴν γένεσιν αὐτὴν [3] ἐξ ἀδικίας συντυγχάνειν λέγεσι, τῷ θνητῷ συνερχομένε τῷ ἀθανάτε, καὶ τέρπεσθαι τὸ γενόμενον [4] παρὰ Φυσιν μέλεσι τε γεννήσαντος ἀποσπωμένοις. ὁ μὴν ἀλλὰ ταῦτα μὲν ἄκρατα καὶ πικρὰ Φαίνεται κατακόρως· ἑτέρα δ' ἐςὶν ἐμμελὴς παρηγορία, μήτε τῶν ζώων τὸν λόγον ἀΦαιρεμένη, καὶ σώζεσα χρωμένων αὐτοῖς, ὅπως [5] προσήκει, τὸ δίκαιον· ἣν τῶν σοφῶν καὶ παλαιῶν εἰσαγόντων, συςᾶσα λαιμαργία μεθ' ἡδυπαθείας ἐξέβαλε καὶ ἠΦάνισεν, αὖθις δὲ Πυθαγόρας ἀνελάμβανε, διδάσκων ὠΦελεῖσθαι μὴ ἀδικἕντας· ἐ γὰρ ἀδικἕσιν οἱ τὰ μὲν ἄμικτα καὶ βλαβερὰ κομιδῇ κολάζοντες καὶ ἀποκτιννύοντες, τὰ δὲ ἥμερα καὶ Φιλάνθρωπα ποιέμενοι τιθασσὰ, καὶ συνεργὰ χρείας, πρὸς ἣν ἕκασον εὖ πέΦυκεν,

 Ἵππων

1 Sic R. dari voluit, dedique cum W. consentiente Mez. pro vulg. ἀνατρεπόμενον.

2 abest διὰ a Petav.

3 Ita R. dari voluit pro vulg. αὐτῆς, dedique cum W. idem ex Harl. & Jun. sumente. Mez. εὐθὺς.

4 Pro τέρπεσθαι W. cum Mez. mavult τρέΦεσθαι; & pro τὸ γενόμενον R. τὸ γεννώμενον. Petav. γινόμενον.

5 aut sic ex Exempl. Turn. legendum susp. W. aut ὡς cum Mez. Vulgo πῶς.

Ἵππων ὄνων τε ὀχεῖα [1], καὶ ταύρων γονὰς,
ἃν [2] ὁ Αἰσχύλε Προμηθεὺς δῦναι ἡμῖν φησιν,
Ἀντίδελα, καὶ πόνων ἀνδέκτορα [3].
κυσὶ δὲ χρώμενοι προφυλάττεσιν αἶγάς τε καὶ οἶς ἀμελγόμενα καὶ κειρόμενα [4] νέμοντες. ἐ γὰρ ἀναιρεῖται τὸ ζῆν, ἐδὲ βίος ἀπόλλυται τοῖς ἀνθρώποις, ἂν μὴ λοπάδας ἰχθύων, μηδὲ ἥπατα χηνῶν ἔχωσι, μηδὲ βὲς μήτ' ἐρίφες κατακόπτωσιν ἐπ' εὐωχίᾳ, μηδ' ἀλύοντες ἐν θεάτροις, μηδὲ παίζοντες ἐν θήραις, τὰ μὲν ἀναγκάζωσι τολμᾷν καὶ ἄκοντα [5] μάχεσθαι, τὰ δὲ, μηδ' ἀμύνεσθαι πεφυκότα, διαφθείρωσι· τὸν γὰρ παίζοντα καὶ τερπόμενον [6] οἶμαι συμπαίζεσι δεῖν χρῆσθαι καὶ ἱλαροῖς, ἐχ ὥσπερ ὁ Βίων ἔλεγε τὰ παιδάρια παίζοντα τῶν βατράχων τοῖς λίθοις ἐφίεσθαι, τὲς δὲ βατράχες μηκέτι παίζοντας, ἀλλ' ἀληθῶς [7] ἀποθνήσκειν, ὅτως κυνηγεῖν καὶ ἁλιεύειν, ὀδυνωμένοις τερπομένες καὶ ἀποθνήσκεσι [8], τοῖς δ' ἀπὸ σκύμνων καὶ νεοσσῶν ἐλεεινῶς ἀγομένοις. ἐ γὰρ οἱ χρώμενοι ζώοις, ἀδικᾶσιν, ἀλλ' οἱ χρώμενοι βλαβερῶς καὶ ὀλιγώρως καὶ μετ' ὠμότητος.

VIII. ΣΩΚ. Ἐπίσχες, ὦ Αὐτόβελε, καὶ παραβαλε

1 Sic R. legi voluit — *vectuaria*, instrumenta, quae vehere & promovere vel insidentem hominem vel impositum onus possunt — dedique cum W. pro vulg. ὀχείαν. ὀχεῖα ὄνων sunt ὄνοι ὀχεντες, asini onera gerentes. Cf. Vol. VII. p. 304.

2 Rectius sine dubio ἃ, ut W. cum Mez. notat.

3 Ald. Bas. Petav. ἐνδέκτορα. Hinc Xyl. se legere notat ἀντίδωρα & ἐκδέκτορα. Sic in loco Plut. citato, ubi conferas velim notam.

4 R. dari vult ἀμελγομένας καὶ κειρομένας, pascentes capellas & oves, quae se mulgeri & tonderi patiuntur.

5 Hoc ordine dedit W. ex B. Vulgo ἄκοντα καὶ.

6 Pro τερπόμενον W. ex Harl. notat παιζόμενον, & legere mavult τὸν γὰρ παίζοντα τοῖς παιζομένοις.

7 a Petav. abest ἀληθῶς.

8 Brevius dictum esse monet R. pro καὶ τοῖς μὲν ἀποθν.

βαλῦ τῆς κατηγορίας [1]. ἐγγὺς γὰρ οἶδε προσιόντες πολλοί, καὶ θηρατικοὶ [2] πάντες, ὓς ὔτε μεταθεῖναι ῥᾴδιον, ὔτε λυπεῖν ἀναγκαῖον.

ΑΤΤ. Ὀρθῶς παραινεῖς, ἀλλ' Εὐβίωτον μὲν εὖ οἶδα, καὶ τὸν ἐμὸν ἀνεψιὸν Ἀρίστωνα, τὺς τε Διονυσίυ παῖδας ἀπὸ Δελφῶν [3], Αἰακίδην καὶ Ἀριστότιμον τῦτον, εἶτα Νίκανδρον τὸν Εὐθυδήμυ, χερσαίας δαήμονας [4] ἄγρας, ὡς Ὅμηρος ἔφη, καὶ διὰ τῦτο πρὸς Ἀριστότιμον [5] γενησομένυς· ὥσπερ αὖ πάλιν τύσδε τὺς νησιώτας καὶ παραλίυς, Ἡρακλέωνα τὸν Μεγαρόθεν, καὶ Φιλόστρατον τὸν Εὐβοέα,

— Τοῖσίν τε [6] θαλάσσια ἔργα μέμηλε,
Φαίδιμος ἔχων περὶ αὐτὸν βαδίζει.
Τυδείδην δ' ὐκ ἂν γνοίης ποτέροισι μετείη,

τυτονὶ τὸν ἡμέτερον ἡλικιώτην Ὀπτάτον, ὃς πολλῆς μὲν ἐνάλυ, πολλῆς δὲ ὀρείυ [7] πολλάκις ἄγρας ἀκροθινίοις ἀγλαΐσας τὴν Ἀγροτέραν ἅμα θεὸν καὶ Δίκτυνναν, ἐνταῦθα δῆλός ἐστι πρὸς ἡμᾶς βαδίζων, ὡς μηδετέροις προσθήσων ἑαυτόν. ἢ φαύλως εἰκάζομεν, ὦ φίλε Ὀπτάτε, κοινόν σε καὶ μέσον ἔσεσθαι τῶν νεανίσκων βραβευτήν;

 ΟΠΤ.

1 Salmas. leg. ſuſp. παραβαλῦ τὸ θυρίον τῆς κατηγορίας. Idem W. ſentit. Cf. Vol XI. p. 323. not. 2. & h. v. pag. 84. lin. 10.

2 Petav. θηρατοί.

3 Sic Xyl. legi voluit, & e Turn. V. Bong. notatur, dedique cum W. adſentientibus Leonic. Schott. Anon. Amiot. Mez. pro vulg. ἀπὸ ἀδελφῶν. Grinaeus παῖδ. τ. ἀδ. vertit nepote.

4 R. ſic legendum cenſuit, & dedi pro vulg. δαήμονα.

5 Ald. Baſ. καὶ διὰ τῦτο Ἀριστότιμον γεν. Hinc Xyl. deeſſe κατὰ aut παρὰ, aut aliquid aliud notavit. Steph. dedit πρὸς. R. mavult πρὸς Ἀριστοτίμυ.

6 Vulgo τοῖσί τε. R. τε deleri voluit. W. dedit τοῖσιν e Schott. Cf. Hom. Odyſs. XII, 116. & deinde Iliad. V, 85.

7 Vulgo ὃς πολλοῖς μὲν ἐνάλυ ὀρείυ πολλάκις ἄ. ἀ. R. voluit πολλοῖς μὲν ἐνάλυ, πολλοῖς δὲ ὀρείυ. Partim e vulgata, partim ex B. πολλῆς μὲν ἐνάλυ, πολλῆς δὲ ὀρείυ πολλάκις ἄγρας ἀκροθίνια locum W. conſtituit.

ΟΠΤ. Πάνυ μὲν ὖν ὀρθῶς ὑπονοεῖς, ὦ Αὐτόβȣλε· πάλαι γὰρ ὁ Σόλωνος ἐκλέλοιπε νόμος, τὰς ἐν ςάσει μηδετέρῳ μέρει προσγενομένȣς κολάζων.

ΑΥΤ. Δεῦρο δὴ [1] καθίζȣ πρὸς ἡμᾶς, ὅπως, εἰ δεήσει μάρτυρος, μὴ τοῖς Ἀριςοτέλȣς πράγματα βιβλίοις παρέχωμεν, ἀλλά σοι δι' ἐμπειρίαν ἑπόμενοι, τοῖς λεγομένοις ἀληθῶς τὴν ψῆφον ἐπιφέρωμεν.

ΣΩΚΛ. Εἶεν [2], ὦ ἄνδρες νέοι, γέγονέ τις ὑμῖν ομολογία περὶ τάξεως;

ΦΑΙΔ. Γέγονεν, ὦ Σώκλαρε, πολλὴν παραχȣ̃σα φιλονεικίαν· εἶτα, κατ' Εὐριπίδην,

Ὁ τῆς τύχης παῖς κλῆρος ἐπὶ τȣ́τῳ ταγεὶς,
τὰ χερσαῖα προεισάγει δίκαια [3] τῶν ἐνάλων.

ΣΩΚ. Καιρὸς ȣ̃ν, ὦ Ἀριςότιμε, σοὶ μὲν ἤδη λέγειν, ἡμῖν δ' ἀκȣ́ειν.

IX. ΑΡΙΣΤ. Ἡ μὲν ἀγορὰ τοῖς δικαζομένοις, * τὰ δὲ [4] τὸν γόνον ἀναλίσκει περὶ τὰς ἀποκυήσεις ἐπιτρέχοντα τοῖς θήλεσι· κεςρέως δὲ γένος, ȣ̃ς παρδίας καλȣ̃σιν, ἀπὸ τῆς μύξης τρέφονται τῆς ἑαυτῶν· ὁ δὲ πολύπȣς αὑτὸν ἐσθίων κάθηται χειμῶνος

Ἐν τ' ἀπύρῳ [5] οἴκῳ καὶ ἐν ἤθεσι λευγαλέοισιν·

ȣ̃τως ἀργὸς, ἢ ἀναίσθητος, ἢ γαςρίμαργος, ἢ πᾶσι τȣ́τοις

1 Ita R. dandum monuit, dedique e Turn. V. Bong. cum W. adſentientibus Harl. Coliat. Muret. Jannot. Schott. Anon. Jun. Vulgo δεῦρο δὲ.

2 R. jubente, cum W. praepoſui huic loco nomen *Soclari* pro vulgato *Optati*. Idem fecerunt Xyl. & Mez.

3 R. legi vult δικαιοῖ. Tunc quoque προεισάγειν eſſet legendum.

4 Multa excidiſſe, teſtantur Xyl. R. Kaltw. W. & res ipſa declarat. At nec in editis ante Steph. nec in ſcriptis libris ſignum defectus poſitum eſt. Collocationes Jannot. & Leonic. habent λείπει.

5 Vulgo ἐν ἀπύρῳ. R. voluit εἰν ἀπ. W. τ' interpoſuit ex Harl. & loco Heſiodi Op. & d. 523.

τοις ἔνοχός ἐςι. διὸ καὶ Πλάτων [1] αὖ πάλιν ἀπεῖπε νομοθετῶν, μᾶλλον δ' ἀπεύξατο, τὰς νέας θαλαττίας θήρας ἔρωτα λαβεῖν· οὐδὲν γὰρ ἀλκῆς γυμνάσιον, οὐδὲ μελέτημα σοφίας [2], οὐδ' ὅσα πρὸς ἰχὺν, ἢ τάχος, ἢ κινήσεις διαπονοῦσι, τοῖς πρὸς λάβρακας, ἢ γόγγρους, ἢ σκάρους, ἀγῶσιν· ὥσπερ ἐνταῦθα, τὰ μὲν θυμοειδῆ τὸ Φιλοκίνδυνον καὶ τὸ ἀνδρεῖον ἀσκεῖ τῶν μαχομένων· τὰ δὲ πανοῦργα, τὸ Φροντιςικὸν καὶ συνετὸν τῶν ἐπιτιθεμένων· τὰ δὲ ποδώκη, τὸ ῥωμαλέον καὶ Φιλόπονον τῶν διωκόντων· καὶ ταῦτα τὸ κυνηγεῖν καλὸν πεποίηκε. τὸ δὲ ἁλιεύειν, ἀπ' οὐδενὸς ἔνδοξον· οὐδέ γε θεῶν τις ἠξίωσεν, ὦ ἑταῖρε, γογγροκτόνος, ὥσπερ ὁ Ἀπόλλων λυκοκτόνος, οὐδὲ τριγλοβόλος, ὡς ἐλαφηβόλος ἡ Ἄρτεμις, λέγεσθαι. καὶ τί θαυμαςὸν, ὅπου καὶ ἀνθρώπῳ σῦν μόνον [3] καὶ ἔλαφον καὶ δόρκα καὶ λαγωὸν ἑλεῖν κάλλιον, ἢ πρίασθαι, θύννον δὲ καὶ [4] κάραβον καὶ ἀμίαν σεμνότερόν ἐςιν αὐτὸν ὀψωνεῖν ἢ ἁλιεύειν; τὸ γὰρ ἀγεννὲς καὶ ἀμήχανον ὅλως καὶ ἀπάνουργον αὐτῶν, αἰσχρὸν [5] καὶ ἄζηλον καὶ ἀνελεύθερον τὴν ἄγραν πεποίηκε.

X. Καθόλου δὲ, ἐπεὶ, δι' ὧν οἱ Φιλόσοφοι δεικνύουσι τὸ μετέχειν [6] λόγου τὰ ζῶα, προθέσεις εἰσὶ καὶ παρασκευαὶ, καὶ μνῆμαι, καὶ πάθη, καὶ τέκνων ἐπιμέλειαι, καὶ χάριτες εὖ παθόντων, καὶ μνησικακίαι [7] πρὸς τὸ λυπῆσαν, ἔτι δ' εὑρέσεις τῶν ἀναγκαίων, ἐμφα-

1 de Leg. VII. Vol. VIII. ed. Bip. p. 393.

2 Petav. Φιλοσοφίας.

3 R. pro μόνον legi vult μέν.

4 A d. Baf. Xyl. δὲ absque καί. Vulgo καὶ absque δέ. Id inferendum monuit R. & dedi cum W. idem ex Jannot. Schott. Aron. Mez. fumente.

5 R. mavult αἰσχρὰν.

6 Vulgo τό τε μετέχειν. Delevi τε e R. mente. W. fufp. τό γε, vel fimpliciter τό.

7 Turn. V. Petav. μνησικακία.

ἔμφασις [1] ἀρετῆς, οἷον ἀνδρείας, κοινωνίας, ἐγκρατείας, μεγαλοφροσύνης· σκοπῶμεν τὰ ἔναλα, εἰ τούτων ἐκεῖνα μὲν οὐδὲν, ἢ πού τι παντελῶς ἀμαυρὸν αἴνιγμα καὶ δυσθέατον ἐνιδεῖν μάλα μόλις τεκμαιρομένῳ δίδωσιν· ἐν δὲ τοῖς πεζοῖς καὶ γηγενέσι λαμπρὰ καὶ ἐναργῆ καὶ βέβαια παραδείγματα τῶν εἰρημένων ἑκάστου λαμβάνειν ἐστὶ καὶ θεᾶσθαι. πρῶτον οὖν ὅρα προθέσεις καὶ παρασκευὰς ταύρων ἐπὶ μάχῃ κονιομένων, καὶ κάπρων θηγόντων ὀδόντας. ἐλέφαντες δὲ, τῆς ὕλης, ἣν ὀρύττοντες ἢ κείροντες ἐσθίουσιν, ἀμβλὺν τὸν ὀδόντα ποιούσης ἀποτριβόμενον, τῷ ἑτέρῳ πρὸς ταῦτα χρῶνται, τὸν δ᾽ ἕτερον ἔπακμον ἀεὶ καὶ ὀξὺν ἐπὶ τὰς ἀμύνας φυλάττουσιν. ὁ δὲ λέων ἀεὶ βαδίζει συνεστραμμένοις τοῖς ποσὶν, ἐντὸς ἀποκρύπτων τοὺς ὄνυχας, ἵνα μὴ τριβόμενοι τὴν ἀκμὴν ἀπαμβλύνωσι, μήτε καταλίπωσιν εὐπορίαν τοῖς ἰχνεύουσιν· οὐ γὰρ ῥᾳδίως εὑρίσκεται ὄνυχος λεοντείου σημεῖον, ἀλλὰ μικροῖς καὶ τυφλοῖς ἴχνεσιν ἐντυγχάνοντες, ἀποπλανῶνται καὶ διαμαρτάνουσιν. ὁ δ᾽ ἰχνεύμων ἀκηκόατε δήπουθεν ὡς οὐδὲν ἀπολείπει θωρακιζομένου πρὸς μάχην ὁπλίτου· τοσοῦτον ἰλύος περιβάλλεται καὶ περιπήγνυσι τῷ σώματι χιτῶνα, μέλλων ἐπιτίθεσθαι τῷ κροκοδείλῳ. τὰς δὲ χελιδόνας πρὸ τῆς τεκνοποιίας παρασκευὰς ὁρῶμεν, ὡς εὖ τὰ στερεὰ κάρφη προϋποβάλλονται δίκην θεμελίων, εἶτα περιπλάττουσι τὰ κουφότερα· κἂν πηλοῦ τινος ἐχεκόλλου δεομένην αἴσθωνται τὴν νεοττίαν, λίμνης ἢ θαλάττης ἐν χρῷ παραπετόμεναι ψαύουσι τοῖς πτίλοις ἐπιπολῆς, ὅσον νοτεραὶ, μὴ βαρεῖαι [2] γενέσθαι τῇ ὑγρότητι, συλλαβοῦσαι δὲ κονιορτὸν, ἐπαλείφουσιν οὕτως καὶ συνδέουσι τὰ χαλῶντα καὶ διολισθαίνοντα· τῷ δὲ σχήματι τὸ ἔργον οὐ γωνιῶδες, οὐδὲ πολύπλευρον, ἀλλὰ ὁμαλὸν ὡς ἔνεστι μάλιστα καὶ σφαιροειδὲς ἀποτελοῦσι· καὶ γὰρ μόνιμον καὶ χαρητι-

1 R. mavult καὶ ἐμφάσεις.

2 R. mavult νοτερὰ, μὴ βαρέα γίνεσθαι, referendo ad πτίλα.

ρητικὸν τὸ τοιῦτο, καὶ τοῖς ἐπιβουλεύουσι θηρίοις ἔξωθεν ἀντιλήψεις ὲ πάνυ δίδωσι. τὰ δ' ἀράχνης ἔργα κοινὸν ἴσων γυναιξὶ, καὶ θήρας σαγηνευταῖς, ἀρχέτυπον, ὲ καθ' ἓν ἄν τις θαυμάσειε· καὶ γὰρ ἡ τῦ νήματος ἀκρίβεια, καὶ τῆς ὑφῆς τὸ μὴ διεχὲς μηδὲ στημονῶδες, ἀλλὰ λείυ [1] συνέχειαν ὑμένος, καὶ κόλλησιν ὑπό τινος ἀδήλως παραμεμιγμένης γλισχρότητος ἀπειργασμένον, ἥ τε βαφὴ τῆς χρόας ἐνάερον καὶ ἀχλυώδη ποιῦσα τὴν ἐπιφάνειαν, ὑπὲρ τῦ λαθεῖν, αὐτή τε μάλιστα πάντων η τῆς μηχανῆς αὐτῆς ἡνιοχεία καὶ κυβέρνησις, ὅταν ἐνσχεθῇ τι τῶν ἁλωσίμων, ὥσπερ δεινῦ σαγηνευτῦ, ταχὺ συναιρεῖν εἰς ταῦτα [2] καὶ συνάγειν τὸ θήρατρον, αἰθανομένης [3] καὶ φρονύσης τῇ καθ' ἡμέραν ὄψει καὶ θέᾳ τῦ γενομένυ, πιστὸν ἔσχε τὸν λόγον. ἄλλως δ' ἂν ἐδόκει μῦθος· ὥσπερ ἡμῖν ἐδόκει τὸ τῶν ἐν Λιβύῃ κοράκων, οἳ ποτῦ δεόμενοι, λίθυς [4] ἐμβάλλυσιν ἀναπληρῦντες καὶ ἀνάγοντες τὸ ὕδωρ, μέχρις ἂν ἐν ἐφικτῷ γένηται· εἶτα μέντοι κύνα θεασάμενος ἐν πλοίῳ, τῶν ναυτῶν μὴ παρόντων, εἰς ἔλαιον ἀμφορέως ἀποδεῦς ἐμβάλλοντα τῶν χαλίκων, ἐθαύμασα, πῶς νοεῖ καὶ συνίησι τὴν γινομένην ἔκθλιψιν ὑπὸ τῶν βαρυτέρων τοῖς κυφοτέροις ὑφισαμένων.

1 R. mavult *ἐς λεῖς.*

2 R. mavult *εἰς ταὐτὸ* — *ad inſtar venatoris, qui pro ſolertia ſua cito novit rete contrahere.* Pet. *εἰς ταὐτά.*

3 R. monente pertinet ad *ἀράχνης*, non ad *μηχανῆς.* Petav. *αἰθομένης.* W. notat, habere hanc dictionem quid duri, five ad priora eam, five ad ſequentia referas: putat tamen ad ſequentia referendam eſſe ſuppleto *ὡς* ante *αἰσθ.* Vertit: *haec quotidie ſe conſpectui noſtro offerentia, certum & indubitatum fecerunt, eam ſentire & cogitare.*

4 Vulgo *καὶ λίθυς.* R. *καὶ* delendum cenſuit, & delevi cum W. codd. B. F. Venet. Petav. ſequente. Kaltw. ex iſta particula colligit, aliquid excidiſſe, quod ad rei perſpicuitatem deſideretur, & ex Aelian. Hiſt. anim. II, 48. deſumi poſſit. Idem ille ſuae verſioni inſeruit: *wenn ſie trinken wollen, und das Waſſer ihnen zu niedrig ſteht.*

μένων. ὅμοια δὲ καὶ τὰ τῶν Κρητικῶν μελισσῶν, καὶ τὰ τῶν ἐν Κιλικίᾳ χηνῶν· ἐκεῖναι μὲν γὰρ ἀνεμῶδές τι μέλλουσαι κάμπτειν ἀκρωτήριον, ἑρματίζουσιν ἑαυτὰς, ὑπὲρ τοῦ μὴ παραφέρεσθαι [1], μικροῖς λιθιδίοις· οἱ δὲ χῆνες τοὺς ἀετοὺς δεδοικότες, ὅταν ὑπερβάλλωσι τὸν Ταῦρον, εἰς τὸ στόμα λίθον εὐμεγέθη λαμβάνουσιν, οἷον ἐπιστομίζοντες [2] αὐτῶν καὶ χαλινοῦντες τὸ φιλόφωνον καὶ λάλον, ὅπως λάθωσι σιωπῇ παρελθόντες. τῶν δὲ γεράνων καὶ τὸ περὶ τὴν πτῆσιν εὐδοκιμεῖ· πέτανται γὰρ, ὅταν ᾖ πνεῦμα πολὺ καὶ τραχὺς ἀὴρ, οὐχ, ὥσπερ εὐδίας οὔσης μετωπηδὸν, ἢ κόλπῳ μηνοειδοῦς περιφερείας, ἀλλ' εὐθὺς εἰς τρίγωνον συνάγουσαι σχίζουσι τῇ κορυφῇ τὸ πνεῦμα περιῤῥέον, ὥστε μὴ διασπᾶσθαι τὴν τάξιν· ὅταν δὲ κατάρωσιν ἐπὶ γῆν αἱ προφυλακὴν ἔχουσαι νυκτὸς, ἐπὶ θατέρου σκέλους ὀχοῦνται τὸ σῶμα, τῷ δ' ἑτέρῳ ποδὶ λίθον περιλαβοῦσαι κρατοῦσι· συνέχει [3] γὰρ ὁ τῆς ἀφῆς τόνος ἐν τῷ μὴ καθεύδειν πολὺν χρόνον· ὅταν δ' ἀνῶσιν, ἐκπεσὼν ὁ λίθος ταχὺ διήγειρε τὴν προεμένην. ὥστε μὴ πάνυ θαυμάζειν τοῦ Ἡρακλέους, εἰ τόξα μασχάλῃ ὑποθεὶς, καὶ κραταιῷ περιβαλὼν βραχίονι,

Εὕδει πιέζων χειρὶ δεξιᾷ ξύλον [4].

μηδ' αὖ πάλιν τοῦ πρώτου ὑπονοήσαντος ὀστρέου μεμυκότος ἀνάπτυξιν, ἐντυγχάνοντα τοῖς ἐρωδιῶν σοφίσμασιν· ὅταν γὰρ τὴν κόγχην καταπίῃ μεμυκυῖαν, ἐνοχλούμενος ἐγκαρτερεῖ, μέχρις ἂν αἴσθηται μαλασσομένην καὶ χαλῶσαν ὑπὸ τῆς θερμότητος· τότε δ' ἐκβαλὼν κεχηνυῖαν καὶ ἀπεσπασμένην [5], ἐξεῖλε τὸ ἐδώδιμον.

XI. Τὰς δὲ μυρμήκων οἰκονομίας καὶ παρασκευὰς ἐκφράσαι μὲν ἀκριβῶς, ἀμήχανον, ὑπερβῆναι δὲ παν-

1 Petav. περιφέρεσθαι.
2 Turn. V. Bong. ἐπιστοματίζοντες.
3 Ald. Bas. Petav. συνεχής.
4 Turn. V. Bong. λίθον.
5 Harl. ἀνεσπασμένην. W. susp. ἀναπεπταμένην.

παντελῶς [1], ὀλίγωρον· οὐδὲν γὰρ οὕτω μικρὸν ἡ Φύσις ἔχει μειζόνων [2] καὶ καλλιόνων κάτοπτρον, ἀλλ' ὥσπερ ἐν σταγόνι καθαρᾷ πάσης ἔνεσιν ἀρετῆς ἔμφασις,

Ἔνθ' ἔνι μὲν Φιλότης [3],

τὸ κοινωνικόν· ἔνι δ' ἀνδρείας εἰκὼν, τὸ Φιλόπονον· ἔνεστι δὲ πολλὰ μὲν ἐγκρατείας σπέρματα, πολλὰ δὲ Φρονήσεως καὶ δικαιοσύνης. ὁ μὲν οὖν Κλεάνθης ἔλεγε, καίπερ οὐ Φάσκων μετέχειν λόγου τὰ ζῶα, τοιαύτῃ θεωρίᾳ παρατυχεῖν. μύρμηκας ἐλθεῖν ἐπὶ μυρμηκιὰν ἑτέραν μύρμηκα νεκρὸν Φέροντας· ἀνιόντας οὖν ἐκ τῆς μυρμηκιᾶς ἑτέρους, οἷον ἐντυγχάνειν αὐτοῖς καὶ πάλιν κατέρχεσθαι· καὶ τοῦτο [4] δὶς ἢ τρὶς γενέσθαι. τέλος δὲ, τοὺς μὲν κάτωθεν ἀνενεγκεῖν ὥσπερ λύτρα τοῦ νεκροῦ σκώληκα, τοὺς δ' ἐκεῖνον ἀραμένους, ἀποδόντας δὲ τὸν νεκρὸν οἴχεσθαι. τῶν δὲ πᾶσιν ἐμΦανῶν ἥ τε περὶ τὰς ἀπαντήσεις ἐστὶν εὐγνωμοσύνη, τῶν μηδὲν Φερόντων τοῖς Φέρουσιν ἐξισταμένων ὁδοῦ, καὶ [5] παρελθεῖν διδόντων· αἵ τε τῶν δυσΦόρων καὶ δυσπαρακομίστων διαβρώσεις καὶ διαιρέσεις, ὅπως εὐβάστακτα πλείοσι γένηται. τὰς δὲ τῶν σπερμάτων [6] διαθέσεις καὶ διαψύξεις ἐκτὸς, ὑετοῦ ποιεῖται σημεῖον ὁ Ἄρατος·

Ἢ κοίλης [7] μύρμηκες ὀχῆς ἐξ ὤεα πάντα
Θᾶσσον ἀνηνέγκαντο·

καὶ

1 Post παντελῶς inserunt ταλαίπωρον καὶ Turn. V. Bong.

2 R. susp. ἔχει, ὃ μὴ εἴη μειζόνων.

3 Iliad. XIV, 216.

4 Petav. τοῦτο δὲ δίς.

5 abest καὶ ab Ald. Bas. Petav.

6 Xyl. e Ms. notat κερμάτων, quod non improbandum censet, si κέρματα sint res minutae, quales etiam corrosas formicae in suas recondunt cavernas. Turn. V. Bong. καυμάτων vel κιμάτων.

7 In Ald. Bas. versus hi valde corrupti exstant: ἢ κοίλης μύρμηκος ἔξω ὀχῆς· ἐκ πάντα θᾶσσον ἀνηνέγκατο. Pro ὀχῆς Xyl. legendum conjecerat ὀπῆς. Leguntur in Arat. Phaenom. 956. sq. vel Diosem. 224. sq.

καί τινες οὐκ ᾠὰ γράφουσιν, ἀλλ᾽ ἤια [1], ὡς τοὺς ἀποκειμένους καρποὺς, ὅταν εὐρῶτα συνάγοντας αἴσθωνται, καὶ φοβηθῶσι φθορὰν καὶ σῆψιν ἀναφερόντων. ὑπερβάλλει δὲ πᾶσαν ἐπίνοιαν συνέσεως ἡ τοῦ πυροῦ τῆς βλαστήσεως προκατάληψις· οὐ γὰρ δὴ παραμένει ξηρὸς οὐδ᾽ ἄσηπτος, ἀλλὰ διαχεῖται καὶ γαλακτοῦται μεταβάλλων εἰς τὸ φύειν· ἵνα οὖν μὴ γενόμενος σπέρμα τὴν σιτίου χρείαν διαφθείρῃ, παραμένῃ δ᾽ αὐτοῖς ἐδώδιμος, ἐξεσθίουσι τὴν ἀρχὴν, ἀφ᾽ ἧς τὸν βλαστὸν ὁ πυρὸς ἀφίησιν. τοὺς δὲ τὰς μυρμηκιὰς αὐτῶν ἐπὶ τῷ καταμαθεῖν ὥσπερ ἐξ ἀνατομῆς ποιοῦντας [2] οὐκ ἀποδέχομαι· λέγουσι δ᾽ οὖν, οὐκ εὐθεῖαν εἶναι τὴν ἀπὸ τῆς ὀπῆς [3] κάθοδον, οὐδ᾽ εὔπορον ἄλλῳ θηρίῳ διεξελθεῖν, ἀλλὰ καμπαῖς καὶ στρεβλότησι κεκλασμένας ὑποπορεύσεις καὶ ἀνατρήσεις ἐχούσαις εἰς τρεῖς κοιλότητας ἀποτελευτῶσαν, ὧν τὴν μὲν [4] ἐνδιαί-

1 Vulgo ἀλλ᾽ ἵνα τοὺς. R. ſuſpicatus eſt primum, οὐκ ᾠεα, ἀλλ᾽ ὥρια, γράφουσι, *in illo Arati loco non legunt* ᾠεα, id eſt *ova*, *ſed* ὥρεα, *horrea*, vel ὥρια, *fructus*, proventum anni a ſe in horreis conditum. Deinde autem probavit conjecturam P. Leopardi Emendat. L. VI. c. 25. pro ἵνα reponentis ἤια, fructus. Idem legendum notavit Mez. & diſerte Graecum in Francica verſione poſuit Amiot., nec non Kaltw. Addendo ſimul ὡς ſecutus ſum W. ſententiam, ut ἀναφερόντων habeat, quo commode referatur. Pro ἀναφερόντων eſſe in vetuſtis libris ἀναφέρειν, R. quoque ex Leopardo notat: quo admiſſo legendum cenſet οἰόμενοι ἀναφέρειν. Notari denique vult idem Latiniſſimum εὐρῶτα συνάγοντας, *ſitum contrahentes.*

2 Omnino ſuſpectum. R. quaerit, num σκοποῦντας. W. judice nec lectio ſana eſt, nec ejus ſanandae ratio adeſt. Ald. Baſ. Xyl. ἐξανατομῆς ποιοῦντας. E. ἐξ ἀνατομῆς πονοῦντας; Harl. ἐξ ἀνατομῆς πληροῦντας. Addit W. ſibi, novum ſed probabile, in mentem veniſſe ἐξ ἀνατομίας ποιοῦντας, *tanquam caſtratos medica ſectione reddentes.*

3 Ita legendum cenſuerunt Mez. R. & W. & vertendo ſignificavit Xyl. Vulgo ἀπὸ τῆς ὕλης.

4 Paulo aliter hac de re tradere Aelianum H. A. 6, 43. monet R.

διαίτημα κοινὸν αὐτοῖς εἶναι, τὴν δὲ τῶν ἐδωδίμων ταμεῖον, εἰς δὲ τὴν τρίτην ἀποτίθεσθαι τὰς θνήσκοντας.

XII. Οἶμαι δὲ μὴ ἄκαιρος ὑμῖν φανεῖσθαι, τοῖς μύρμηξιν ἐπεισάγων τὰς ἐλέφαντας, ἵνα τὰ νᾶ τὴν φύσιν ἔν τε τοῖς μικροτάτοις ἅμα καὶ μεγίςοις σώμασι κατανοήσωμεν, μήτε τάτοις [1] ἐναφανιζομένην, μήτ' ἐκείνοις ἐνδέασαν. οἱ μὲν ἂν ἄλλοι θαυμάζεσι τὰ ἐλέφαντος, ὅσα μανθάνων καὶ διδασκόμενος, ἐν τοῖς [2] θεάτροις ἐπιδείκνυται σχημάτων εἴδη καὶ μεταβολὰς, ὧν ἐδ' ἀνθρωπίναις μελέταις τὸ ποικίλον καὶ περιττὸν ἐν μνήμῃ καὶ καθέξει γενέσθαι πάνυ ῥάδιόν ἐςιν· ἐγὼ δὲ μᾶλλον ἐν τοῖς ἀφ' αὐτᾶ καὶ ἀδιδάκτοις τᾶ θηρία πάθεσι καὶ κινήμασιν, ὥσπερ ἀκράτοις καὶ ἀπαραχύτοις [3], ἐμφαινομένην ὁρῶ τὴν σύνεσιν. ἐν Ῥώμῃ μὲν γὰρ ἐ πάλαι πολλῶν προδιδασκομένων ςάσεις τινὰς κτᾶσθαι [4] παραβόλας, καὶ κινήσεις δυσεξελίκτας ἀνακυκλεῖν, εἷς ὁ δυσμαθέςατος ἀκέων κακῶς ἑκάςοτε καὶ κολαζόμενος πολλάκις, ὤφθη νυκτὸς αὐτὸς ἀφ' ἑαυτᾶ πρὸς τὴν σελήνην ἀνατταττόμενος [5] τὰ μαθήματα καὶ μελετῶν. ἐν δὲ Συρίᾳ πρότερον Ἄγνων ἱςορεῖ, τρεφομένα κατ' οἰκίαν ἐλέφαντος, τὸν ἐπιςάτην [6] λαβόντα κριθῶν μέτρον ὑφαιρεῖν καὶ χρεωκοπεῖν μέρος ἥμισυ καθ' ἡμέραι·

1 τάτοις ad remotius, minuta animalia, ἐκείνοις ad propius, magna, redit. R.

2 abeſt τοῖς a Pet. Ald. Baſ.

3 Ald. Baſ. ἀταραχύτοις. Xyl. e Ms. correxit:

4 Caſaubonus in Caſaubonianis a Wolfio editis p. 84. pro κτᾶσθαι legendum ſuaſit ἵςασθαι. Idem Mez. voluit. R. non probavit hanc correctionem, cum κτᾶσθαι & λαμβάνειν & *accipere* & *arripere* pro diſcere, & poſtremum pro *celeriter diſcere*, uterque ſermo uſu frequentet. Aliud ſentit W. ἵςασθαι commendans.

5 Mez. ἀναπλαττόμενος; W. eadem veriſimilitudine corrigi poſſe notat ἀναματτόμενος, non tamen vulgatam reprobat.

6 Vulgo abeſt τὸν ante ἐπιςάτην; W. addidit ex E.

ραν· ἐπεὶ δὲ, τοῦ δεσπότου παρόντος ποτὲ καὶ θεωμένου, πᾶν τὸ μέτρον κατήρασεν, ἐμβλέψαντα καὶ διαγαγόντα τὴν προβοσκίδα, τῶν κριθῶν ἀποδιαστῆσαι καὶ διαχωρίσαι τὸ μέρος· ὡς ἐνῆν λογιώτατα κατειπόντα τοῦ ἐπιστάτου τὴν ἀδικίαν. ἄλλον δὲ, ταῖς κριθαῖς λίθους καὶ γῆν εἰς τὸ μέτρον τοῦ ἐπιστάτου καταμιγνύοντος, ἑψομένων κρεῶν, δραξάμενον [1] τῆς τέφρας ἐμβαλεῖν εἰς τὴν χύτραν. ὁ δὲ ὑπὸ τῶν παιδαρίων προπηλακισθεὶς ἐν Ῥώμῃ τοῖς γραφείοις τὴν προβοσκίδα κεντούντων, ὃν συνέλαβε μετέωρον ἐξάρας, ἐπίδοξος ἦν ἀποτυμπανίσειν· κραυγῆς δὲ τῶν παρόντων γενομένης, ἀτρέμα πρὸς τὴν γῆν πάλιν ἀπηρείσατο, καὶ παρῆλθεν, ἀρκοῦσαν ἡγούμενος δίκην τῷ τηλικούτῳ [2], φοβηθῆναι. περὶ δὲ τῶν ἀγρίων καὶ αὐτονόμων ἄλλα τε θαυμάσια καὶ τὰ περὶ τὰς διαβάσεις τῶν ποταμῶν ἱστορεῖται· προδιαβαίνει γὰρ ἐπιδοὺς αὐτὸν [3] ὁ νεώτατος καὶ μικρότατος· οἱ δὲ ἑστῶτες ἀποθεωροῦσιν, ὡς, ἂν ἐκεῖνος ὑπεραίρῃ τῷ μεγέθει τὸ ῥεῦμα, πολλὴν τοῖς μείζοσι πρὸς τὸ θαρρεῖν περιουσίαν τῆς ἀσφαλείας οὖσαν.

XIII. Ἐνταῦθα τοῦ λόγου γεγονὼς, οὐ δοκῶ μὴ παρήσειν δι' ὁμοιότητα τὸ τῆς [4] ἀλώπεκος. οἱ μὲν οὖν μυθολόγοι τῷ Δευκαλίωνί φασι περιστερὰν ἐκ τῆς λάρνακος ἀφιεμένην, δήλωμα γενέσθαι, χειμῶνος μὲν, εἴσω πάλιν ἐνδυομένην, εὐδίας δὲ, ἀποπτᾶσαν· οἱ δὲ Θρᾷκες ἔτι νῦν, ὅταν παγέντα ποταμὸν διαβαίνειν ἐπιχειρῶσιν, ἀλώπεκα ποιοῦνται γνώμονα τῆς τοῦ πάγου στερρότητος· ἡσυχῇ γὰρ ὑπάγουσα παραβάλλει τὸ οὖς· κἂν μὲν αἴσθηται ψόφῳ τοῦ ῥεύματος ἐγγὺς ὑποφερομένου, τεκμαι-

1 Patav. δεξάμενον.

2 R. mavult δίκην τὸ τηλικοῦτον φοβηθῆναι.

3 Ald. Bas. αὐτῶν.

4 Vulgo abest τό. Hinc R. legi voluit τὰ τῆς. W. addidit τὸ ex E. & Mez. notans, Venet. habere τὴν ἀλώπεκα: item B. & vulgatam in margine.

τεκμαιρομένη, μὴ γεγονέναι διὰ βάθους τὴν πῆξιν, ἀλλὰ λεπτὴν καὶ ἀβέβαιον, ἵσταται, κἂν ἐᾷ τις, ἐπανέρχεται· τῷ δὲ μὴ ψοφεῖν θαρροῦσα διῆλθε. καὶ τοῦτο μὴ λέγωμεν [1] αἰσθήσεως ἄλογον ἀκρίβειαν, ἀλλ' ἐξ αἰσθήσεως συλλογισμὸν, ὅτι τὸ ψοφοῦν κινεῖται, τὸ δὲ κινούμενον οὐ πέπηγε, τὸ δὲ μὴ πεπηγὸς ὑγρόν ἐςι, τὸ δὲ ὑγρὸν ἐνδίδωσιν. οἱ δὲ διαλεκτικοί φασι, τὸν κύνα τῷ διὰ πλειόνων διεζευγμένῳ [2] χρώμενον ἐν ταῖς πολυσχιδέσιν ἀτραποῖς, συλλογίζεσθαι πρὸς ἑαυτόν· Ἤτοι τήνδε τὸ θηρίον ὥρμηκεν, ἢ τήνδε, ἢ τήνδε [3]· ἀλλὰ μὴν οὔτε τήνδε, οὔτε τήνδε· τήνδε λοιπὸν ἄρα· τῆς μὲν αἰσθήσεως οὐδὲν, ἢ τὴν πρόσληψιν [4] διδούσης, τοῦ δὲ λόγου τὰ λήμματα, καὶ τὸ συμπέρασμα τοῖς λήμμασιν ἐπιφέροντος. οὐ μὴν δεῖταί γε τοιαύτης μαρτυρίας ὁ κύων· ψευδὴς γάρ ἐςι καὶ κίβδηλος· ἡ γὰρ αἴσθησις αὐτὴ τοῖς ἴχνεσι καὶ τοῖς νεύμασι [5] τοῦ θηρίου τὴν φυγὴν ἐπιδείκνυσι, χαίρειν λέγουσα διεζευγμένοις ἀξιώμασι καὶ συμπεπλεγμένοις. δι' ἄλλων δὲ πολλῶν ἔργων καὶ παθῶν καὶ καθηκόντων, οὔτ' ὀσφραντῶν, οὔτε ὁρατῶν, ἀλλὰ διανοίᾳ καὶ λόγῳ μόνον πρακτῶν καὶ θεατῶν ὄντων, κατιδεῖν ἐςι τὴν κυνὸς φύσιν· ὧν τὰς μὲν ἐν ἄγραις ἐγκρατείας καὶ [6] πειθαρχίας καὶ ἀγχινοίας, γελοῖος ἔσομαι λέγων πρὸς ὑμᾶς τοὺς ὁρῶντας αὐτὰ

L 2 καθ'

1 Sic dedi cum W. e Petav. Venet. Harl. Xyl. Mez. Vulgo λέγομεν.

2 Petav: συνεζευγμένῳ.

3 Postremum hoc ἢ τήνδε abest ab Ald. & Bas.

4 Veterem hanc & veram lectionem W. revocavit ex Ald. Bas. Xyl. Harl. Venet. Pet. Mez. Vulgo πρόληψιν, quod Stephanum sumsisse suspicatur ab Amiot. & Xyl. sic vertentibus; neque dissentire notat a Steph. excerpta B. E. Pro seq. διδούσης Ald. Bas. δούσης; Turn. Boug. ποιούσης.

5 Ald. Bas. Petav. ῥεύμασι. Xyl. e Ms. probavit νεύμασι, quod Steph. dedit. Kaltw. praefert veterem lectionem — *Ausflüsse*, Ausdünstungen des gejagten Thiers.

6 abest hoc καὶ ab Ald. Bas.

καθ' ἡμέραν καὶ μεταχειριζομένους. οὐδὲ [1] τοῦ Ῥωμαίου σφαγέντος ἐν τοῖς ἐμφυλίοις πολέμοις οὐδεὶς ἐδυνήθη τὴν κεφαλὴν ἀποτεμεῖν πρότερον, πρὶν ἢ τὸν κύνα τὸν φυλάττοντα καὶ προμαχόμενον αὐτοῦ κατακεντῆσαι περιστάντας. Πύῤῥος δὲ, ὁ βασιλεὺς, ὁδεύων ἐνέτυχε κυνὶ φρουροῦντι σῶμα πεφονευμένου, καὶ πυθόμενος, τρίτην ἡμέραν ἐκείνην ἄσιτον παραμένειν καὶ μὴ ἀπολιπεῖν, τὸν μὲν νεκρὸν ἐκέλευσε θάψαι, τὸν δὲ κύνα μεθ' ἑαυτοῦ κομίζειν ἐπιμελουμένους· ὀλίγαις δὲ ὕστερον ἡμέραις ἐξέτασις ἦν τῶν στρατιωτῶν, καὶ πάροδος καθημένου τοῦ βασιλέως, καὶ παρῆν ὁ κύων ἡσυχίαν ἔχων· ἐπεὶ δὲ τοὺς φονέας τοῦ δεσπότου παριόντας εἶδεν, ἐξέδραμε μετὰ φωνῆς καὶ θυμοῦ ἐπ' αὐτοὺς, καὶ καθυλάκτει πολλάκις μεταστρεφόμενος εἰς τὸν Πύῤῥον· ὥστε μὴ μόνον ἐκείνῳ δι' ὑποψίας ἀλλὰ καὶ πᾶσι τοῖς παροῦσι, τοὺς ἀνθρώπους γενέσθαι· διὸ συλληφθέντες εὐθὺς καὶ ἀνακρινόμενοι, μικρῶν τινῶν τεκμηρίων ἔξωθεν προσγενομένων, ὁμολογήσαντες τὸν φόνον, ἐκολάσθησαν. ταῦτα [2] δὲ καὶ τὸν Ἡσιόδου κύνα τοῦ σοφοῦ δρᾶσαι λέγουσι, τοὺς Γανύκτορος ἐξελέγξαντα τοῦ Ναυπακτίου [3] παῖδας, ὑφ' ὧν ὁ Ἡσίοδος ἀπέθανεν. ὃ δὲ οἱ πατέρες ἡμῶν ἔγνωσαν αὐτοὶ σχολάζοντες Ἀθήνησιν, ἐναργέστερόν ἐστι τῶν εἰρημένων· παραῤῥυεὶς γὰρ ἄνθρωπος εἰς τὸν νεὼν τοῦ Ἀσκληπιοῦ, τὰ εὔογκα τῶν ἀργυρῶν καὶ χρυσῶν ἔλαβεν

1 Xyl. mavult οὐ δὴ, nisi quid exciderit. R. pro οὐδὲ τοῦ susp. Οὐαλερίου. Cf. Harduin. ad Plin. VIII, 40. & Gronov. ad Aelian. VII, 10. Excidisse quid hic loci, Kaltw. susp., ad hanc sententiam: Ich begnüge mich also, nur einige bekannte Beispiele anzuführen.

2 R. mavult ταὐτά.

3 Ita dedi, R. jubente, & Palmer. Exerc. p. 231. sic emendante, e Bas. Turn. Bong. cum W. adsentientibus B. Venet. Xyl. Collat. Muret. Jannot. Schott. Anon. Amiot. Mez. & eodem ducente Harl. ναυκτίου. Vulgo Ναυκλητίου. Cf. Conviv. sept. Sapient. c. 19. Vol. VIII. p. 47.

βεν ἀναθημάτων, καὶ λεληθέναι νομίζων ὑπεξῆλθεν· ὁ δὲ Φρȣρὸς κύων, ὄνομα Κάππαρος, ἐπεὶ μηδεὶς ὑλακτȣ̃ντι τῶν νεωκόρων ὑπήκȣσεν αὐτῷ, Φεύγοντα τὸν ἱερόσυλον ἐπεδίωκε· καὶ πρῶτον μὲν βαλλόμενος λίθοις ȣ̓κ ἀπέςη· γενομένης δὲ ἡμέρας, ἐγγὺς ȣ̓ προσιὼν, ἀλλ' ἀπ' ὀφθαλμȣ̃ παραφυλάττων εἵπετο, καὶ τροφὴν προβάλλοντος, ȣ̓κ ἐλάμβανεν· ἀναπαυομένῳ δὲ παρενυκτέρευε, καὶ βαδίζοντος, πάλιν ἐπηκολȣ́θει ἀναςὰς, τȣ̀ς δ' ἀπαντῶντας ὁδοιπόρȣς ἔσαινεν, ἐκείνῳ δ' ἐφυλάκτει καὶ προσέκειτο· ταῦτα δὲ οἱ διώκοντες πυνθανόμενοι παρὰ τῶν ἀπαντώντων ἅμα καὶ τὸ χρῶμα Φραζόντων καὶ τὸ μέγεθος [1] τȣ̃ κυνὸς, προθυμότερον ἐχρήσαντο τῇ διώξει, καὶ καταλαβόντες τὸν ἄνθρωπον, ἀνήγαγον ἀπὸ Κρομμυῶνος· ὁ δὲ κύων ἀναςρέψας προηγεῖτο γαῦρος καὶ περιχαρὴς, οἷον ἑαυτȣ̃ ποιȣ́μενος ἄγραν καὶ θήραμα τὸν ἱερόσυλον. ἐψηφίσαντο δὴ σῖτον αὐτῷ δημοσίᾳ μετρεῖσθαι, καὶ παρεγγυᾶσθαι τοῖς ἱερεῦσιν εἰσαεὶ τὴν ἐπιμέλειαν· ἀπομιμησάμενοι τὸ πρὸς τὸν ἡμίονον Φιλανθρώπευμα τῶν παλαιῶν Ἀθηναίων. τὸν γὰρ ἑκατόμπεδον νεὼν Περικλέȣς ἐν ἀκροπόλει κατασκευάζοντος, ὡς εἰκὸς, λίθοι προσήγοντο πολλοῖς ζεύγεσι καθ' ἡμέραν· τῶν ȣ̓ν συνειργασμένων μὲν [2] προθύμως, ἤδη δὲ διὰ γῆρας ἀφειμένων ὀρέων εἷς κατερχόμενος εἰς Κεραμεικὸν, καὶ τοῖς ἀνάγȣσι ζεύγεσι τȣ̀ς λίθȣς ὑπαντῶν, ἀεὶ συνανέςρεφε καὶ συμπαρετρόχαζεν, οἷον ἐγκελευόμενος καὶ παρορμῶν· διὸ θαυμάσας αὐτȣ̃ τὴν Φιλοτιμίαν ὁ δῆμος, ἐκέλευσε δημοσίᾳ τρέφεσθαι, καθάπερ ἀθλητῇ σίτησιν ὑπὸ γήρως ἀπειρηκότι ψηφισάμενος.

XIV. Διὸ τȣ̀ς λέγοντας, ὡς ἡμῖν ȣ̓δὲν πρὸς τὰ

 ζῶα

1 Vulgo ante *μέγεθος* abest *τὸ*. Dedi id cum W. ex Pet. adsentiente Harl.

2 R. legi vult *μὲν ἂν προθ.* qui promte quidem & libenter fuissent operam suam collaturi.

ζώοις δίκαιόν ἐστι, ῥητέον εὖ λέγειν, ἄχρι τῶν ἐνάλων καὶ βυθίων· ἄμικτα γὰρ ἐκεῖνα κομιδῇ πρὸς χάριν καὶ ἄστοργα, καὶ πάσης ἄμοιρα γλυκυθυμίας· καὶ καλῶς Ὅμηρος εἶπε [1].

— Γλαυκὴ δέ σ' ἔτικτε θάλασσα,

πρὸς τὸν ἀνήμερον εἶναι δοκοῦντα καὶ ἄμικτον· ὡς μηδὲν τῆς θαλάσσης εὐνοϊκὸν, μηδὲ πρᾶον φερούσης. ὁ δὲ καὶ πρὸς τὰ χερσαῖα τῷ λόγῳ τούτῳ χρώμενος, ἀπηνὴς καὶ θηριώδης· ἢ μηδὲ [2] Λυσιμάχῳ τι γεγονέναι φήσει πρὸς τὸν κύνα τὸν Ὑρκανὸν δίκαιον, ὃς νεκρῷ τε μόνος παρέμεινεν αὐτῷ, καὶ καιομένου τοῦ σώματος, ἐνδραμὼν αὐτὸς ἑαυτὸν ἐπέρριψε [3]. τὰ δ' αὐτὰ καὶ τὸν Ἀστὸν [4] δρᾶσαι λέγουσιν, ὃν Πύρρος, οὐχ ὁ βασιλεὺς, ἀλλ' ἕτερός τις ἰδιώτης, ἔθρεψεν· ἀποθανόντος γὰρ αὐτοῦ, περὶ τὸ σῶμα διατρίβων, καὶ περὶ τὸ κλινίδιον αἰωρουμένου ἐκφερομένου, τέλος εἰς τὴν πυρὰν ἐνάλλόμενος [5] καθῆκεν ἑαυτὸν καὶ συγκατέκαυσε. Πώρου δὲ τοῦ βασιλέως ὁ ἐλέφας, ἐν τῇ πρὸς Ἀλέξανδρον μάχῃ κατατετρωμένου, πολλὰ τῶν ἀκοντισμάτων ἀτρέμα καὶ φειδόμενος ἐξῄρει τῇ προβοσκίδι, καὶ κακῶς ἤδη διακείμενος αὐτὸς, οὐ πρότερον ἐνέδωκεν [6], ἢ τοῦ βασιλέως ἐξαίμου γενομένου καὶ περιβ-

1 Iliad. XVI, 34.

2 Sic W. ex E. dedit. Vulgo εἰ δὲ μὴ. Xyl. Mez. εἰ μηδὲ, B. εἰ δὲ μὴ Λυσιμάχῳ τι γέγονε φήσει —.

3 Ita R. legendum monuit, dedique cum W. Idem ex B. Venet. Harl. sumeute pro vulg. ἀπέῤῥιψεν. Pro ἐνδραμὼν R. simul voluit simplex δραμών.

4 Vulgo καὶ τὸν αὐτὸν δρ. λ. Plane absurdum inde produci sensum, monet Xyl. ex Ms. ἀστὸν inserne allitum a correctore praeferens, ut sit canis proprium nomen, quale & Capparus paulo ante occurrit. R. judice aut delendum fuit τὸν αὐτὸν, aut καὶ τὸν ἄλλον legendum. Notatur ἀστὸν e Turn. V. Bong. & legitur in Xyl. edit. Recepit W. ex iisdem, adsentientibus B. Harl. Schott. ut praeferendum vulgato.

5 R. mavult ἐναλλόμενος.

6 Ald. Bas. ἀνέδωκεν.

περιῤῥέοντος αἰσθανόμενος, καὶ φοβηθεὶς, μὴ πέσῃ, πράως ὑφῆκε, παρέχων ἐκείνῳ τὴν ἀπόκλισιν ἄλυπον. ὁ δὲ Βουκεφάλας γυμνὸς μὲν ὢν παρεῖχεν ἀναβῆναι τῷ ἱπποκόμῳ, κοσμηθεὶς δὲ τοῖς βασιλικοῖς προκοσμίοις[1] καὶ περιδεραίοις οὐδένα προσίετο, πλὴν αὐτὸν Ἀλέξανδρον· τοῖς δ' ἄλλοις, εἰ πειρώμενοι προσίοιεν, ἐναντίος ἐπιτρέχων ἐχρεμέτιζε μέγα καὶ συνήλλετο[2], καὶ κατεπάτει τοὺς μὴ πρόσω ἵεσθαι μηδ' ἀποφεύγειν φθάσαντας.

XV. Οὐκ ἀγνοῶ δὲ, ὅτι τὸ τῶν παραδειγμάτων ὑμῖν φανεῖται[3] τι ποικίλον· οὐκ ἐστι δὲ ῥᾳδίως τῶν εὐφυῶν ζώων πρᾶξιν εὑρεῖν μιᾶς ἔμφασιν ἀρετῆς ἔχουσαν· ἀλλ' ἐμφαίνεται καὶ τῷ φιλοστόργῳ[4] τὸ φιλότιμον αὐτῶν, καὶ τῷ γενναίῳ τὸ θυμόσοφον, ἥ τε[5] πανουργία καὶ τὸ συνετὸν ἐκ ἀπήλλακται τοῦ θυμοειδοῦς καὶ ἀνδρώδους. οὐ μὴν ἀλλὰ βουλομένοις διαιρεῖν καὶ διορίζειν καθ' ἕκαστον, ἡμέρου μὲν ἔμφασιν ὁμοῦ καὶ ὑψηλοῦ φρονήματος ποιοῦσιν οἱ κύνες, ἀποτρεπόμενοι τῶν συγκαθεζομένων· ὥς που καὶ ταῦτ' εἴρηται[6].

Οἱ μὲν κεκλήγοντες ἐπέδραμον· αὐτὰρ Ὀδυσσεὺς
Ἕζετο κερδοσύνῃ, σκῆπτρον δέ οἱ ἔκπεσε χειρός·

οὐκέτι γὰρ προσμάχονται τοῖς ὑποπεσοῦσι καὶ γεγονόσι ταπεινοῖς[7] τὰς ἕξεις ὁμοίοις. Φασὶ δὲ καὶ τὸν πρω-

 τευον-

1 Sic, W. teste, omnes libri, excepto Pet. προκοσμίοις. Vulgatum tamen eodem judice praeferendum.

2 R. mavult ἀνήλλετο.

3 Vulgo ὅτι τῶν παραδ. ὑ. φανεῖταί τι ποικ. Xyl. legi voluit ἔτι ἐν. R. susp. ὅτι δεῖ ἐπὶ τῶν παραδ. Ex E. W. recepit φανεῖται, & consequenter corrigendum esse ὅτι τὸ τῶν π. monuit.

4 Post φιλοστόργῳ Petav. repetit καί.

5 R. mavult ἡ δὲ πανουργ. vel potius aut haec periodus, aut verba καὶ τῷ γενναίῳ τὸ θυμόσοφον ei inducenda videntur, cum idem ambo dicant.

6 R. ante εἴρηται deesse quid suspicatur, & quaerit, num ὥς που καὶ ταῦτα δηλοῖ, ἃ περὶ Ὀδυσσέως Ὁμήρῳ εἴρηται. Cf. Odyss. XIV, 29. sq. Pro ἐπέδραμον Ald. Bas. ἀπέδραμον.

7 Vulgo ταπεινῷ. Hinc R. voluit legi ταπεινῶν. W. ex Harl.

τεύοντα κύνα τῶν Ἰνδικῶν καὶ μαχεθέντα [1] πρὸς Ἀλέξανδρον, ἐλάφου ἀφιεμένου καὶ κάπρου καὶ ἄρκτου, ἡσυχίαν ἔχοντα κεῖσθαι καὶ περιορᾶν· ὀφθέντος δὲ λέοντος, εὐθὺς ἐξαναστῆναι καὶ διακονίεσθαι, καὶ φανερὸν εἶναι αὐτοῦ ποιούμενον ἀνταγωνιστὴν, τῶν δ' ἄλλων ὑπερφρονοῦντα πάντων. οἱ δὲ τοὺς δασύποδας διώκοντες, ἐὰν μὲν αὐτοὶ κτείνωσιν, ἥδονται διασπῶντες, καὶ τὸ αἷμα λάπτουσι προθύμως· ἐὰν δ' ἀπογνοὺς ἑαυτὸν ὁ λαγωὸς, ὃ γίνεται πολλάκις, ὅσον ἔχει πνεύματος εἰς τὸν ἔσχατον ἀναλώσας δρόμον ἐκλίπῃ, νεκρὸν καταλαβόντες οὐχ ἅπτονται τοπαράπαν, ἀλλ' ἵστανται, τὰς οὐρὰς κινοῦντες, ὡς οὐ κρεῶν χάριν, ἀλλὰ νίκης καὶ φιλονεικίας ἀγωνιζόμενοι.

XVI. Πανουργίας δὲ πολλῶν παραδειγμάτων ὄντων, ἀφεὶς ἀλώπεκας καὶ λύκους, καὶ τὰ γεράνων σοφίσματα καὶ κολοιῶν, (ἔστι γὰρ δῆλα), μάρτυρι χρησόμεθα Θαλῇ, τῷ παλαιοτάτῳ τῶν σοφῶν, ὃν οὐχ ἥκιστα θαυμασθῆναι λέγουσιν ὀρέως [2] τέχνῃ περιγενόμενον. τῶν γὰρ ἁληγῶν ἡμιόνων εἷς ἐμβαλὼν εἰς ποταμὸν ὤλισθεν αὐτομάτως, καὶ τῶν ἁλῶν διατακέντων, ἀναστὰς ἐλαφρὸς, ἤσθετο τὴν αἰτίαν, καὶ κατεμνημόνευσεν· ὥστε διαβαίνων ἀεὶ τὸν ποταμὸν, ἐπίτηδες ὑφιέναι καὶ βαπτίζειν τὰ ἀγγεῖα, συγκαθίζων καὶ ἀπονεύων εἰς ἑκάτερον μέρος· ἀκούσας οὖν ὁ Θαλῆς, ἐκέλευσεν, ἀντὶ τῶν ἁλῶν, ἐρίων τὰ ἀγγεῖα καὶ σπόγγων ἐμπλήσαντας καὶ ἀναθέντας, ἐλαύνειν τὸν ἡμίονον· ποιήσας οὖν τὸ εἰωθὸς, καὶ ἀναπλήσας ὕδατος τὰ φορτία, συνῆκεν ἀλυσιτελῆ σοφι-

Harl. dedit ταπεινοῖς. Omiſſa autem ſunt in hoc cod. proxima τὰς ἕξεις ὁμοίοις.

1 Ita, W. teſte, omnes libri. Turn. correxit ἀχθέντα, cujus loco in ind. Frſt. male exhibetur μαχθέντα; Mez. πεμφθέντα; R. ſuſp. τῶν Ἰνδικῶν προσαχθέντα; W. mavult εἰσαχθέντα. Cf. Aelian. H. anim. VIII, 1. & Diodor. XVII, 94.

2 Vulgo ὀρθῶς. Cum W. dedi ὀρέως ex R. conjectura, conſenſu Amiot. & Mez. firmata.

σοφιζόμενος ἑαυτῷ, καὶ τολοιπὸν ὅτω προσέχων καὶ φυλαττόμενος διέβαινε τὸν ποταμὸν, ὥσε μηδ' ἄκοντος αὐτȣ̃ τῶν φορτίων παραψαῦσαι τὸ ὑγρόν. ἄλλην δὲ πανȣργίαν ὁμȣ̃ μετὰ τȣ̃ φιλοσόργȣ πέρδικες ἐπιδεικνύντες [1], τὰς μὲν νεοττὰς ἐθίζȣσι, μηδέπω φεύγειν δυναμένȣς, ὅταν διώκωνται, καταβάλλοντας ὑπτίȣς ἑαυτὰς, βῶλόν τινα ἢ συρφετὸν ἄνω προΐσχεσθαι τȣ̃ σώματος, οἷον ἐπηλυγαζομένȣς· αὗται [2] δὲ τὰς διώκοντας ὑπάγȣσιν ἄλλη, καὶ περισπῶσιν εἰς [3] ἑαυτὰς, ἐμποδὼν διαπετόμεναι, καὶ κατὰ μικρὸν ἐξανιςάμεναι· μέχρις ἂν ὅτως ἁλισκομένων δόξαν [4] ἐνδιδȣ̃σαι, μακρὰν ἀποσπάσωσι τῶν νεοττῶν. οἱ δὲ δασύποδες πρὸς εὐνὴν ἐπανιόντες ἄλλον ἀλλαχῆ κομίζȣσι [5] τῶν λαγιδέων, καὶ πλέθρȣ διάςημα πολλάκις ἀλλήλων ἀπέχοντας [6], ὅπως ἂν ἄνθρωπος ἢ κύων ἐπίῃ, μὴ πάντες ἅμα συγκινδυνεύσωσιν· αὐτοὶ δὲ πολλαχόθι ταῖς μεταδρομαῖς ἴχνη θέντες [7], τὸ δ' ἔσχατον ἅλμα μέγα καὶ μακρὰν τῶν ἰχνῶν ἀποσπάσαντες, ὅτω καθεύδȣσιν. ἡ δ' ἄρκτος ὑπὸ τȣ̃ [8] πάθȣς, ὃ καλȣ̃σι φωλιὰν [9], καταλαμβανομένη, πρὶν ἢ παντάπασι ναρκῆσαι καὶ γενέσθαι βαρεῖα καὶ δυσκίνητος, τόν τε τόπον ἀνακαθαίρει, καὶ μέλλȣσα καταδύεσθαι, τὴν μὲν ἄλλην πορείαν ὡς ἐνδέχεται μάλιςα ποιεῖται μετέωρον καὶ ἐλαφρὰν, ἄκροις ἐπιθιγγάνȣσα τοῖς ἴχνεσι, τῷ νώτῳ δὲ τὸ σῶμα προσάγει,



1 Turn. Bong. ἐπιδείκνυνται. V. ἐνδείκνυνται.

2 R. mavult αὗται. Idem W. fufp.

3 abeft εἰς ab Ald. Baf. Petav.

4 Sic W. ex B. & E. dedit pro vulg. δόξαι.

5 W. ex E. & Venet. notat κοιμίζȣσι. Pro λαγιδέων R. mavult λαγιδίων.

6 R. deeffe fufp. καταλείπȣσι vel fimile quid.

7 Vulgo junctim ἰχνηθέντες. R. duobus vocabulis legi juffit. Dedi cum W ex Ald. vertentibus idem Grynaeo & Xyl.

8 abeft τȣ̃ a Petav.

9 Vulgo φωλία. Xyl. φωλεία. R. voluit φωλείαν. W. ex B. & Mez. dedit φωλιάν.

αγει, καὶ παρακομίζει [1] πρὸς τὸν Φωλεόν. τῶν ἐλά-Φων δ' [2] αἱ θήλειαι μάλιςα τίκτουσι παρὰ τὴν ὁδὸν, ὅπου τὰ σαρκοβόρα θηρία μὴ πρόσεισιν· οἵ τ' ἄῤῥενες, ὅταν αἴσθωνται βαρεῖς ὑπὸ πιμελῆς καὶ πολυσαρκίας ὄντες, ἐκτοπίζουσι, σώζοντες αὐτοὺς τῷ λανθάνειν, ὅτε τῷ Φεύγειν οὐ πεποίθασιν. τῶν δὲ χερσαίων ἐχίνων, ἡ μὲν ὑπὲρ αὑτῶν ἄμυνα καὶ Φυλακὴ παροιμίαν πεποίηκε·

Πόλλ' οἶδ' ἀλώπηξ, ἀλλ' ἐχῖνος ἓν μέγα·

προσιούσης γὰρ αὐτῆς, ὥς Φησιν ὁ Ἴων [3],

Στρόβιλος ἀμΦ' ακανθαν εἱλίξας δέμας, κεῖται,
Θίγειν τε καὶ δακεῖν ἀμήχανος.

γλαΦυρωτέρα δ' ἐςὶν ἡ περὶ τῶν σκυμνίων πρόνοια· μετοπώρου γὰρ ὑπὸ τὰς ἀμπέλους ὑποδυόμενος, καὶ τοῖς ποσὶ τὰς ῥᾶγας ἀποσείσας τοῦ βότρυος χαμᾶζε, καὶ περικυλισθεὶς [4], ἀναλαμβάνει ταῖς ἀκάνθαις· καὶ παρέσχε ποτὲ πᾶσιν ἡμῖν ὁρῶσιν ὄψιν ἑρπούσης ἢ βαδιζούσης ςαΦυλῆς· οὕτως ἀναπλέως ἐχώρει τῆς ὀπώρας· εἶτα καταδὺς εἰς τὸν Φωλεὸν, τοῖς σκύμνοις χρῆσθαι καὶ λαμβάνειν ἀπ' αὐτοῦ ταμιευομένοις παραδίδωσι. τὸ δὲ κοιταῖον αὐτῶν ὀπὰς ἔχει δύο, τὴν μὲν πρὸς νότον, τὴν δὲ πρὸς βορέαν βλεπούσας· ὅταν δὲ προαίσθωνται τὴν διαΦορὰν τοῦ ἀέρος, ὥσπερ ἱςίον κυβερνῆται

1 Turn. V. Bong. dant simplex κομίζει.

2 Particulam δ', quae vulgo abest, W. addidit ex Harl. Pro τῶν ἐλάΦων, quam lectionem habent Bas. Xyl. Steph. Amiot. Jannot. Schott. (forte omnes, W. judice, a correctore Aristotelem sequente Nat. Anim. X, 5.) habent τῶν ἐλεΦάντων B. E. Harl. Venet. Ald. Petav. Grynaeus. Ex Ms. notat Xyl. τῷ ἐλέΦαντι.

3 Vulgo ὥς Φασιν, οἷον. W. ex Harl. dedit Φησιν, & ὁ Ἴων ex emendatione Meziriaci & Annotatoris in discursu de Traduct. p. 39. Pro ἀμΦ' ἄκανθαν R. susp. ἀμΦ' ἀκανθῶν, *undique spinis hirsutum.*

4 R. mavult deleto καὶ scribi περικυλισθείσας, ad ῥᾶγας.

ται μεταλαμβάνοντες ἐμφράσσουσι τὴν κατ᾽ ἄνεμον, τὴν δὲ ἑτέραν ἀνοίγουσι. καὶ τοῦτό τις ἐν Κυζίκῳ καταμαθὼν, δόξαν ἔσχεν, ὡς ἀφ᾽ ἑαυτοῦ τὸν μέλλοντα πνεῖν ἄνεμον προαγορεύων.

XVII. Τόγε μὴν κοινωνικὸν μετὰ τοῦ συνετοῦ τοὺς ἐλέφαντας ἀποδείκνυσθαί φησιν ὁ Ἰόβας. ὀρύγματα γὰρ αὐτοῖς οἱ θηρεύοντες ἀπεργασάμενοι [1] λεπτοῖς φρυγάνοις καὶ φορυτῷ [2] κούφῳ κατερέφουσιν. ὅταν οὖν εἷς ὀλισθῇ, πολλῶν ὁμοῦ πορευομένων, οἱ λοιποὶ φοροῦντες ὕλην καὶ λίθους ἐμβάλλουσιν, ἀναπληροῦντες τὴν κοιλότητα τοῦ ὀρύγματος, ὥστε ῥᾳδίαν ἐκείνῳ γενέσθαι τὴν ἔκβασιν. ἱστορεῖ δὲ καὶ εὐχῇ χρῆσθαι θεῶν τοὺς ἐλέφαντας ἀδιδάκτους, ἁγνιζομένους [3] τε τῇ θαλάσσῃ, καὶ τὸν ἥλιον ἐκφανέντα προσκυνοῦντας, ὥσπερ χειρὸς ἀνατάσει [4] τῆς προβοσκίδος. ὅθεν καὶ θεοφιλέστατόν ἐστι τὸ θηρίον, ὡς Πτολεμαῖος ὁ Φιλοπάτωρ ἐμαρτύρησε. κρατήσας γὰρ Ἀντιόχου, καὶ βουλόμενος ἐκπρεπῶς [5] τιμῆσαι τὸ θεῖον, ἄλλα τε πάμπολλα κατέθυσεν ἐπινίκια τῆς μάχης, καὶ τέσσαρας ἐλέφαντας· εἶτα νύκτωρ ὀνείρασιν ἐντυχὼν, ὡς τοῦ θεοῦ μετ᾽ ὀργῆς ἀπειλοῦντος αὐτῷ διὰ τὴν ἀλλόκοτον ἐκείνην θυσίαν, ἱλασμοῖς τε πολλοῖς ἐχρήσατο, καὶ χαλκοῦς ἐλέφαντας ἀντὶ τῶν σφαγέντων ἀνέστησε τέσσαρας. οὐχ ἧττον δὲ κοινωνικὰ τὰ τῶν λεόντων. οἱ γὰρ νέοι τοὺς βραδεῖς καὶ γέροντας ἤδη συνεξάγουσιν ἐπὶ θήραν· ὅπου δ᾽ ἂν ἀπαγορεύσω-

1 Ald. Baf. Xyl. Petav. Collat. Muret. E. ὑπεργασάμενοι, quo etiam tendit Venet. ὑπεργευσάμενοι. W. judice, verae fcriptionis numeros nec hoc, minus etiam vulgata habere videtur.

2 Sic cum W. dedi ex correctione Mez. & R. — *quisquiliis undecunque congeftis*, confufa materia e foeno, ftramine, feftucis, fimilibus. Vulgo φόρτῳ.

3 Turn. V. Bong. ἀγωνιζομένους.

4 Sic W. dedit ex B. Venet. Collat. Muret. Schott. Anon. Jannot. Turn. V. Bong. Vulgo ἀνασχέσει.

5 Sic W. dedit ex B. Harl. Mez. Vulgo εὐπρεπῶς.

ρεύσωσιν, οἱ μὲν κάθηνται περιμένοντες, οἱ δὲ θηρεύουσι· κἂν λάβωσιν ὁτιοῦν, ἀνακαλοῦνται, μόσχου μυκήματι τὸ βρύχημα ποιοῦντες ὅμοιον· οἱ δ' εὐθὺς αἰσθάνονται, καὶ παραγενόμενοι, κοινῇ τὴν ἄγραν ἀναλίσκουσιν.

XVIII. Ἔρωτες δὲ πολλῶν, οἱ μὲν ἄγριοι καὶ περιμανεῖς γεγόνασιν· οἱ δ' ἔχοντες οὐκ ἀπάνθρωπον ὡραϊσμὸν οὐδ' ἀναφρόδιτον ὁμιλίαν. οἷος ἦν ὁ τοῦ ἐλέφαντος ἐν Ἀλεξανδρείᾳ, τοῦ ἀντερῶντος Ἀριστοφάνει τῷ γραμματικῷ· τῆς γὰρ αὐτῆς ἤρων στεφανοπώλιδος, καὶ οὐχ ἧττον ἦν ὁ ἐλέφας διάδηλος· ἔφερε γὰρ αὐτῇ τῆς ὀπώρας ἀεὶ πρατήρια [1] παραπορευόμενος, καὶ χρόνον πολὺν ὑφίστατο, καὶ τὴν προβοσκίδα τῶν χιτωνίων ἐντὸς, ὥσπερ χεῖρα, παραβαλὼν, ἀτρέμα τῆς περὶ τὸ στῆθος ὥρας ἔψαυεν. ὁ δὲ δράκων, ὁ τῆς Αἰτωλίδος ἐρασθεὶς, ἐφοίτα νύκτωρ πρὸς αὐτὴν, καὶ τοῦ σώματος ὑποδυόμενος ἐν χρῷ, καὶ περιπλεκόμενος, οὐδὲν οὔτε ἑκὼν οὔτ' ἄκων ἔβλαψεν, ἀλλὰ καὶ [2] κοσμίως ἀεὶ περὶ τὸν ὄρθρον ἀπηλλάττετο· συνεχῶς δὲ τοῦτο ποιοῦντος αὐτοῦ, μετῴκισαν οἱ προσήκοντες ἀπωτέρω τὴν ἄνθρωπον· ὁ δὲ τρεῖς μὲν ἢ τέτταρας [3] οὐκ ἦλθεν, ἀλλ', ὡς ἔοικε, περιῄει ζητῶν καὶ πλανώμενος· μόλις δέ πως ἐξανευρὼν, καὶ περιπεσὼν οὐ πράως, ὥσπερ εἰώθει, ἀλλὰ τραχύτερος [4], τῷ μὲν ἄλλῳ σπειράματι τὰς χεῖρας αὐτῆς ἔδησε πρὸς τὸ σῶμα, τῷ δ' ἀπολήγοντι τῆς οὐρᾶς ἐμαστίγου τὰς κνήμας, ἐλαφράν τινα καὶ φιλόστοργον καὶ πλέον ἔχουσαν τοῦ κολάζοντος τὸ φειδόμενον ὀργὴν ἐπιδεικνύμενος [5].

τὸν

1 R. susp. τὰ στεφάνων πρατήρια, *forum corollarium praeteriens.*

2 abest καὶ a Petav. Ald. Baf.

3 W. aut ἢ τέτταρας mutandum censet in ἡμέρας, aut ei subjungendum νύκτας.

4 R. mavult τραχυτέρως.

5 Ald. Baf. ἀποδεικνύμενος.

τὸν δ' ἐν Αἰγύπτῳ [1] παιδεραςῦντα χῆνα, καὶ τὸν ἐπιθυμήσαντα Γλαύκης, τῆς κιθαρῳδῦ, κριὸν, (περιβόητοι γάρ εἰσι, καὶ πολλῶν οἶμαι διηγημάτων διακορεῖς ὑμᾶς εἶναι) διὰ [2] ταῦτα μὲν ἀφίημι.

XIX. Ψᾶρες δὲ καὶ κόρακες καὶ ψιττακοὶ μανθάνοντες διαλέγεσθαι, καὶ τὸ τῆς φωνῆς πνεῦμα τοῖς διδάσκυσιν εὔπλαςον ῦτω καὶ μιμηλὸν ἐξαριθμεῖν [3] καὶ ῥυθμίζειν παρέχοντες, ἐμοὶ δοκῦσι προδικεῖν καὶ συνηγορεῖν τοῖς ἄλλοις ζώοις ἐν τῷ μανθάνειν, τρόπον τινὰ διδάσκοντες ἡμᾶς, ὅτι καὶ προφορικῦ λόγυ καὶ φωνῆς ἐνάρθρυ μέτεςιν αὐτοῖς· ἢ καὶ πολὺς [4] κατάγελως τὸ πρὸς ταῦτα καταλιπεῖν ἐκείνοις σύγκρισιν, οἷς ὐδὲ ὅσον ὠρύσασθαι μέτεςιν, ὐδ' ὅσον ςενάξαι, φωνῆς· τύτων δὲ καὶ τοῖς αὐτοφυέσι καὶ τοῖς ἀδιδάκτοις γηρύμασιν ὅση μῦσα καὶ χάρις ἔπεςιν, οἱ λογιώτατοι καὶ καλλιφωνότατοι μαρτυρῦσι, τὰ ἥδιςα ποιήματα καὶ μέλη [5] κύκνων καὶ ἀηδόνων ᾠδαῖς ἀπεικάζοντες. ἐπεὶ δὲ τῦ μαθεῖν τὸ διδάξαι λογικώτερον, ἤδη πειςέον Ἀριςοτέλει, λέγοντι, καὶ τῦτο τὰ ζῶα ποιεῖν· ὀφθῆναι γὰρ ἀηδόνα νεοσσὸν ᾄδειν προδιδάσκυσαν. μαρτυρεῖ δ' αὐτῷ τὸ φαυλότερον ᾄδειν, ὅσαις συμβέβηκε μικραῖς ἀλέσαις [6], ἀποτρόφοις τῶν μητέρων γενέσθαι· διδάσκονται γὰρ αἱ συντρεφόμεναι καὶ μανθάνυσιν, ὐ διὰ μισθὸν, ὐδὲ πρὸς δόξαν, ἀλλὰ τῷ

1 Turn. V. Bong. ἐν Ἀσώπῳ. W. legendum monet Αἰγείῳ. Idem Kaltw. scribit ex Aelian. V, 29. Athenae. XIII, p. 606. Plin. X, §. 26.

2 Dedi διὰ pro vulg. διὸ e R. mente.

3 R. susp. μιμηλὸν ὂν, & quaerit, num ἐξαρθμίζειν, *facere* ἄρθμιον, *distinctam & claram*, aut ἐξαρτύειν? Posterius non ineptum censet W. ipse suspicans ἐξαρθρῦν.

4 Sic W. vulgatum εἰ καὶ τοῖς πολλοῖς correxit. E. nimirum Harl. Ald. Bas. Xyl. Pet. ἢ καὶ πολὺς; B. Jannot. Pol. & Ms. Xyl. ἢ καὶ τοῖς πολλοῖς.

5 Turn. V. Bong. καὶ μέλεσι.

6 Ald. Petav. ᾀδέσαις; Turn. V. Bong. ὤσαις.

τῷ χαίρειν διαμελιζόμεναι, καὶ τὸ καλὸν ἀγαπᾶν μᾶλλον ἢ τὸ χρειῶδες τῆς φωνῆς. ἔχω δὲ περὶ τούτου καὶ λόγον εἰπεῖν πρὸς ὑμᾶς, ἀκούσας Ἑλλήνων τε πολλῶν καὶ Ῥωμαίων παραγενομένων. κουρεὺς γάρ τις ἐργαστήριον ἔχων ἐν Ῥώμῃ πρὸ τοῦ τεμένους, ὃ καλοῦσιν Ἑλλήνων ἀγοράν, θαυμαστόν τι χρῆμα πολυφώνου καὶ πολυφθόγγου κίττης ἔτρεφε, καὶ ἀνθρώπου ῥήματα καὶ θηρείους φθόγγους ἀνταπεδίδου, καὶ ψόφους ὀργάνων, μηδενὸς ἀναγκάζοντος, ἀλλ' αὐτὴν ἐθίζουσα, καὶ φιλοτιμουμένη μηδὲν ἄρρητον ἀπολιπεῖν, μηδ' ἀμίμητον. ἔτυχε δέ τις ἐκεῖ τῶν πλουσίων ἐκκομιζόμενος ὑπὸ σάλπιγξι πολλαῖς, καὶ γενομένης, ὥσπερ εἴωθε, κατὰ τὸν τόπον ἐπιστάσεως, εὐδοκιμοῦντες οἱ σαλπιγκταὶ καὶ κελευόμενοι, πολὺν χρόνον ἐνδιέτριψαν· ἡ δὲ κίττα μετὰ τὴν ἡμέραν ἐκείνην ἄφθογγος ἦν καὶ ἄναυδος, οὐδὲ τὴν αὐτῆς ἐπὶ τοῖς ἀναγκαίοις πάθεσιν ἀφιεῖσα φωνήν. τοῖς οὖν πρότερον αὐτῆς θαυμάζουσι τὴν φωνήν, τότε θαῦμα μεῖζον ἡ σιωπὴ παρεῖχε, κωφὸν ἀκρόαμα τοῖς συνήθως[1] παροδεύουσι τὸν τόπον· ὑποψίαι δὲ φαρμάκων ἐπὶ τοὺς ὁμοτέχνους ἦσαν· οἱ δὲ πλεῖστοι τὰς σάλπιγγας εἴκαζον ἐκπλῆξαι τὴν ἀκοήν, τῇ δ' ἀκοῇ συγκατασβέσθαι τὴν φωνήν. ἦν δ' οὐδέτερα τούτων, ἀλλ' ἄσκησις, ὡς ἔοικε, καὶ ἀναχώρησις εἰς ἑαυτὸ τοῦ μιμητικοῦ, καθάπερ ὄργανον ἐξαρτυομένου τὴν φωνὴν καὶ παρασκευάζοντος· ἄφνω γὰρ αὖθις ἧκε καὶ ἀνέλαμψεν, οὐδὲν τῶν συνήθων καὶ παλαιῶν μιμημάτων ἐκείνων, ἀλλὰ τὰ μέλη τῶν σαλπίγγων αὐταῖς περιόδοις φθεγγομένη, καὶ μεταβολὰς πάσας καὶ κρουμάτων διεξιοῦσα πάντας ῥυθμούς· ὥστε, ὅπερ ἔφην, τῆς εὐμαθείας λογικωτέραν εἶναι τὴν αὐτομάθειαν ἐν αὐτοῖς. πλὴν ἕν γέ τι μάθημα κυνὸς οὐ δοκῶ μοι παρήσειν, γενόμενος ἐν Ῥώμῃ θεατής. παρὰν γὰρ ὁ κύων μίμῳ πλοκὴν ἔχοντι δραματικὴν καὶ πολυπρόσωπον, ἄλλας τε μιμ-

ματα

1 R. mavult κωφὸν ἀκροάματος συνήθους.

σεις ἀπεδίδου τοῖς ὑποκειμένοις πάθεσι καὶ πράγμασι προσφόρως, καὶ φαρμάκου ποιουμένων ἐν αὐτῷ πεῖραν, ὑπνωτικοῦ μὲν, ὑποκειμένου δ' εἶναι θανασίμου, τόν τ' ἄρτον, ᾧ δῆθεν ἐμέμικτο τὸ φάρμακον, ἐδέξατο, καὶ καταφαγὼν, ὀλίγον ὕστερον ὅμοιος ἦν ὑποτρέμοντι καὶ σφαλλομένῳ καὶ καρηβαροῦντι· τέλος δὲ προτείνας [1] ἑαυτὸν, ὥσπερ νεκρὸς ἔκειτο, καὶ παρεῖχεν ἕλκειν καὶ μεταφέρειν, ὡς ὁ τοῦ δράματος ὑπηγόρευε λόγος· ἐπεὶ δὲ τὸν καιρὸν ἐκ τῶν λεγομένων καὶ πραττομένων ἐνόησεν, ἡσυχῇ τοπρῶτον ἐκίνησεν ἑαυτὸν, ὥσπερ ἐξ ὕπνου βαθέος ἀναφερόμενος, καὶ τὴν κεφαλὴν ἐπάρας διέβλεψεν· ἔπειτα θαυμαζόντων, ἀναστὰς ἐβάδιζε πρὸς ὃν ἔδει· καὶ προσῄει μὲν [2] χαίρων καὶ φιλοφρονούμενος, ὥστε πάντας ἀνθρώπους καὶ Καίσαρα (παρῆν γὰρ ὁ γέρων Οὐεσπασιανὸς ἐν τῷ Μαρκέλλου θεάτρῳ) συμπαθεῖς γενέσθαι.

XX. Γελοῖοι δ' ἴσως ἐσμὲν ἐπὶ τῷ μανθάνειν τὰ ζῷα σεμνύνοντες, ὧν ὁ Δημόκριτος ἀποφαίνει μαθητὰς ἐν τοῖς μεγίστοις γεγονότας ἡμᾶς· ἀράχνης, ἐν ὑφαντικῇ καὶ ἀκεστικῇ· χελιδόνος, ἐν οἰκοδομίᾳ· καὶ τῶν λιγυρῶν, κύκνου καὶ ἀηδόνος, ἐν ᾠδῇ, κατὰ [3] μίμησιν. ἰατρικῆς δὲ πολὺ τῶν τριῶν εἰδῶν [4] μέρος καὶ γενναῖον

ἐν

1 R. mavult ἐκτείνας.

2 R. susp. προσέπαιζε χαίρων. W. quaerit, num corrigendum προσῄκαλλε, vel πρόσεσαινε, utrumvis certe melius esse monens vulgato. Levissima videretur correctio προσέῤῥηξε vel προσῆξε a προσαΐσσειν, si hoc verbum de cane adhiberi solet, quod quidem in vulgaribus quibusdam lexicis insertum legitur.

3 Vulgo ἐν ᾠδῇ, καὶ κατὰ μίμ. R. hoc καὶ deleri voluit, nisi quid desit, e. c. ζήλῳ καὶ κατὰ μίμησιν. W. delevit cum Harl. monens, postremum κατὰ μίμησιν interpretando referendum esse ad μαθητὰς, ut Amiot. fecit. Mez. corrigit ἐν ᾠδικῇ, κατὰ μίμησιν, quod idem non repudiandum W. censet, si referatur ad μαθητάς.

4 Tres hae partes medicinae sunt ἡ φαρμακευτική, quae epotis medicamentis morbos profligat, ἡ διαιτητική, quae vi-

ctus

ἐν αὐτοῖς μόριον ὁρῶμεν. ὐ γὰρ μόνῳ τῷ Φαρμακευτικῷ χρῶνται, χελῶναι μὲν ὀρίγανον, γαλαῖ δὲ πήγανον; ὅταν ὄφεως Φάγωσιν, ἐπεσθίεσαι· κύνες δὲ πόᾳ τινὶ καθαίροντες ἑαυτὲς χολεριῶντας· ὁ δὲ δράκων [1] τῷ μαράθρῳ τὸν ὀφθαλμὸν ἀμβλυώττοντα λεπτύνων καὶ διαχαράττων· ἡ δ' ἄρκτος, ὅταν ἐκ τῆς Φωλεῦ παρέλθῃ [2]; τὸ ἆρον ἐσθίεσα πρῶτον τὸ ἄγριον· ἡ γὰρ δριμύτης ἀνοίγει συμπεφυκὸς [3] αὐτῆς τὸ ἔντερον· ἄλλως δ' ἀσώδης γενομένη πρὸς τὰς μυρμηκιὰς [4] τρέπεται, καὶ κάθηται προβάλλεσα λιπαρὰν καὶ μαλακὴν ἰκμάδι γλυκείᾳ τὴν γλῶσσαν, ἄχρις ὖ μυρμήκων ἀνάπλεως γένηται· καταπίνεσα γὰρ ὠφελεῖται· τῆς τ' ἴβεως τὸν ὑποκλυσμὸν ἅλμῃ καθαιρομένης Αἰγύπτιοι συνιδεῖν καὶ μιμήσασθαι λέγεσιν· οἱ δὲ ἱερεῖς ὕδατι χρῶνται, περιαγνίζοντες ἑαυτὲς, ἐξ ὖ πέπωκεν ἴβις· ἂν γὰρ ᾖ Φαρμακῶδες ἢ νοσερὸν ἄλλως τὸ ὕδωρ, ὐ πρόσεισιν. ἀλλὰ καὶ τροφῆς ἀποχέσει ἔνια θεραπεύονται, καθάπερ λύκοι καὶ λέοντες, ὅταν κρεῶν γένωνται διακορεῖς, ἡσυχίαν ἄγεσι κατακείμενοι, καὶ συνθάλποντες ἑαυτές. τίγριν δέ Φασιν, ἐρίφε παραδοθέντος αὐτῇ, χρωμένην διαίτῃ μὴ Φαγεῖν ἐφ' ἡμέρας δύο, τῇ δὲ τρίτῃ πεινῶσαν αἰτεῖν ἄλλο, καὶ τὴν γαλεάγραν σπαράσσειν· ἐκείνε δὲ Φείσασθαι οἰομένην σύντροφον ἔχειν ἤδη καὶ σύνοικον. ὐ μὴν ἀλλὰ καὶ χειρεργίᾳ χρῆσθαι τὲς ἐλέφαντας ἱσορῦσι· καὶ γὰρ ξυςὰ καὶ λόγχας

ctus & animi motuum aequabili moderamine sanitatem tuetur, tandem ἡ χειρεργική, quae vulnera sanat admotis manibus & fomentis. R.

1 Post δράκων vulgo repetitus legitur articulus ὁ. Eum deleri jussit R. Abest quoque a Bas. Delevit eum W. auctoritate cod. E.

2 R. mavult προέλθῃ.

3 Turn. V. Bong. συμπεπηγός.

4 Ald. & Bas. μαρυκίας, & deinde cum Petav. μαρσκημάτων pro μυρμήκων. Utrumque Xyl. corrigendum monuit ex Quaest. natur. XXVI. & Aelian. H. A. VI, 3.

λόγχας καὶ τοξεύματα, παριςάμενοι τοῖς τετρωμένοις [1], ἄνευ σπαραγμȣ̃ ῥᾳδίως καὶ ἀβλαβῶς ἐξέλκȣσιν. αἱ δὲ Κρητικαὶ αἶγες, ὅταν τὸ δίκταμον Φάγωσιν, ἐκβάλλȣσαι τὰ τοξεύματα ῥᾳδίως, καταμαθεῖν ταῖς ἐγκύοις τὴν βοτάνην παρέχον ἐκτρωτικὴν δύναμιν ἔχȣσαν· ἐπ᾽ ȣ̓δὲν γὰρ ἄλλο τρωθεῖσαι Φέρονται, καὶ ζητȣ̃σι καὶ διώκȣσι [2] τὸ δίκταμον.

XXI. Ἧττον δὲ ταῦτα θαυμαςὰ, καίπερ ὄντα θαυμάσια, ποιȣ̃σιν αἱ [3] νόησιν ἀριθμȣ̃ καὶ δύναμιν τȣ̃ ἀριθμεῖν ἔχȣσαι Φύσεις, ὥσπερ ἔχȣσιν αἱ περὶ Σȣ̃σα βόες· εἰσὶ γὰρ αὐτόθι τὸν βασιλικὸν παράδεισον ἄρδȣσαι περιάκτοις ἀντλήμασιν, ὧν ὥρισαι τὸ πλῆθος· ἑκατὸν γὰρ ἑκάςη βȣ̃ς ἀναΦέρει καθ᾽ ἡμέραν ἑκάςην ἀντλήματα· πλείονα δ᾽ ȣ̓κ ἔςιν ȣ̓́τε λαβεῖν [4] ȣ̓́τε βιάσασθαι βȣλόμενον· ἀλλὰ καὶ πείρας ἕνεκα πολλάκις προςιθέντων, ὑΦίςαται, καὶ ȣ̓ πρόεισιν, ἀποδȣ̃σα τ᾽ τεταγμένον· ȣ̔́τως ἀκριβῶς συντίθησι καὶ καταμνημονεύει τὸ κεΦάλαιον, ὡς Κτησίας ὁ Κνίδιος ἱςόρηκε. Λίβυες δ᾽ Αἰγυπτίων [5] καταγελῶσι μυθολογȣ́ντων περὶ τȣ̃ ὄρυγος [6], ὡς Φωνὴν ἀΦιέντος ἡμέρας ἐκείνης καὶ ὥρας, ἧς ἐπιτέλλει τὸ ἄςρον, ὃ Σώθην αὐτοὶ, Κύνα δὲ καὶ Σείριον ἡμεῖς καλȣ̃μεν· τὰς γὰρ αὐτῶν ὁμȣ̃ πάσας αἶγας, ὅταν ἀνάσχῃ μεθ᾽ ἡλίȣ τὸ ἄςρον ἀτρεκῶς, ἐκεῖ [7] ςρεΦομένας ἀποβλέπειν πρὸς τὴν ανατολήν· καὶ τεκμή-

1 absunt a Petav. τοῖς τετρωμένοις.

2 R. legi vult διώκȣσιν ἢ τὸ δ. W. vel idem legendum censet vel ζητȣ̃σι δὲ καὶ διώκȣσι.

3 Sic R. legi jussit, dedique cum W. id ex B. E. Harl. Mez. sumente pro vulg. ποιȣ̃σι καὶ. Jannot. Schott. ποιȣ̃σι καὶ αἱ. Turn. Bong. ποιȣ̃σι αἱ.

4 Mez. λαθεῖν, W. judice probabiliter.

5 Vid. Salmasii Exercit. Plin. p. 336. R.

6 Xyl. e Ms. notat ὤρυγος.

7 Petav. Ald. Bas. ἔχει; Petav. quoque τρεΦομένας, & deinde βεβαιότητος.

τεκμήριον τȣ̃το τῆς περιόδȣ βεβαιότατον εἶναι, καὶ μάλιϛα τοῖς μαθηματικοῖς κανόσιν ὁμολογȣ́μενον.

XXII. Ἵνα δὲ κορυφὴν ὁ λόγος ἐπιθεὶς ἑαυτῷ παύσηται, φέρε, κινήσαντες τὴν ἀφ' ἱερᾶς [1], βραχέα περὶ θειότητος αὐτῶν καὶ μαντικῆς εἴπωμεν. ȣ̓ γὰρ τι μικρὸν ȣ̓δ' ἄδοξον, ἀλλὰ πολὺ καὶ παμπάλαιον μαντικῆς μόριον, οἰωνιϛικὴ κέκληται· τὸ γὰρ ὀξὺ καὶ νοερὸν αὐτῶν καὶ δι' εὐϛροφίαν ὑπήκοον ἁπάσης φαντασίας, ὥσπερ ὀργάνῳ [2] τῷ θεῷ παρέχει χρῆσθαι καὶ τρέπειν ἐπί τε κίνησιν, ἐπί τε φωνὰς καὶ γηρύματα, καὶ σχήματα νῦν μὲν ἐνϛατικὰ, νῦν δὲ φορὰ, καθάπερ πνεύματα, ταῖς μὲν ἐπικόπτοντα, ταῖς δ' [3] ἐπευθύνοντα πράξεις καὶ ὁρμὰς εἰς τὸ τέλος. διὸ κοινῇ μὲν ὁ Εὐριπίδης θεῶν κήρυκας ὀνομάζει τȣ̀ς ὄρνιθας· ἰδίᾳ δέ φησιν ὁ Σωκράτης ὁμόδȣλον ἑαυτὸν ποιεῖσθαι τῶν κύκνων· ὥσπερ αὖ καὶ τῶν βασιλέων, ἀετὸς μὲν ὁ Πύῤῥος ἥδετο καλȣ́μενος, ἱέραξ δὲ ὁ Ἀντίοχος· ἰχθῦς δὲ, τȣ̀ς ἀμαθεῖς καὶ ἀνοήτȣς λοιδορȣ̃ντες ἢ [4] σκώπτοντες ὀνομάζομεν. ἀλλὰ δὴ μυρίων μυριάκις εἰπεῖν παρόντων, ἃ προδείκνυσιν ἡμῖν καὶ προσημαίνει τὰ πεζὰ καὶ πτηνὰ παρὰ τῶν θεῶν, ἓν ȣ̓κ ἔϛι τοιȣ̃τον ἀποφῆναι τῷ προδικȣ̃ντι τῶν ἐνύδρων, ἀλλὰ κωφὰ πάντα καὶ τυφλὰ τῆς προνοίας εἰς τὸν ἄθεον καὶ τιτανικὸν ἀπέῤῥιπται τόπον, ὥσπερ ἀσεβῶν χῶρον, ȣ̓ τὸ λογικὸν καὶ νοερὸν ἐγκατέσβεϛαι [5] τῆς ψυχῆς, ἐσχάτῳ δέ τινι συμπεφυρμένης καὶ κατακεκλυσμένης αἰσθήσεως μορίῳ, σπαίρȣσι μᾶλλον ἢ ζῶσιν ἔοικεν.

XXIII. ΗΡΑΚ. Ἄναγε τὰς ὀφρῦς, ὦ φίλε Φαίδιμε,

1 Cf. de hac dictione Vol. XII. p. 99. not. 4.

2 R. mavult ὄργανον.

3 R. legi vult τοῖς μὲν — τοῖς δ'. W. fusp. τὰς μὲν — τὰς δὲ.

4 R. mavult λοιδορȣ̃ντες μᾶλλον ἢ σκ.

5 Ald. Baf. ἐγκατέσβεται; Xyl. correxit, e Ms. notans ἐγκατασκεύασθαι. Petav. ἐγκατέσβεσε.

δίμε, καὶ διέγειρε σεαυτὸν ἡμῖν τοῖς ἐνάλοις καὶ νησιώταις· ἐ παιδιὰ τὸ χρῆμα τῶ λόγε γέγονεν, ἀλλ' ἐῤῥωμένος ἀγὼν καὶ ῥητορεία κιγκλίδων ἐπιδέεσα [1] καὶ βήματος.

ΦΑΙΔ. Ἐνέδρα μὲν ἐν, ὦ Ἡρακλέων, σὺν δόλῳ καταφανής· κραιπαλῶσι γὰρ ἔτι τὸ χθιζὸν καὶ βεβαπτισμένοις νήφων, ὡς ὁρᾷς, ὁ γεννναῖος ἐκ παρασκευῆς ἐπιτέθειται. παραιτεῖθαι δ' ἐκ ἔςιν· ἐ γὰρ βέλομαι Πινδάρε ζηλωτὴς ὤν, ἀκῦσαι τὸ

Τιθεμένων ἀγώνων πρόφασις
Ἀρετὰν ἐς αἰπὺν ἔβαλε σκότον [2].

σχολὴ μὲν γὰρ πολλή ἐςιν ὑμῖν ἀργέντων, ἐ χορῶν [3], ἀλλὰ κυνῶν καὶ ἵππων, καὶ δικτύε καὶ πάσης σαγήνης, διὰ τὰς λόγες ἐκεχειρίας κοινῇ πᾶσι τοῖς ζώοις κατά τε γῆν κατά τε θάλατταν δεδομένης τὸ σήμερον· ἀλλὰ μὴ φοβηθῆτε· χρήσομαι γὰρ αὐτῇ μετρίως, ὅτε δόξας φιλοσόφων, ὅτ' Αἰγυπτίων μύθες, ὅτ' ἀμαρτύρες Ἰνδῶν ἐπαγόμενος ἢ Λιβύων διηγήσεις· ἃ δὲ πανταχῶ μάρτυρας ἔχει τὰς ἐργαζομένες τὴν θάλατταν ὁρώμενα, καὶ δίδωσι τῇ ὄψει πίςιν, τέτων ὀλίγα παραθήσομαι. καίτοι τῶν ἐν γῇ παραδειγμάτων ἐπίπροσθεν ἐδέν ἐςιν, ἀλλ' ἀνεῳγμένη παρέχει τῇ αἰσθήσει τὴν ἱςορίαν. ἡ δὲ θάλασσα μικρὰ κατιδεῖν καὶ γλίσχρα δίδωσι· τῶν δὲ πλείςων κατακαλύπτει γενέσεις καὶ τροφὰς, ἐπιθέσεις τε καὶ φυλακὰς ἀλλήλων, ἐν αἷς ἐκ ὀλίγα καὶ συνέσεως ἔργα καὶ μνήμης καὶ κοινωνίας ἀγνοέμενα βλάπτει [4] τὸν λόγον.



1 Sic R. legendum est suspicatus, deditque W. ex E & Mez. Vulgo ἔτι δέεσα.

2 Cf. Vol. XII. p. 99.

3 Ald. Baf. Xyl. Venet. ἐχ ὁρῶν. Hinc Xyl. notat, se hoc non satis assequi, & suspicatur ἐ χορῶν. Hoc Steph. sumsit a Jannot. Coll. Muret. Schott. Anon. nec dissentiunt Excerpta B. & Harl. & Amiot. & Xyl. verterunt. E. loco χορῶν habet spatium vacuum. Grynaeus vertit cessantibus non horis. W. suspicatur ἐ λόγων.

4 Post βλάπτει Bong. inserit καὶ.

γον. ἔπειτα τὰ μὲν ἐν γῇ διὰ τὴν ὁμοφυλίαν καὶ τὴν συνδιαίτησιν ἁμωσγέπως συναναχρωννύμενα τοῖς ἀνθρωπίνοις ἤθεσιν, ἀπολαύει καὶ τροφῆς καὶ διδασκαλίας καὶ μιμήσεως· ἣ τὸ μὲν πικρὸν ἅπαν καὶ σκυθρωπὸν, ὥσπερ ἐπιμιξία ποτίμου θάλασσαν, ἐφηδύνει, τὸ δὲ δυσξύνθετον [1] ἅπαν καὶ νωθρὸν ἐπεγείρει ταῖς μετ' ἀνθρώπων κινήσεσιν ἀναῤῥιπιζόμενον. ὁ δὲ τῶν ἐνάλων βίος ὅροις μεγάλοις τῆς πρὸς ἀνθρώπους ἀπῳκισμένος ὁμιλίας, ἐπείσακτον οὐδὲν οὐδὲ συνειθισμένον ἔχων, ἴδιός ἐστι καὶ αὐθιγενὴς, καὶ ἄκρατος ἀλλοτρίοις ἤθεσι, διὰ τὸν τόπον, οὐ διὰ τὴν φύσιν. ἡ γὰρ φύσις ὅσον ἐξικνεῖται μαθήσεως ἐπ' αὐτὴν, δεχομένη καὶ στέγουσα, παρέχει πολλὰς μὲν ἐγχέλεις ἱερὰς λεγομένας [2] ἀνθρώποις χειροήθεις, ὥσπερ τὰς ἐν τῇ Ἀρεθούσῃ, πολλαχοῦ δ' ἰχθῦς ὑπακούοντας αὐτῶν ὀνόμασιν· ὥσπερ τὴν Κράσσου μύραιναν ἱστοροῦσιν, ἧς ἀποθανούσης ἔκλαυσεν ὁ Κράσσος· καί ποτε Δομιτίου πρὸς αὐτὸν εἰπόντος· Οὐ [3] σὺ μυραίνης ἀποθανούσης ἔκλαυσας; ἀπήντησεν· Οὐ σὺ τρεῖς θάψας γυναῖκας οὐκ ἐδάκρυσας; οἱ δὲ κροκόδειλοι τῶν ἱερέων οὐ μόνον γνωρίζουσι τὴν φωνὴν καλούντων, καὶ τὴν ψαῦσιν ὑπομένουσιν, ἀλλὰ καὶ διαχανοντες [4] παρέχουσι τοὺς ὀδόντας ἐκκαθαίρειν ταῖς χερσὶ, καὶ περιμάττειν ὀθονίοις. ἔναγχος δὲ Φιλῖνος ὁ βέλτιστος ἥκων πεπλανημένος ἐν Αἰγύπτῳ παρ' ἡμᾶς [5], διηγεῖτο, γραῦν ἰδεῖν ἐν Ἀνταίου πόλει κροκοδείλῳ συγκαθεύδουσαν ἐπὶ σκίμποδος εὖ μάλα [6] κοσμί-

1 R. & W. suspicantur δυσξύνετον.

2 Kaltw. voces ἱερὰς λεγομένας positas esse mavult post ὥσπερ τάς.

3 Pro οὐ Turn. V. Bong. Petav. hic loci & paulo post dant εἰ.

4 Petav. διαχανόντας.

5 Ita cum W. dedi e Turn. V. Bong. adsentientibus B. Schott. Jannot. Anon. Mez. pro vulg. παρ' ἡμῶν. E. παρ' ἡμῖν; Collat. Muret. παρ' ὑμῶν.

6 Pro εὖ μαλα, quod Steph. dedit, & Amiot. vertit, non dissentientibus Excerptis Harl. Venet., habet Ald. Bas. Xyl. B. E. Petav. μαλακοτάτου; B. in marg. μαλακώτατα.

κοσμίως παρεκτεταμένῳ. πάλαι δὲ ἱςορῦσι, Πτολεμαίȣ τȣ̃ βασιλέως παρακαλȣμένȣ, τὸν ἱερὸν κροκόδειλον μὴ ὑπακȣ́σαντα, μηδὲ πειθέντα λιπαρȣ̃σι καὶ δεομένοις τοῖς ἱερεῦσι, δόξαι [1] προσημαίνειν τὴν μετ' ȣ̓ πολὺ συμβᾶσαν αὐτῷ τȣ̃ βίȣ τελευτήν· ὥςε μηδὲ τῆς πολυτιμήτȣ μαντικῆς ἄμοιρον εἶναι τὸ τῶν ἐνύδρων γένος, μηδ' ἀγέρασον. ἐπεὶ καὶ περὶ Σȣ̃ραν πυνθάνομαι, κώμην ἐν τῇ Λυκίᾳ, Φελλȣ̃ μεταξὺ καὶ Μύρων, καθεζομένȣς ἐπ' ἰχθύσιν [2], ὥσπερ οἰωνοῖς, διαμαντεύεσθαι τέχνῃ τινὶ, καὶ λόγων λέξεις [3], καὶ φυγὰς καὶ διώξεις αὐτῶν ἐπισκοπȣ̃ντας.

XXIV. Ἀλλὰ ταῦτα μὲν ἔσω τȣ̃ μὴ παντάπασιν ἐκφύλȣ μηδ' ἀσυμπαθȣ̃ς πρὸς ἡμᾶς ἱκανὰ δείγματα· τῆς δ' ἀκράτȣ καὶ φυσικῆς συνέσεως μέγα δήλωμα τὸ κοινόν ἐςιν. ȣ̓δὲν γὰρ ȣ̆τως εὐχείρωτον ἀνθρώπῳ θηρατὸν, ὃ μὴ [4] πέτραις προσέχεται καὶ προσπέφυκεν, ȣ̓δὲ ἀλώσιμον ἄνευ πραγματείας, ὡς λύκοις μὲν ὄνοι, καὶ μέροψι μέλισσαι, χελιδόσι δὲ τέττιγες, ἐλάφοις δὲ ὄφεις ἀγόμενοι ῥᾳδίως ὑπ' αὐτῶν· ᾗ καὶ τȣ̆νομα πεποίηται παρώνυμον, ȣ̓ τῆς ἐλαφρότητος, ἀλλὰ τῆς ἕλξεως τȣ̃ ὄφεως· καὶ τὸ πρόβατον προσκαλεῖται τῷ ποδὶ τὸν λύκον· τῇ δὲ παρδάλει τὰ πλεῖςα προσχωρεῖν, χαίροντα τῇ ὀσμῇ, μάλιςα δὲ τὸν πίθηκον, λέγȣσι. τῶν δὲ θαλαττίων ὁμȣ̃ τι πάντων ἡ προαίσθησις ὕποπτος ȣ̓̃σα καὶ πεφυλαγμένη πρὸς τὰς ἐπιθέσεις, ὑπὸ συνέσεως, ȣ̓χ ἁπλȣ̃ν τὸ τῆς ἄγρας ἔργον, ȣ̓δὲ φαῦλον, ἀλλ' ὀργάνων τε παντοδαπῶν καὶ σοφισμάτων ἐπ' αὐτὰ δεινῶν καὶ ἀπατηλῶν δεόμενον ἀπείργαςαι.

 καὶ

[1] R. susp. λιπαρȣ̃ντι καὶ δεομένῳ, (scil. Ptolemaeo) τοῖς ἱερεῦσι δόξαι. Pro δεομένοις Petav. δεόμενον.

[2] R. susp. καθεζομένας ἐπ' ἀκτῇ, ἰχθύσιν, i. e. ἐν ἰχθύσιν.

[3] Bryan. ad Plut. Vit. Vol. I. p. 69. corrigendum censuit τέχνῃ τινὶ καὶ λόγῳ, ἑλίξεις. Idem R. placuit, vel αἴξεις. W. susp. λόγῳ, νήξεις καὶ φ.

[4] Recepi R. correctionem, W. probatam. Vulgo ἃ μὴ.

καὶ τῦτο δῆλόν ἐςιν ἀπὸ τῶν πάνυ προχείρων. τὸν μὲν γὰρ ἀσπαλιευτικὸν κάλαμον ὖ βὔλονται πάχος ἔχειν, καίπερ εὐτόνυ δεόμενοι πρὸς τὺς σπαραγμὺς τῶν ἁλισκομένων, ἀλλὰ μᾶλλον ἐκλέγονται τὸν λεπτὸν, ὅπως μὴ πλατεῖαν ἐπιβάλλων σκιὰν ἐκταράττῃ τὸ ὕποπτον αὐτῶν. ἔπειτα τὴν ὁρμιὰν ὖ ποιῦσι πολύπλοκον τοῖς ἅμμασι τῶν βρόχων, ὐδὲ τραχεῖαν· ἐπεὶ καὶ τῦτο τῦ δόλυ γίνεται τεκμήριον αὐτοῖς· καὶ τῶν τριχῶν τὰ καθήκοντα πρὸς τὸ ἄγκιςρον ὡς ἔνι μάλιςα λευκὰ φαίνεσθαι μηχανῶνται· μᾶλλον γὰρ ὕτως ἐν τῇ θαλάττῃ δι' ὁμοιότητα τῆς χρόας λανθάνυσι. τὸ δὲ ὑπὸ τῦ ποιητῦ λεγόμενον·

Ἡ δὲ μολυβδαίνῃ [1] ἰκέλη ἐς βυσσὸν ὄρυσεν,
Ἥ τε κατ' ἀγραύλοιο βοὸς κέρας ἐμβεβαυῖα
Ἔρχεται ὠμηςῆσιν ἐπ' ἰχθύσι κῆρα φέρυσα·

παρακύοντες ἔνιοι βοείαις θριξὶν οἴονται πρὸς τὰς ὁρμιὰς χρῆσθαι τὺς παλαιύς· κέρας γὰρ τὴν τρίχα λέγεσθαι, καὶ τὸ κείρασθαι διὰ τῦτο; καὶ τὴν κυράν· καὶ τὸν παρ' Ἀρχιλόχῳ κεροπλάςην [2], φιλόκοσμον εἶναι περὶ κόμην καὶ καλλωπιςήν. ἔςι δ' ὐκ ἀληθές· ἱππείαις γὰρ θριξὶ χρῶνται, τὰς τῶν ἀῤῥένων λαμβάνοντες· αἱ γὰρ θήλειαι τῷ ὔρῳ τὴν τρίχα βεβρεγμένην ἀδρανῆ ποιῦσιν. Ἀριςοτέλης δέ φησι, μηδὲν ἐν τύτοις λέγεσθαι σοφὸν ἢ περιττὸν, ἀλλὰ τῷ ὄντι κεράτιον περιτίθεσθαι πρὸ τῦ ἀγκίςρυ περὶ τὴν ὁρμιὰν, ἐπεὶ [3] πρὸς ἄλλο

1 Ald. Baf. Petav. & Ms. Xyl. μολυβδίνῃ. Iliad. XXIV, 80. fqq.

2 Dedi fic e Turn. & V. adfentientibus Salmas. & Jun. nec non W. probante pro vulg. κηροπλάςην. Cf. Hefych. in v. κεροπλάςης cum adnotati ne fubjuncta.

3 Dedi fic, W. probante, e Jannot. & Collat. Muret. pro vulg. ἔπειτα. R. idem legi voluit, fimul autem diverfo modo fequentia corrigi, ἐπεὶ τὰ προσεχῆ, vel πρόσω προσαλλόμενοι διεσθίυσιν, aut ἐπεὶ πρὸς τὰ ἄνω ἐρχόμενοι διεσθ. aut ἐπεὶ τὰ ἄνω προσερχόμενοι, vel προσαλλόμενοι, διεσθ.

ἄλλο ἐρχόμενοι διεσθίουσι. τῶν δ' ἀγκίστρων τοῖς μὲν στρογγύλοις ἐπὶ κεστρέας καὶ ἀμίας χρῶνται μικροστόμους ὄντας· τὸ γὰρ εὐθύτερον [1] εὐλαβοῦνται· πολλάκις δὲ καὶ τὸ στρογγύλον ὁ κεστρεὺς ὑποπτεύων ἐν κύκλῳ περινήχεται, τῇ οὐρᾷ περιῤῥαπίζων τὸ ἐδώδιμον, καὶ ἀνακάμπτων [2] τὸ ἀποκρουόμενον· ἂν δὲ μὴ δύνηται, συνάγων τὸ στόμα καὶ περιστείλας, τοῖς χείλεσιν ἄκροις ἐπιψαύων ἀπονιίζει τοῦ δελέατος. ὁ δὲ λάβραξ ἀνδρικώτερον τοῦ ἐλέφαντος, οὐχ ἕτερον, ἀλλ' αὐτὸς ἑαυτὸν, ὅταν περιπέσῃ τῷ ἀγκίστρῳ, βελουλκεῖ, τῇ δεῦρο κἀκεῖ παραλλάξει τῆς κεφαλῆς ἀνευρύνων τὸ τραῦμα, καὶ τὸν ἐκ τοῦ σπαραγμοῦ πόνον ὑπομένων, ἄχρις ἂν ἐκβάλῃ τὸ ἄγκιστρον. ἡ δ' ἀλώπηξ οὐ πολλάκις μὲν ἀγκίστρῳ πρόσεισιν, ἀλλὰ φεύγει τὸν δόλον, ἁλοῦσα δ' εὐθὺς ἐκτρέπεται· πέφυκε γὰρ δι' εὐτονίαν καὶ ὑγρότητα μεταβάλλειν τὸ σῶμα καὶ στρέφειν, ὥστε, τῶν ἐντὸς ἐκτὸς γενομένων, ἀποπίπτειν τὸ ἄγκιστρον.

XXV. Ταῦτα μὲν οὖν γνῶσιν ἐμφαίνει καὶ χρῆσιν ἐπὶ καιρῷ [3] τοῦ συμφέροντος εὐμήχανον καὶ περιττήν· ἄλλα δ' ἐπιδείκνυται μετὰ τοῦ συνετοῦ τὸ κοινωνικὸν καὶ τὸ φιλάλληλον, ὥσπερ ἀνθίαι καὶ σκάροι. σκάρου μὲν γὰρ [4] ἄγκιστρον καταπιόντος, οἱ παρόντες σκάροι προσαλλόμενοι τὴν ὁρμιὰν ἀποτρώγουσιν· οὗτοι [5] δὲ καὶ τοῖς εἰς κύρτον ἐμπεσοῦσι τὰς οὐρὰς παραδόντες, ἔξωθεν ἕλκουσι δάκνοντας [6] προθύμως, καὶ συνεξάγουσιν. οἱ δ' ἀνθίαι τῷ



1 R. susp. εὐρύτερον.

2 Ita omnes habere libros, W. testatur, legendum censens vertensque cum Grynaeo ἀνακάπτων, *glutiens.* R. pro τὸ ἀποκρουόμενον susp. τὸ ἀποκρεμαννύμενον.

3 B. ἐπὶ καιρὸν; E. ἐν καιρῷ. W. judice vulgatum exquisitius, nec mutandum. Deinde Turn. V. Bong. περιττόν.

4 W. addidit γὰρ ex Harl. Jannct. Mez.

5 W. susp. οἱ αὐτοί.

6 Vulgo δάκνοντες. R. legi voluit παραδόντες ἐνδακεῖν ἔξωθεν ἕλκουσι προθύμως. Dedi cum W. δάκνοντας e Turn. V. Bong. adsentientibus E. Venet. Collat. Muret. Schott. Anon.

τῷ συμβόλῳ βοηθȣ̃σιν ἱταμώτερον· τὴν γὰρ ὁρμιὰν ἀναθέμενοι κατὰ ῥάχιν καὶ ςήσαντες ὀρθὴν [1] τὴν ἄκανθαν, ἐπιχειρȣ̃σι διαπρίειν τῇ τραχύτητι καὶ διακόπτειν. καίτοι χερσαῖον ȣ̓δὲν ἴσμεν ἑτέρῳ κινδυνεύοντι τολμᾶν ἀμύνειν, ȣ̓κ ἄρκτον, ȣ̓ σῦν, ȣ̓δὲ λέαιναν, ȣ̓δὲ πάρδαλιν· ἀλλὰ συγχωρεῖ μὲν εἰς ταυτὸν ἐν τοῖς θεάτροις τὰ ὁμόφυλα, καὶ κύκλῳ μετ' ἀλλήλων περίεισιν· ἑτέρῳ δὲ ἕτερον ȣ̓κ οἶδεν ȣ̓δὲ φρονεῖ βοηθεῖν, ἀλλὰ φεύγει καὶ ἀποπηδᾷ ποῤῥωτάτω γινόμενα τȣ̃ τετρωμένȣ καὶ θνήσκοντος. ἡ δὲ τῶν ἐλεφάντων ἱςορία, φίλε [2], τῶν εἰς τὰ ὀρύγματα φορέντων καὶ τὸν ὀλιθόντα [3] διὰ χώματος ἀναβιβαζόντων, ἔκτοπός [4] ἐςι δεινῶς καὶ ἀλλοδαπή, καθάπερ ἐκ βασιλικȣ̃ διαγράμματος ἐπιτάττȣσα πιςεύειν αὐτῇ τῶν Ἰόβα βιβλίων· ἀληθὴς δ' ȣ̃σα, πολλὰ δείκνυσι τῶν ἐναλίων μηδὲν ἀπολειπόμενα τῷ κοινωνικῷ καὶ συνετῷ τȣ̃ σοφωτάτȣ τῶν χερσαίων. ἀλλὰ περὶ κοινωνίας αὐτῶν ἴδιος ἔςαι τάχα λόγος.

XXVI. Οἱ δὲ ἁλιεῖς συνορῶντες ὥσπερ ἀδοξήμασι [5] παλαισμάτων τὰ πλεῖςα διακρȣόμενα τὰς ἀπ' ἀγκίςρȣ βολὰς,

1 Vocabulum ὀρθὴν in Frft. & R. excidit. E Petav. notatur. Repoſui ex edd. prioribus.

2 R. mavult ὦ φίλε. Pro φίλε, τῶν Mez. unam efficit vocem φορυτὸν; W. judice probabilit r.

3 Sic R. legendum monuit, dedique e Turn. Petav. Bong. cum W. accedentibus E. Harl. Collat. Muret. Januot. Schott. Vulgo ὀλισθȣ̃ντα, non diſſentientibus B. & Venet. In Ald. Baſ. Xyl. ὀλισθέντα.

4 Ante hanc vocem R. excidiſſe ſuſp. ψευδὴς μὲν ȣ̃σα ob ſeq. ἀληθὴς δ' ȣ̃σα.

5 R. ſuſp. ἀδοξήματα παλαισμάτων, i. e. ἄδοξα παλαίσματα, *videntes a piſcium plurimis dolos ſuos hamatos velut artificia quaedam palaeſtrica ignobilia & contemta eludi.* Bryan. ad Plut. Vit Vol. III. p. 558. conjecerat παραδοξήμασι vel παραδοξονικήμασι. W habere hoc quidem ſpeciem monet, ſed eam, quam nec ut veram probare, nec ut falſam repudiare auſit, ipſe tamen, quod reponat, probabilius non habens.

βολὰς, ἐπὶ βίας [1] ἐτράπησαν, καθάπερ οἱ Πέρσαι σαγηνεύοντες, ὡς τοῖς ἐνσχεθεῖσιν ȣ̓δεμίαν ἐκ λογισμȣ̃ καὶ σοφίας διάφευξιν ἦσαν. ἀμφιβλήστροις μὲν γὰρ καὶ ὑποχαῖς [2] κεστρεῖς καὶ ἰȣλίδες ἁλίσκονται, μόρμυροί τε καὶ σαργοὶ καὶ κωβιοὶ καὶ λάβρακες· τὰ δὲ βολιστικὰ καλȣ́μενα, τρίγλαν, χρυσωπὸν καὶ σκορπίον γρίποις τε καὶ σαγήναις σύρȣσι περιλαμβάνοντες· διὸ [3] τῶν δικτύων τὸ γένος ὀρθῶς Ὅμηρος πανάγραν [4] προσεῖπεν. ἀλλὰ καὶ πρὸς ταῦτα μηχαναὶ ταῖς γαλαῖς, ὥσπερ τῷ λάβρακι· συρομένην γὰρ αἰθανόμενος, βίᾳ διίστησι, καὶ τύπτει κοιλαίνων [5] τȣ̃δαφος· ὅταν δὲ ποιήσῃ τῆς ἐπιδρομῆς [6] τȣ̃ δικτύȣ χώραν, ἔωσεν ἑαυτὸν [7], καὶ προσέχεται, μέχρις ἂν παρέλθῃ. δελφὶς δὲ περιληφθεὶς, ὅταν συναίσθηται γεγονὼς ἐν ἀγκάλαις σαγήνης, ὑπομένει μὴ ταραττόμενος, ἀλλὰ χαίρων· εὐωχεῖται γὰρ ἄνευ πραγματείας ἀφθόνων ἰχθύων παρόντων· ὅταν δὲ πλησίον τῇ γῇ προσίῃ, φαγὼν [8] τὸ δίκτυον ἄπεισιν· εἰ δὲ μὴ φθαίη διαφυγὼν, τοπρῶτον ȣ̓δὲν ἔπαθε δεινὸν, ἀλλὰ διαῤῥάψαντες αὐτȣ̃ [9] περὶ τὸν λόφον ὁλοσχοίνȣς ἀφῆκαν· αὖθις δὲ ληφθέντα, πληγαῖς κολάζȣσι, γνωρίσαντες ἐκ τȣ̃ διαῤῥάμματος· σπανίως δὲ τȣ̃το συμβαίνει· συγγνώμης γὰρ τυγχάνοντες τοπρῶτον, εὐγνωμονȣ̃σιν [10] οἱ πλεῖστοι, καὶ φυλάττονται τολοιπὸν μὴ ἀδικεῖν. ἔτι δὲ πολλῶν τῶν πρὸς εὐλάβειαν καὶ προ-

M 5

1 R. mavult βίαν.

2 R. mavult ἐποχαῖς. Idem Salmas. conjecerat, & a W. ex Harl. notatur.

3 abest διὸ ab Ald. Bas. Petav.

4 Iliad. V, 487.

5 R. mavult καὶ τύπτων κοιλαίνει.

6 R. mavult τῇ ἐπιδρομῇ. W. susp. ποιήσῃ πρὸ τῆς ἐπιδ.

7 R. monente, subaudiendum εἰς τȣ̃δαφος vel εἰς τὸ κοίλωμα.

8 R. mavult διαφαγών.

9 R. legi vult αὐτὸν, aut potius αὐτȣ̃ τὰ περὶ τὸν λόφον.

10 Petav. ἀγνωμονȣ̃σιν.

προφυλακὴν καὶ ἀπόδρασιν ὄντων παραδειγμάτων, οὐκ ἄξιόν ἐςι τὸ τῆς σηπίας παρελθεῖν· τὴν γὰρ καλȣμένην μύτιν [1] παρὰ τὸν τράχηλον ἔχȣσα πλήρη ζοφερᾶς ὑγρότητος, ἣν θόλον καλȣ͂σιν, ὅταν καταλαμβάνηται, μεθίησιν ἔξω, τεχνωμένη τῆς θαλάττης διαθολωθείσης ποιήσασα περὶ αὐτὴν σκότος, ὑπεκδῦναι καὶ ἀποδρᾶναι τὴν τȣ͂ θηρεύοντος ὄψιν· ἀπομιμȣμένη τȣ̀ς Ὁμήρȣ θεȣ̀ς, κυανέῃ νεφέλῃ πολλάκις ȣ̔̀ς ἂν [2] σῶσαι θέλωσιν ὑφαιρȣμένȣς καὶ διακλέπτοντας. ἀλλὰ τȣ́των μὲν ἅλις.

XXVII. Τῆς δ' ἐπιχειρητικῆς καὶ θηρευτικῆς δεινότητος αὐτῶν ἐν πολλοῖς σοφίσματα κατιδεῖν ἐςιν. ὁ μὲν γὰρ ἀςὴρ, ὧν ἂν ἅψηται, πάντα διαλυόμενα καὶ διατηκόμενα γινώσκων, ἐνδίδωσι τὸ σῶμα καὶ περιορᾷ ψαυόμενος [3] ὑπὸ τῶν παριόντων ἢ προσπελαζόντων. τῆς δὲ νάρκης ἴςε δή πȣ τὴν δύναμιν, ȣ̓ μόνον τȣ̀ς θίγοντας αὐτῆς ἐκπηγνύȣσαν, ἀλλὰ καὶ διὰ τῆς σαγήνης βαρύτητα ναρκώδη ταῖς χερσὶ τῶν ἀντιλαμβανομένων ἐμποιȣ͂σαν. ἔνιοι δὲ ἱςορȣ͂σι, πεῖραν αὐτῆς ἐπιπλέον λαμβάνοντες, ἂν ἐκπέσῃ ζῶσα, κατασκεδαννύντες ὕδωρ ἄνωθεν, αἰσθάνεσθαι τȣ͂ πάθȣς ἀνατρέχοντος ἐπὶ τὴν χεῖρα, καὶ τὴν ἁφὴν ἀμβλύνοντος, ὡς ἔοικε, διὰ τȣ͂ ὕδατος τρεπομένȣ καὶ προπεπονθότος. ταύτης [4] ȣ̓͂ν ἔχȣσα σύμφυτον αἴσθησιν, μάχεται μὲν ἐξ ἐναντίας πρὸς ȣ̓δὲν, ȣ̓δὲ διακινδυνεύει· κύκλῳ δὲ περιȣ̈͂σα τὸ θηρευόμενον, ὥσπερ

1 Vulgo μύςιν; Xyl. Ms. μύςην. Inde Xyl. conjecerat κύςιν; idem R. voluit, & ex B. E. Jun. Anon. notatur. † Kaltw. μύτιν legendum cenfuit ex Ariftot. H. An. IV, 1. Indidem jam correxit A. Gronov. ad Aelian. H. A. I, 34. probante Lennepio ad Phalar. p. 58. Dedit W. ex Harl. & Mez.

2 Pro ȣ̔̀ς ἂν Petav. Ald. Baf. ὅτ' ἄν. Cf. Iliad. III, 380. XX, 321. 444.

3 Turn. V. Bong. ψαυόμενον.

4 Sic W. recepit ex Ald. Baf. Xyl. B. E. Harl. Pet. Mez. Vulgo ταύτην.

ὥσπερ βέλη διασπείρει τὰς [1] ἀποῤῥοὰς, Φαρμάττουσα τὸ ὕδωρ πρῶτον, εἶτα τὸ ζῶον διὰ τοῦ ὕδατος, μήτ' ἀμύνασθαι δυνάμενον, μήτε φυγεῖν, ἀλλ' ἐνισχόμενον ὥσπερ ὑπὸ δεσμῶν καὶ πηγνύμενον. ὁ δὲ καλούμενος ἁλιεὺς γνώριμός ἐστι πολλοῖς, καὶ διὰ τὸ ἔργον αὐτῷ γέγονε τοὔνομα· ᾧ σοφίσματι καὶ τὴν σηπίαν χρῆσθαί φησιν ὁ Ἀριστοτέλης· καθίησι γὰρ, ὥσπερ ὁρμιὰν, ἀπὸ τοῦ τραχήλου πλεκτάνην, μηκύνεσθαί τε πόῤῥω χαλώσης, καὶ πάλιν [2] συντρέχειν εἰς ἑαυτὴν ἀναλαμβανούσης, ῥᾳδίως πεφυκυῖαν· ὅταν οὖν τι τῶν μικρῶν ἰχθυδίων ἴδῃ πλησίον, ἐνδίδωσι δακεῖν, καὶ κατὰ μικρὸν ἀναμηρύεται λανθάνουσα, καὶ προσάγεται, μέχρις ἂν ἐν ἐφικτῷ τοῦ στόματος γένηται τὸ προσχόμενον [3]. τῶν δὲ πολυπόδων τῆς χρόας τὴν ἄμειψιν ὅ τε Πίνδαρος περιβόητον πεποίηκεν, εἰπών·

Ποντίου θηρὸς χρωτὶ
Μάλιστα νόον προσφέρων,
Πάσαις πολίεσσιν ὁμιλεῖ.

καὶ Θέογνις ὁμοίως·

Πουλύποδος νόον ἴσχε πολυχρόου, ὃς ποτὶ πέτρῃ
Τῇπερ ὁμιλήσῃ, τοῖος ἰδεῖν ἐφάνη [4].

μεταβάλλει γὰρ ὁ μὲν [5] χαμαιλέων οὐδέν τι μηχανώμενος, οὐδὲ κατακρύπτων ἑαυτὸν, ἀλλ' ὑπὸ δέους ἄλλως τρέπεται, φύσει ψοφοδεὴς ὢν καὶ δειλός· συνέπεται [6] δὲ καὶ πνεύματος πλῆθος, ὡς Θεόφραστος· ὀλίγου γὰρ ἀποδεῖ πᾶν τὸ σῶμα τοῦ ζώου πλῆρες εἶναι πνεύμονος [7], ᾧ τεκμαίρεται τὸ πνευματικὸν αὐτοῦ, καὶ διὰ

1 Articulum τὰς addidit W. ex Harl. Mez. Vulgo abest.

2 In Ald. & Bas. mutilata voce legebatur καὶ πᾶν. Xyl. correxit.

3 W. susp. προσισχόμενον.

4 Uterque locus supra adfuit Quaest. natur. XIX.

5 R. mavult μεταβάλλει μὲν γὰρ ὁ χ.

6 i. e. συνεργεῖ. R.

7 Turn. V. Bong. πνεύματος.

διὰ τῦτο πρὸς τὰς μεταβολὰς εὔτρεπτον. τῦ δὲ [1] πολύποδος ἔργον ἐςὶν, ὖ πάθος [2] ἡ μεταβολή· μεταβάλλει γὰρ ἐκ προνοίας, μηχανῇ χρώμενος τῦ λανθάνειν, ἃ δέδιε, καὶ λαμβάνειν, οἷς τρέφεται· παρακρυόμενος γὰρ αἱρεῖ τὰ [3] μὴ φεύγοντα, τὰ δ' ἐκφεύγει παρερχόμενα. τὸ μὲν γὰρ αὐτῦ τὰς πλεκτάνας κατεσθίειν αὐτὸν, ψεῦδός ἐςιν· τὸ δὲ μύραιναν δεδιέναι καὶ γόγγρον, ἀληθές ἐςιν· ὑπ' ἐκείνων γὰρ κακῶς πάσχει, δρᾷν μὴ δυνάμενος ἐξολισθαινόντων. ὥσπερ αὖ πάλιν ὁ κάραβος, ἐκείνων μὲν ἐν λαβαῖς γενομένων περιγίνεται ῥᾳδίως [4]. ἡ γὰρ ψιλότης ὖ βοηθεῖ πρὸς τὴν τραχύτητα· τῦ δὲ πολυποδος εἴσω τὰς πλεκτάνας διωσθέντος, ἀπόλλυται. καὶ τὸν κύκλον τῦτον καὶ τὴν περίοδον ταῖς κατ' ἀλλήλων διώξεσι καὶ φυγαῖς γύμνασμα καὶ μελέτην ἡ φύσις αὐτοῖς ἐναγώνιον πεποίηκε δεινότητος καὶ συνέσεως.

XXVIII. Ἀλλὰ μὴν ἐχίνυ γε τινὰ [5] χερσαίυ διηγήσατο πνευμάτων προαίσθησιν Ἀριςότιμος, ὃς ἐθαύμαζε καὶ γεράνων τὴν ἐν τριγώνῳ πτῆσιν. ἐγὼ δ' ἐχῖνον μὲν ὖχ ἕνα [6] Κυζικηνὸν ἢ Βυζάντιον, ἀλλὰ πάντας ὁμῦ παρέχομαι τὺς θαλαττίυς, ὅταν αἴθωνται μέλλοντα χειμῶνα καὶ σάλον, ἑρματιζομένυς λιθιδίοις, ὅπως μὴ περιτρέπωνται διὰ κυφότητα, μηδ' ἀποσύρωνται γενομένυ κλύδωνος, ἀλλ' ἐπιμένωσιν ἀραρότως ταῖς πετριδίοις. ἡ δὲ γεράνων μεταβολὴ τῆς πτήσεως πρὸς ἄνεμον, ὖχ ἑνὸς γένυς ἐςὶν, ἀλλὰ τῦτο κοινῇ πάντες ἰχθύ-

1 Sic R. legi voluit, dedique cum W. ex Turn. V. Bong. adsentientibus Harl. B. Venet. Collat. Muret. Schott. Jannot. Anon. Mez. Vulgo τῦτο δέ.

2 Sic R. legi voluit, dedique cum W. id ex Harl. & Mez. sumente pro vulg. ὖ πάθυς.

3 Ex R. mente inserui τά. Vulgo abest.

4 abest ῥᾳδίως a Petav. Ald. Bas.

5 R. mavult τινὰ τῦ χερσαίυ.

6 W. dedit ὖχ ἕνα ex B. pro vulg. ὐδένα.

ἰχθύες νοῦντες, ἀεὶ πρὸς κῦμα καὶ ῥοῦν ἀντινήχονται, καὶ παραφυλάττουσιν, ὅπως μὴ, κατ᾽ οὐρὰν προσφερομένου τοῦ πνεύματος, ἡ λεπὶς ἀναπτυσσομένη λυπῇ τὸ σῶμα γυμνούμενον καὶ διατραχυνόμενον· ὅθεν ἀεὶ συνέχουσιν ἑαυτοὺς ἀντιπρώρους· σχιζομένη γὰρ οὕτω κατὰ κορυφὴν ἡ θάλασσα τά τε βράγχια καταστέλλει, καὶ κατὰ τῆς ἐπιφανείας ῥέουσα λείως πιέζει, καὶ οὐκ ἀνίστησι τὸ φρικῶδες. τοῦτο μὲν οὖν, ὥσπερ ἔφην, κοινόν ἐστι τῶν ἰχθύων, πλὴν τοῦ ἔλλοπος· τοῦτον δέ φασι κατ᾽ ἄνεμον καὶ ῥοῦν νήχεσθαι, μὴ φοβούμενον τὴν ἀναχάραξιν τῆς λεπίδος, ἅτε δὴ μὴ πρὸς οὐρὰν τὰς ἐπιπτυχὰς ἐχούσης [1].

XXIX. Ὁ δὲ θύννος οὕτως ἰσημερίας αἰσθάνεται καὶ τροπῆς, ὥστε καὶ τὸν ἄνθρωπον διδάσκειν, μηδὲν ἀστρολογικῶν κανόνων δεόμενον· ὅπου γὰρ ἂν αὐτὸν αἱ τροπαὶ χειμῶνος καταλάβωσιν, ἀτρεμεῖ, καὶ διατρίβει περὶ τὸν αὐτὸν τόπον ἄχρι τῆς ἰσημερίας. ἀλλὰ τῆς γεράνου σοφὸν ἡ τῆς λίθου περίδραξις, ὅπως προϊεμένη πυκνὸν [2] ἐξυπνίζηται· καὶ πόσῳ σοφώτερον, ὦ φίλε, τὸ τοῦ δελφῖνος, ᾧ στῆναι μὲν οὐ θέμις, οὐδὲ παύσασθαι φορᾶς [3]· ἀεικίνητος γάρ ἐστιν ἡ φύσις αὐτοῦ, καὶ ταυτὸν ἔχουσα τοῦ ζῆν καὶ τοῦ κινεῖσθαι πέρας· ὅταν δὲ ὕπνου δέηται, μετεωρίσας ἄνω τὸ σῶμα πρὸς τὴν ἐπιφάνειαν τῆς θαλάττης, ὕπτιον ἀφῆκε διὰ βάθους, αἰώρας τινὶ σάλῳ κομιζόμενος [4], ἄχρι προσπεσεῖν καὶ ψαῦσαι τῆς γῆς· οὕτω δ᾽ ἐξυπνισθεὶς ἀναῤῥοιζεῖ, καὶ πάλιν ἄνω γενόμενος [5] ἐνδίδωσι, καὶ φέρεται κινήσει τινὰ μεμιγμένην ἀνάπαυσιν αὐτῷ μηχανώμενος. τὸ δ᾽ αὐτὸ

1 *Quum in eo pisce squamae, qua parte unae alteris regularum ad instar incumbunt, non versus caudam respiciunt.* R.

2 R. legi vult ἡ τοῦ λίθου περίδραξις, ὅπως προϊεμένη πρὸς τὸν κτύπον ἐξυπνίζηται.

3 Jambum hunc esse, nescio unde depromtum, monet R.

4 R. mavult κοιμιζόμενος.

5 Petav. θέμενος.

αὐτὸ δρᾶν καὶ θύννες ἀπὸ τῆς αὐτῆς αἰτίας λέγεσιν. ἐπεὶ δ' ἄρτι τὴν μαθηματικὴν ἔτω [1] τῆς τε ἡλίε μεταβολῆς ἐτέλεσα [2] πρόγνωσιν, ἧς μάρτυς Ἀριςοτέλης ἐςὶν, ἄκεσον ἤδη τὴν ἀριθμητικὴν ἐπιςήμην αὐτῶν· πρότερον δὲ, ναὶ μὰ Δία, τὴν ὀπτικὴν, ἣν ἔοικε μηδ' Αἰσχύλος ἀγνοῆσαι· λέγει γάρ πε·

Τὸ σκαιὸν [3] ὄμμα παραβαλὼν θύννε δίκην·

τῷ γὰρ ἑτέρῳ [4] δοκεσιν ἀμβλυώττειν· ὅθεν ἐμβάλλεσιν εἰς τὸν Πόντον ἐν δεξιᾷ, τῆς γῆς ἐχόμενοι, καὶ τἐναντίον, ὅταν ἐξίωσιν· ἐμφρόνως πάνυ καὶ νενεχῶς ἀεὶ τὴν τε σώματος φυλακὴν ἐπὶ τῷ κρείττονι ποιέμενοι τῶν ὀφθαλμῶν. ἀριθμητικῆς δὲ διὰ τὴν κοινωνικὴν, ὡς ἔοικε, καὶ φιλάλληλον ἀγάπησιν ἑαυτῶν [5] δεηθέντες, ἕτως ἐπ' ἄκρον ἥκεσι τε μαθήματος, ὥςε, ἐπεὶ πάνυ χαίρεσι τῷ συντρέφεσθαι καὶ συναγελάζεσθαι μετ' ἀλλήλων, ἀεὶ τὸ πλῆθος τῷ σχήματι κυβίζεσι, καὶ ςερεὸν ἐκ πάντων ποιεσιν, ἐξ ἴσοις ἐπιπέδοις περιεχόμενον [6]. εἶτα νήχονται τὴν τάξιν [7] ἔτω, τὸ πλαίσιον ἀμφίςομον διαφυλάττοντες. ὁ γεν θυννοσκόπος, ἂν ἀκριβῶς λάβῃ

1 R. susp. αὐτῶν. Pet. deinde, Ald. & Bas. τὴν τε ἡλίε μεταβολήν.

2 R. quaerit, num ἐπελήλυθα, an ἐγέλας — quia modo me ridebas praedicantem observatas a thynnis mutationes solis.

3 Ita R. legendum monuit, dedique cum W. adsentiente Mez. cum & alibi in veterum libris hic versus ita scribatur. Vulgo λέγει γὰρ τετο· σκαιὸν —. dicit enim alicubi: *sinistrum oculum connivens, vel claudens, ut thynnus.*

4 scil. sinistro. R.

5 Petav. Ald. Bas. αὐτῶν.

6 Ita W. dedit ex B. E. Collat. Muret. Harl. Schott. Turn. V. Bong. Vulgo περιεχόμενοι.

7 R. dandum monet κατὰ τάξιν. De seqq. W. ita judicat: „Locus vel corruptus, vel certe obscurus. Partem difficultatis sustulimus, commate post ἔτω ponendo. Restat aliud, quod non tollitur Reiskiano κατὰ τάξιν, sed in ἀμφίςομον latet, quod forte mutandum in ἀμφίςοιχον.

λάβῃ τὸν ἀριθμὸν τῆς ἐπιφανείας, εὐθὺς ἀποφαίνεται, πόσον ἐςὶ πᾶν τὸ πλῆθος· εἰδὼς, ὅτι καὶ τὸ βάθος αὐτῶν ἐν ἴσῳ τεταγμένον ςοιχείῳ πρός τε τὸ πλάτος ἐςὶ καὶ τὸ μῆκος.

XXX. Ἀμίαις δὲ καὶ τὔνομα παρέσχηκεν ὁ συναγελασμὸς, οἶμαι δὲ καὶ ταῖς πηλαμύσι. τῶν δ᾽ ἄλλων γενῶν ὅσα φαίνεται καὶ ζῇ κοινωνικῶς μετ᾽ ἀλλήλων ἀγεληδὸν, ἐκ ἄν τις εἴποι τὸν ἀριθμὸν, ἀλλὰ μᾶλλον ἐπὶ τὰς κατ᾽ ἰδίαν κοινωνίας αὐτῶν καὶ συμβιώσεις ἰτέον. ὧν ἐςι καὶ ὁ τὸ πλεῖςον ἐξαναλώσας Χρυσίππε μέλαν πινοτήρας [1], παντὶ [2] καὶ φυσικῷ βιβλίῳ καὶ ἠθικῷ προεδρίαν ἔχων· τὸν γὰρ σπογγοτήραν ἐχ ἱςόρηκεν, ἐ γὰρ ἂν παρέλιπεν· ὁ μὲν ἒν πινοτήρας ζῶόν ἐςι καρκινῶδες, ὥς φασι, καὶ τῇ πίνῃ σύνεςι, καὶ πυλωρεῖ τὴν κόγχην προκαθήμενος, ἐῶν ἀνεῳγμένην καὶ διακεχηνυῖαν, ἄχρι προσπέσῃ τι τῶν ἁλωσίμων αὐτοῖς ἰχθυδίων· τότε δὲ τὴν σάρκα τῆς πίνης δακὼν παρεισῆλθεν, ἡ δὲ συνέκλεισε τὴν κόγχην, καὶ κοινῶς τὴν ἄγραν ἐντὸς ἕρκες γενομένην κατεσθίεσι. τὸν δὲ σπόγγον ἡνιοχεῖ θηρίδιον, ἐ καρκινῶδες, ἀλλ᾽ ἀράχνῃ παραπλήσιον· ἐ γὰρ ἄψυχον, ἐδ᾽ ἀναίσθητον, ἐδ᾽ ἄναιμον ὁ σπόγγος ἐςὶν, ἀλλὰ ταῖς μὲν πέτραις, ὡς ἄλλα πολλὰ, προσπέφυκεν, ἔχει δὲ κίνησιν ἰδίαν ἐξ ἑαυτῦ καὶ εἰς ἑαυτὸν, οἷον ὑπομνήσεως καὶ παιδαγωγίας δεομένην· μανὸς γὰρ ὢν ἄλλως, καὶ τοῖς ἀραιώμασιν ἀνειμένος ὑπ᾽ ἀργίας καὶ ἀμβλύτητος, ὅταν ἐμβῇ τι τῶν ἐδωδίμων, ἐκείνε σημήναντος [3], ἔμυσε καὶ κατηνάλωσεν· ἔτι δὲ μᾶλλον ἀνθρώπε προσιόντος ἢ θίγοντος, διδασκόμενος καὶ χαρασσόμε-

1 Ita hoc loco & infra fcriptam dedit hanc vocem W. non ex libris fed ex rei veritate, & confequentia vocis σπογγοτήραν, quam diferte in B. E. Venet. fic exhibitam fimul dedit. Vulgo πινοθήρας & σπογγοθῆρα. Pet. σπογγοθῆραν, quam cafus formam R. quoque dari voluit.

2 W. fufp. ἐν παντί.

3 Turn. Bong. σημαίνοντος.

σόμενος, οἷον ἔφριξε καὶ συνέκλεισε τὸ σῶμα πήξας καὶ πυκνώσας, ὥςε μὴ ῥᾳδίαν ἀλλὰ δύσεργον εἶναι τὴν ὑποτομὴν [1] αὐτῦ τοῖς θηρεύυσιν. αἱ δὲ πορφύραι συναγελαζόμεναι, τὸ μὲν κηρίον, ὥσπερ αἱ μέλιτται, κοινῇ ποιῦσιν, ἐν ᾧ λέγονται γονεύειν· τὰ δ' ἐδώδιμα τῶν βρύων καὶ τῶν φυκίων [2] ἀναλαμβάνυσαι προϊσχόμενα [3] τοῖς ὀςράκοις, οἷον ἐν περιόδῳ κυκλυμένην ἑςίασιν ἀλλήλαις παρέχυσιν, ἑτέραν ἑτέρας ἔξωθεν ἐπινεμομένης.

XXXI. Καὶ τί ἄν τις ἐν τύτοις τὴν κοινωνίαν θαυμάσειεν, ὅπυ τὸ πάντων ἀμικτότατον καὶ τὸ θηριωδέςατον [4], ὧν τρέφυσι ποταμοὶ καὶ λίμναι καὶ θάλασσαι, ζῶον, ὁ κροκόδειλος, θαυμαςὸν ἑαυτὸν ἐπιδείκνυται πρὸς κοινωνίαν καὶ χάριν ἐν τοῖς πρὸς τὸν τροχίλον συμβολαίοις; ὁ γὰρ τροχίλος ἐςὶ μὲν ὄρνις τῶν ἑλείων καὶ παραποταμίων, φρυρεῖ δὲ τὸν κροκόδειλον, ὐκ οἰκόσιτος, ἀλλὰ τοῖς ἐκείνυ λειψάνοις παρατρεφόμενος· ὅταν γὰρ αἴσθηται τῦ κροκοδείλυ καθευδοντος, ἐπιβυλεύοντα τὸν ἰχνεύμονα πηλύμενον, καὶ ἐπ' αὐτὸν ὥσπερ ἀθλητὴν κονιόμενον, ἐπεγείρει φθεγγόμενος καὶ κολάπτων· ὁ δὲ ὕτως ἐξημερῦται πρὸς αὐτὸν, ὥςε τῦ ςόματος διαχανὼν ἐντὸς παρίησι, καὶ χαίρει τὰ λεπτὰ τῶν ἐνισχομένων τοῖς ὀδῦσι σαρκῶν ἐκλέγοντος ἀτρέμα τῷ ῥάμφει καὶ διασκαλεύοντος· ἂν δὲ μετρίως ἔχων ἤδη βύληται συναγαγεῖν τὸ ςόμα καὶ κλεῖσαι, προκλίνει [5] τὴν σιαγόνα, καὶ διασημαίνει, καὶ ὐ πρότερον καθίησιν, ἢ συναισθανόμενον ἐκπτῆναι τὸν τροχίλον. ὁ δὲ καλύμενος ἡγεμὼν μεγέθει μέν ἐςι καὶ σχήματι κωβιῶδες ἰχθύδιον, τὴν δ' ἐπιφάνειαν ὄρνιθι φρίσ-

1 Mez. ἀποτομήν.
2 Pet. φωκίων; Turn. V. φωκέων.
3 R. & W. susp. προσισχόμενα.
4 Turn. V. Bong. θηριωδέςερον.
5 R. mavult προσκλίνει.

φρίσσοντι διὰ τὴν τραχύτητα τῆς λεπίδος ἐοικέναι λέγεται, καὶ ἀεὶ σύνεςιν ἑνὶ τῶν μεγάλων κητῶν, καὶ προνήχεται τὸν δρόμον ἐπευθύνον [1], ὅπως οὐκ ἐνσχεθήσεται βράχεσιν, οὐδ' εἰς τέναγος, ἤ τινα πορθμὸν ἐμπέσῃ δυσέξοδον· ἕπεται γὰρ αὐτῷ τὸ κῆτος, ὥσπερ οἴακι ναῦς, παραγόμενον εὐπειθῶς· καὶ τῶν μὲν ἄλλων, ὅ τι ἂν παραλάβῃ τῷ χάσματι ζῶον ἢ σκάφος [2] ἢ λίθον, εὐθὺς διέφθαρται καὶ ἀπόλωλε πᾶν ἐμβεβυθισμένον· ἐκεῖνο δὲ γινῶσκον ἀναλαμβάνει τῷ ςόματι καθάπερ ἄγκυραν ἐντός· ἐγκαθεύδει γὰρ αὐτῷ, καὶ τὸ κῆτος ἕςηκεν ἀναπαυομένου καὶ ὁρμεῖ· προελθόντος δ' αὖθις ἐπακολουθεῖ, μήτε ἡμέρας μήτε νυκτὸς ἀπολειπόμενον, ἢ ῥέμβεται καὶ πλανᾶται, καὶ πολλὰ διεφθάρη, καθάπερ [3] ἀκυβέρνητα πρὸς γῆν ἐξενεχθέντα. καὶ γὰρ ἡμεῖς περὶ Ἀντίκυραν ἑωράκαμεν, οὐ πάλαι· καὶ πρότερον [4] ἱςοροῦσιν, οὐ πόῤῥω Βουνῶν [5] ἐξοκείλαντος καὶ κατασαπέντος, λοιμὸν γενέσθαι. ἆρ' οὖν ἄξιόν ἐςι ταύταις ταῖς κοινωνίαις καὶ συμπεριφοραῖς παραβάλλειν; ὁ γὰρ [6] Ἀριςοτέλης ἱςορεῖ φιλίας ἀλωπέκων καὶ ὄφεων,

1 Petav. Ald. Bas. ἐπευθύνων; Nil refert, utrum legas, R. judice, cum alterum ad ἡγεμὼν, alterum ad ἰχθύδιον referatur. Vulgata tamen videtur servanda ob sequens ἐκεῖνο.

2 R. quaerit, quomodo naves deglutiat cetus vel balaena, cui angustae sint fauces? — Xyl. nimirum vertit: *id statim demersum in ejus ventrem perit.* Kaltw. autem: *ist sogleich verloren, und in den Abgrund versenkt.*

3 R. susp. καὶ πολλάκις, vel τὰ πολλὰ, διεφθάρη, καθάπερ πλοῖα ἀκυβέρνητα.

4 Ita W. dedit ex Amiot. & Mez. Consentit ex parte R. ita legendum censens: ἑωράκαμεν οὐ πάλαι, καὶ πρότερον ἤδη τινὸς ἱςοροῦσιν. Vulgo ἑωράκαμεν, ὃ πάλαι καὶ πρ. ἱς.

5 Amiot. & Xyl. *Buni* nomen proprium urbis faciunt. Ejus autem alibi non fit mentio. Kaltw.

6 Xyl. legendum putavit παραβάλλειν, ἃς ὁ Ἀρ. ut concinna sit sententia. R. paulo ante post ἐςι inseri vult τι, & sell-

ὄφεων, διὰ τὸ κοινὸν αὐτοῖς πολέμιον εἶναι τὸν ἀετὸν, καὶ τὰς ὠτίδων πρὸς ἵππους, ὅτι χαίρουσι [1] προσπελάζουσαι καὶ διασκάλλουσαι τὸν ὄνθον. ἐγὼ μὲν γὰρ οὐδ᾽ ἐν μελίτταις ὁρῶ τοσαύτην οὐδ᾽ ἐν μύρμηξιν ἐπιμέλειαν ἀλλήλων· τὸ γὰρ κοινὸν αὔξουσι πᾶσαι καὶ πάντες ἔργον, ἑτέρῳ δὲ καθ᾽ ἕτερον ἑτέρου στοχασμὸς οὐδεὶς οὐδὲ φροντίς ἐστιν.

ἡδοναῖς τὴν φύσιν. τὰ δ' ἐν ὑμῖν ἀκόλαστα οὐδὲ τὸν νόμον ἔχουσα σύμμαχον ἡ φύσις ἐντὸς ὅρων καθείργνυσιν, ἀλλ' ὥσπερ ὑπὸ ῥεύματος ἐκφερόμενα [1] πολλαχοῦ ταῖς ἐπιθυμίαις δεινὴν ὕβριν καὶ ταραχὴν καὶ σύγχυσιν ἐν τοῖς ἀφροδισίοις ἀπεργάζεται τῆς φύσεως. καὶ γὰρ αἰγῶν ἐπειράθησαν ἄνδρες καὶ ὑῶν καὶ ἵππων μιγνύμενοι, καὶ γυναῖκες ἄῤῥεσι θηρίοις ἐπεμάνησαν· ἐκ γὰρ τῶν τοιούτων γάμων ὑμῖν Μινώταυροι καὶ Αἰγίπανες, ὡς δ' ἐγῷμαι, καὶ Σφίγγες ἀναβλαστάνουσι, καὶ Κένταυροι. καίτοι διὰ λιμόν ποτε ἀνθρώπου καὶ κύων ἔφαγεν ὑπ' ἀνάγκης, καὶ ὄρνις ἐπεγεύσατο [2]. πρὸς δὲ συνουσίαν οὐδέποτε θηρίον ἐπεχείρησεν ἀνθρώπῳ χρήσασθαι. θηρία δ' ἄνθρωποι καὶ πρὸς ταῦτα καὶ πρὸς ἄλλα πολλὰ καθ' ἡδονὰς βιάζονται καὶ παρανομοῦσιν.

VIII. Οὕτω δὲ φαῦλοι καὶ ἀκρατεῖς περὶ τὰς εἰρημένας ἐπιθυμίας ὄντες, ἔτι μᾶλλον ἐν ταῖς ἀναγκαίαις [3] ἐλέγχονται πολὺ τῷ σωφρονεῖν ἀπολειπόμενοι τῶν θηρίων. αὗται δέ εἰσιν αἱ περὶ βρῶσιν καὶ πόσιν· ὧν ἡμεῖς μὲν τὸ ἡδὺ μετὰ χρείας τινὸς ἀεὶ λαμβάνομεν· ὑμεῖς δὲ τὴν ἡδονὴν μᾶλλον ἢ τὸ κατὰ φύσιν τῆς τροφῆς διώκοντες, ὑπὸ πολλῶν καὶ μακρῶν κολάζεσθε νοσημάτων, ἅπερ ἐκ μιᾶς πηγῆς ἀπαντλούμενα [4] τῆς πλησμονῆς τοῖς σώμασι, παντοδαπῶν πνευμάτων καὶ δυσκαθάρτων ὑμᾶς ἐμπίπλησι. πρῶτον μὲν γὰρ ἑκάστου γένει ζῴου μία τροφὴ σύμφυλός [5] ἐστι, τοῖς μὲν πόα, τοῖς δὲ ῥίζα τις ἢ καρπός· ὅσα δὲ σαρκοφαγεῖ, πρὸς οὐδὲν ἄλλο τρέπεται βορᾶς εἶδος, οὐδ' ἀφαιρεῖται τῶν ἀσθενεστέρων τὴν τροφήν· ἀλλ' ἐᾷ νέμεσθαι

1 Sic R. legi voluit referendo ad τὰ ἀκόλαστα, dedique cum W. idem ex B. & Mez. sumente pro vulg. ἐκφερόμενον.

2 R. mavult ἀπεγεύσατο.

3 Pet. ἀναγκαις.

4 W. mavult ἐπαντλούμενα.

5 Ald. Bas. Pet. σύμφιλος.

μεθαι καὶ λέων ἔλαφον, καὶ λύκος πρόβατον, ᾗ πέφυκεν. ὁ δ' ἄνθρωπος ἐπὶ πάντα ταῖς ἡδοναῖς ὑπὸ λαιμαργίας ἐξαγόμενος, καὶ πειρώμενος πάντων καὶ ἀπογευόμενος, ὡς ἐδέπω τὸ πρόσφορον καὶ οἰκεῖον ἐγνωκὼς, μόνος γέγονε τῶν ὄντων πάμφαγον [1]. καὶ σαρξὶ χρῆται πρῶτον, ὑπ' ἐδεμιᾶς ἀπορίας ἐδ' ἀμηχανίας, ᾧ πάρεστιν ἀεὶ καθ' ὥραν ἄλλα ἐπ' ἄλλοις ἀπὸ φυτῶν καὶ σπερμάτων τρυγῶντι καὶ λαμβάνοντι καὶ δρεπομένῳ, μὴ κάμνειν [2] διὰ πλῆθος· ἀλλ' ὑπὸ τρυφῆς καὶ κόρε τῶν ἀναγκαίων, βρώσεις ἀνεπιτηδείες καὶ ἐ καθαρὰς σφαγαῖς ζώων μετερχόμενος, πολὺ τῶν ἀγριωτάτων θηρίων ὠμότερον [3]. αἷμα μὲν γὰρ καὶ φόνος καὶ σάρκες ἰκτίνῳ καὶ λύκῳ καὶ δράκοντι σιτίον οἰκεῖον, ἀνθρώπῳ δ' ὄψον ἐστίν. ἔπειτα παντὶ γένει χρώμενος, ἐχ, ὡς τὰ θηρία, τῶν πλείστων ἀπέχεται, ὀλίγοις δὲ πολεμεῖ, διὰ τὴν τῆς τροφῆς ἀνάγκην· ἀλλ' ἔτε τι πτηνὸν, ἔτε νηκτὸν, ὡς ἔπος εἰπεῖν, ἔτε χερσαῖον, ἐκπέφευγε τὰς ἡμέρες δὴ λεγομένας ὑμῶν καὶ φιλοξένες τραπέζας.

IX. Εἶεν. ἀλλ' ὄψοις χρῆσθε τέτοις ἐφηδύνοντες τὴν τροφήν· τί ἂν ἐπ' αὐτὰ ταῦτα φῶντας [4]; ἀλλ' ἡ τῶν

1 Vulgo παμφάγων. Hinc R. mavult παμφάγας: cum autem e Petav. notatur παμφάγον, ad hanc, si vera sit, lectionem subaudiendum monet ζῶον. W. dedit πάμφαγον ex B. E. Harl. Venet. Bas. Xyl.

2 R. susp. μονονε κάμνειν.

3 R. susp. ὠμότερος ἀναπέφανται. Idem probat W. monens, aut hoc aut simile verbum requiri, & ex Harl. ὠμότερος notans. Mox sequens μὲν abest a Pet. Ald. Bas.

4 Locum hunc mendosum esse nec paucis versibus mutilatum, jam Xyl. monuit. R. quaerit, num τροφὴν, Ἴωμεν ἐπ' ἄλλα, ταῦτα ἀφέντες? gravius tamen affectum esse locum, & multa videri deesse addens. In B. & E. desunt ταῦτα φῶντας, eorumque loco adest spatium lacunae. W. monstrum scripturae forte sic purgandum censet, ut legamus, ταῦτα φονᾶτε — *quid ergo in haec ipsa caedis cupiditate saevitis* — forte etiam post

τῶν θηρίων Φρόνησις τῶν μὲν ἀχρήσων καὶ ματαίων τεχνῶν ὀυδεμιᾷ χώραν δίδωσι· τὰς δ' ἀναγκαίας, ὀυκ ἐπεισάκτους παρ' ἑτέρων, ὀυδὲ μισθοῦ διδακτὰς, ὀυδὲ κολλῶσα μελέτῃ [1] καὶ συμπηγνύουσα γλίσχρως [2] τῶν θεωρημάτων ἕκασον πρὸς ἕκασον, ἀλλ' αὐτόθεν ἐξ αὑτῆς οἷον ἰθαγενεῖς καὶ συμφύτους ἀναδίδωσι. τοὺς μὲν γὰρ Αἰγυπτίους πάντας ἰατροὺς ἀκούομεν εἶναι· τῶν δὲ ζώων ἕκασον οὐ μόνον πρὸς ἴασιν αὐτότεχνόν ἐσιν, ἀλλὰ καὶ πρὸς διατροφὴν καὶ πρὸς ἀλκὴν, θήραν τε καὶ φυλακὴν, καὶ μουσικῆς ὅσον ἑκάσῳ προσήκει κατὰ φύσιν. παρὰ τίνος γὰρ ἡμεῖς ἐμάθομεν νοσοῦντες ἐπὶ τοὺς ποταμοὺς χάριν τῶν καρκίνων βαδίζειν; τίς δὲ τὰς χελώνας ἐδίδαξε, τῆς ἔχεως φαγούσας, τὴν ὀρίγανον ἐπεσθίειν; τίς δὲ τὰς Κρητικὰς αἶγας [3], ὅταν περιπέσωσι τοῖς τοξεύμασι, τὸ δίκταμνον διώκειν, οὗ βρωθέντος ἐκβάλλουσι τὰς ἀκίδας; ἂν γὰρ εἴπῃς, ὅπερ [4] ἀληθές ἐσι, τούτων διδάσκαλον εἶναι τὴν φύσιν, εἰς τὴν κυριωτάτην καὶ σοφωτάτην ἀρχὴν ἀναφέρεις τὴν τῶν θηρίων φρόνησιν· ἣν εἰ μὴ λόγον οἴεσθε δεῖν μηδὲ φρόνησιν καλεῖν, ὥρα σκοπεῖν ὄνομα κάλλιον αὐτῇ καὶ τιμιώτερον [5], ὥσπερ ἀμέλει καὶ δι' ἔργων ἀμείνονα καὶ θαυμασιωτέραν παρέχεται τὴν δύναμιν· οὐκ ἀμαθὴς, οὐδ' ἀπαίδευτος, αὐτομαθὴς δέ τις μᾶλλον οὖσα καὶ ἀπροσδεὴς, οὐ δι' ἀσθένειαν, ἀλλὰ ῥώμῃ καὶ τελειό-

post *φονᾶτε* excidisse suspicans, *Ἀλλὰ τέχνης τοῦτο ἔργον εἶναι φατέ.* Forma monstrosi vocabuli, & haec ipsa W. conjectura versum istum Homericum Iliad. VI. 323. mihi in memoriam revocavit: *Ἀσπίδα, καὶ θώρηκα, καὶ ἀγκύλα τόξ' ἀφόωντα.* Num illum forte citasse Gryllus putandus est, & ad dicta accommodasse?

1 Non dubitavi sic e W. mente dare pro vulg. *μελέτῃ.*

2 Ita R. legendum censuit, dedique cum W. idem ex B. & Harl. sumente pro vulg. *γλίσχρῳ.*

3 Pet. *τὰς δὲ Κρητικὰς αἶ.*

4 Sic W. ex Harl. dedit. Vulgo *ὅτι.*

5 Dedi sic e R. & Mez. mente, W. probata, pro vulg. *τιμιώτατον.*

λειότητι τῆς κατὰ φύσιν ἀρετῆς, χαίρειν ἐῶσα τὸν παρ' ἑτέρων διὰ μαθήσεως τοῦ φρονεῖν συνερανισμόν. ὅσα γοῦν ἄνθρωποι τρυφῶντες ἢ παίζοντες εἰς τὸ μανθάνειν καὶ μελετᾶν ἄγουσι, τούτων ἡ διάνοια καὶ παρὰ φύσιν τοῦ σώματος καὶ [1] περιουσίᾳ συνέσεως ἀναλαμβάνει τὰς μαθήσεις. οὐ γὰρ ἰχνεύειν σκύλακας, καὶ βαδίζειν ἐν ῥυθμῷ πώλους μελετῶντας, ἀλλὰ κόρακας διαλέγεσθαι, καὶ κύνας ἅλλεσθαι διὰ τροχῶν περιφερομένων· ἵπποι δὲ καὶ βόες ἐν θεάτροις κατακλίσεις καὶ χορείας καὶ στάσεις παραβόλους, καὶ κινήσεις οὐδ' ἀνθρώποις πάνυ ῥαδίας [2] ἀκριβοῦσιν, ἐκδιδασκόμενοι καὶ μνημονεύοντες, εὐμαθείας ἐπίδειξιν ὡς [3] ἄλλο οὐδὲν οὐδαμῶς χρήσιμον ἔχουσιν. εἰ δ' ἀπιστεῖς, ὅτι τέχνας μανθάνομεν, ἄκουσον, ὅτι καὶ διδάσκομεν. αἵ τε γὰρ πέρδικες ἐν τῷ προφεύγειν τοὺς νεοττοὺς ἐθίζουσιν ἀποκρύπτεσθαι καὶ προΐσχεσθαι βῶλον ἀνθ' ἑαυτῶν τοῖς ποσὶν ὑπτίους ἀναπεσόντας· καὶ τοῖς πελαργιδεῦσιν ὁρᾷς ἐπὶ τῶν τεγῶν ὡς οἱ τέλειοι παρόντες ἀναπειρωμένοις ὑφηγοῦνται τὴν πτῆσιν· αἱ δ' ἀηδόνες τοὺς νεοσσοὺς προδιδάσκουσιν ᾄδειν· οἱ δὲ ληφθέντες ἔτι νήπιοι καὶ τραφέντες ἐν χερσὶν ἀνθρώπων χεῖρον ᾄδουσιν, ὥσπερ πρὸ ὥρας ἀπὸ διδασκάλου γεγονότες. καταδὺς [4] δ' εἰς τουτὶ τὸ σῶμα, θαυμάζω τοὺς λόγους ἐκείνους, οἷς ἀνεπειθόμην ὑπὸ τῶν σοφιστῶν, ἄλογα καὶ ἀνόητα πάντα, πλὴν ἀνθρώπου, νομίζειν.

ΟΔ.

1 Hoc καὶ delendum censet R. suspicans simul legendum ἡ ἡμῶν vel ἡμετέρα διάνοια.

2 Ald. Bas. ῥαδίως; Turn. V. Bong. ῥαδίαν.

3 Licet ὡς idem saepe valeat, quod πρὸς, mavult tamen R. hic loci aut πρὸς aut εἰς legi. W. legendum censet εἰς ἄλλο — ἔχουσαν.

4 Inter γεγονότες & καταδὺς quaedam excidisse putat W. cum Mez.

ΟΔ. Νῦν μὲν ἒν, Γρύλλε, μεταβέβλησαι σὺ, καὶ τὸ πρόβατον λογικὸν ἀποφαίνεις καὶ τὸν ὄνον;

ΓΡ. Αὐτοῖς μὲν ἒν τέτοις, ὦ βέλτιςε Ὀδυσσεῦ, μάλιςα δεῖ τεκμαίρεσθαι τὴν τῶν θηρίων φύσιν, ὡς λόγε καὶ συνέσεως ἐκ ἔςιν ἄμοιρος. ὥσπερ [1] ἐκ ἔςι δένδρον ἕτερον ἑτέρε μᾶλλον ἐδὲ ἧττον ἄψυχον, ἀλλ' ὁμοίως ἔχει πάντα πρὸς ἀναισθησίαν· ἐδενὶ γὰρ αὐτῶν ψυχῆς μέτεςιν· ἕτως ἐκ ἂν ἐδόκει ζῶον ἕτερον ἑτέρε τῷ [2] φρονεῖν ἀργότερον εἶναι καὶ δυσμαθέςερον, εἰ μὴ πάντα λόγε καὶ συνέσεως, ἄλλα δὲ μᾶλλον καὶ ἧττον ἄλλων πως μετεῖχεν. ἐννόησον δὲ, ὅτι τὰς ἐνίων ἀβελτηρίας καὶ βλακείας ἐλέγχεσιν ἑτέρων πανεργίαι καὶ δριμύτητες, ὅταν ἀλώπεκι καὶ λύκῳ καὶ μελίττῃ [3] παραβάλῃς ὄνον καὶ πρόβατον· ὥσπερ εἰ σαυτῷ τὸν Πολύφημον, ἢ τῷ πάππῳ σε, τῷ Αὐτολύκῳ, τὸν Κορίνθιον ἐκεῖνον Ὅμηρον [4]. ἐ γὰρ οἶμαι, θηρίε πρὸς θηρίον ἀπόςασιν εἶναι τοσαύτην, ὅσον ἄνθρωπος ἀνθρώπε τῷ φρονεῖν καὶ λογίζεσθαι καὶ μνημονεύειν ἀφέςηκεν.

ΟΔ. Ἀλλ' ὅρα, Γρύλλε, μὴ δεινὸν ᾖ καὶ βίαιον, ἀπολιπεῖν λόγον, οἷς ἐκ ἐγγίνεται θεῦ νόησις.

ΓΡ.

1 W. susp. ὡς γάρ.

2 Petav. τὸ.

3 Cum caetera duo animalia, vulpes & lupus, habeant animal, cum quo comparantur, excidisse deinde putat R. καὶ σφῆκα, ut sit, cum quo apis comparetur.

4 De hac lectione Xyl. dubitat, & legi mavult Ὁμήρε aut Ὁμηρικὸν, ut accipiatur de Glauco ex Iliad. VI, 152. R. tuetur vulgatam, ut τὸν Κορίνθιον additum videatur ad distinguendum hunc Homerum, hominem, Autolyco, Ulyssis avo, forte aequalem, & a stupiditate nobilitatum, ab Homero poëta. Mez. delet Ὅμηρον, & Κορίνθιον de Glauco accipit. Rationes has, ut in loco valde dubio, non omnino repudiandas censet W.

ΓΡ. Εἶτά σε μὴ φῶμεν, ὦ Ὀδυσσεῦ, σοφὸν ὄντως ὄντα καὶ περιττὸν, ἐκ τοῦ Σισύφου [1] γεγονέναι;

1 Xyl. notat, a Ms. abesse ἐκ. Monet porro, librum fine, atque etiam majore sui parte, curtatum esse. Consentiunt in hoc Mez & W. At R. apta & hamata videtur esse clausula, qua ni poterat convenientius excogitari. Sic enim vult Gryllum ratiocinari: Si ex eo, quod aliquis deum non agnoscit, neque reveretur, sequitur, eum ratione carere, necesse est, te, virum tam sapientem & acutum, e Sisypho non potuisse nasci, quem constat Deorum fuisse contemtorem, cujus impietatis poenas apud inferos saxo perpetuo volvendo dat. Tanta contumelia confusum & dicterio tam acerbo ictum abrupisse suspicatur Ulyssem colloquium. Accedit ad hanc sententiam Kaltw.

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΠΕΡΙ ΣΑΡΚΟΦΑΓΙΑΣ

## ΛΟΓΟΣ Α. [1]

Ἀλλὰ σὺ μὲν ἐρωτᾷς, τίνι λόγῳ Πυθαγόρας ἀπείχετο σαρκοφαγίας· ἐγὼ δὲ θαυμάζω, καὶ τίνι πάθει καὶ ποίᾳ ψυχῇ ἢ λόγῳ ὁ πρῶτος ἄνθρωπος ἥψατο φόνου σώματι, καὶ τεθνηκότος ζώου χείλεσι προσήψατο [2] σαρκός· καὶ νεκρῶν σωμάτων καὶ εἰδώλων προθέμενος [3] τραπέζας, ὄψα καὶ τροφὴν καὶ προσέτι εἰπεῖν τὰ μικρὸν ἔμπροσθεν βρυχόμενα μέρη καὶ φθεγγόμενα καὶ κινούμενα καὶ βλέποντα· πῶς ἡ ὄψις ὑπέμεινε τὸν φόνον σφαζομένων, δερομένων, διαμελιζομένων· πῶς ἡ ὄσφρησις ἤνεγκε τὴν ἀποφοράν· πῶς τὴν γεῦσιν οὐκ ἀπέστρεψεν [4] ὁ μολυσμὸς ἑλκῶν ψαύουσαν ἀλλοτρίων, καὶ τραυμάτων θανασίμων χυμοὺς καὶ ἰχῶρας ἀπολαμβάνουσαν [5].

Εἰρ-

1 W. judice, germani quidem ſunt hi libelli, nec tamen integri, ſed ex integris excerpti, iidemque male habiti a librariis.

2 W. ſuſp. προσέψαυσε.

3 H. Steph. ſcribendum cenſuit πρὔθετο, ſeu προὔθετο, cum participium orationem ſuſpenſam relinquat. Idem τραπέζας mutari vult in τραπέζαις, & poſt τροφὴν poni articulum τὰ, ut ſic legatur: καὶ νεκρῶν σωμάτων καὶ εἰδώλων προὔθετο τραπέζαις ὄψα καὶ τροφὴν, τὰ προσέτι εἰπεῖν μικρὸν ἔμπροσθεν —. Notat ſimul, pro τροφὴν inveniri τρυφήν. Ita dat Turn. τρυφὰς Petav. Conjectura R. haec eſt: ὄψα καὶ τρυφὴν ἐποιεῖτο, καὶ ἐτόλμα δειπνεῖν τὰ μικρὸν ἐμπ.]βρυχώμενα —. W. pro καὶ προσέτι εἰπεῖν ſuſp. προήχθη ποιεῖν.

4 Codex quidam innominatus ἀπέτρεψεν.

5 W. ſuſp. ἀναλαμβάνουσαν.

Εἷρπον μὲν ῥινοὶ, κρέα δ' ἀμΦ' ὀβελοῖσ' ἐμεμύκει
Ὀπταλέα τε καὶ ὠμὰ, βοῶν δ' ὡς γίνετο Φωνή [1].

τῦτο [2] πλάσμα καὶ μῦθός ἐςι, τὸ δέ γε δεῖπνον ἀληθῶς τερατῶδες, πεινᾷν τινα τῶν μυκωμένων ἔτι, καὶ [3] διδάσκοντα ἀΦ' ὧν δεῖ τρέΦεσθαι ζώντων ἔτι καὶ λαλέντων, διαταττόμενον ἀρτύσεις τινὰς καὶ ὀπτήσεις καὶ παραθέσεις· τῦτον [4] ἔδει ζητεῖν τὸν πρῶτον ἀρξάμενον, ἐ τὸν ὀψὲ παυσάμενον.

II. Ἦ τοῖς μὲν πρώτοις ἐκείνοις ἐπιχειρήσασι σαρκοΦαγεῖν τὴν αἰτίαν ἂν εἴποι τις πᾶσαν τὴν ἀπορίαν [5]. ἐ γὰρ ἐπιθυμίαις ἀνόμοις συνδιάγοντες, ἐδ' ἐν περιεσίᾳ τινὶ ἀναγκαίων ὑβρίσαντες εἰς ἡδονὰς παρὰ Φύσιν ἀσυμΦύλες ἐπὶ ταῦτ' ἦλθον· ἀλλ' εἴποιεν ἂν, αἴσθησιν ἐν τῷ παρόντι καὶ Φωνὴν λαβόντες· Ὦ μακάριοι καὶ θεοΦιλεῖς οἱ νῦν ὄντες ὑμεῖς, οἷον βίε λαχόντες αἰῶνα καρπῦσθε καὶ νέμεσθε κλῆρον ἀγαθῶν ἄΦθονον, ὅσα Φύεται ὑμῖν; ὅσα τρυγᾶται; ὅσον πλῦτον ἐκ πεδίων [6], ὅσας ἀπὸ Φυτῶν ἡδονὰς δρέπεσθαι [7] πάρεσιν; ἔξεστιν ὑμῖν καὶ τρυΦᾷν μὴ μιαινομέναις. ἡμᾶς δὲ σκυθρωπότατον καὶ

 Φοβε-

1 Odyſs. XII, 395 ſq. H. Steph. mavult ὀβελοῖς absque apoſtropho.

2 R. legi vult τῦτο μὲν πλάσμα.

3 H. Steph. monente, hoc καὶ aptius collocaretur ante διαταττόμενον. W. conſentit. R. mavult καὶ τὸν διδάσκοντα, ἀΦ' ὧν ἐ δεῖ, vel ἐκ ἔδει, τρέΦεσθαι.

4 Turn. V. τέτων.

5 Vulgo τὴν αἰτίαν ἂν εἴποι πᾶσαν καὶ τὴν ἀπορίαν. Neceſſe duxi, aliquid, quod melius cohaereat, exhibere, & dedi Turn. & V. lectionem. H. Steph. pro καὶ legendum cenſuit εἶναι, & pro εἴποι maluit εἴποις vel ἄν τις εἴποι. R. ſuſp. εἴποι τις τὴν πᾶσαν ἀνάγκην, vel ἔνδειαν, καὶ τὴν ἀπορίαν. W. legendum conjicit: ἂν ἔχοι ἡ ἀνάγκη τῆς ἀπορίας.

6 abſunt a Petav. ὅσα Φύεται — ἐκ πεδίων.

7 Vulgo ἡδονὰς, ἃς δρ. Pronomen ἃς, quod ex repetitione ſyllabae finalis vocabuli antecedentis ortum videtur, ex Steph. R. & W. conſenſu delevi. Interrogationum ſigna ſimul addidi, W. ſecutus. Pro δρέπεσθαι Turn. & V. δρέψασθαι.

φοβερώτατον ἐδέξατο βίȣ καὶ χρόνȣ μέρος, εἰς πολλὴν καὶ ἀμήχανον ἐκπεσόντας ὑπὸ τῆς πρώτης γενέσεως ἀπορίαν· ἔτι μὲν ȣρανὸν ἔκρυπτεν ἀὴρ, καὶ ἄςρα θολερῷ καὶ δυσδιαςατȣ̃ντι [1] πεφυρμένα ὑγρῷ καὶ πυρὶ, καὶ ζάλαις ἀνέμων· ȣ̓δέπω δὲ ὁ ἥλιος ἵδρυτο ἀπλανῆ καὶ βέβαιον ἔχων δρόμον, ἠῶ καὶ δύσιν ἔκρινε περί σέ [2] ἤγαγεν αὖθις ὀπίσω καρποφόροισιν ἐπιςεψας [3] κάλυκος ςεφάνοισιν ὥραις· γῆ δὲ ὕβριςο ποταμῶν ἐκβολαῖς ἀτάκτων, καὶ πολλὰ λίμναισιν ἄμορφα, καὶ πηλοῖς βαθέσι καὶ λόχμαις ἀφόροις καὶ ὕλαις ἐξηγρίωτο· φορὰ δὲ ἡμέρων καρπῶν, καὶ τέχνης ὄργανον ȣ̓δὲν, ȣ̓δὲ μηχανὴ σοφίας· ὁ δὲ λιμὸς ȣ̓κ ἐδίδȣ χρόνον, ȣ̓δὲ ὥρας ἐτησίȣς σπό-

1 Hanc lectionem Xyl. e Ms. praetulit, ut significetur, quod non facile discedat a se aut divellatur, non facile intercapedinem admittat, ideoque visu haud facile penetretur. Eum secutus sum. Vulgo δυςατȣ̃ντι.

2 Alludi ad alicujus poëtae versus, Xyl. notat, nec non H. Steph. Uterque dubius est, quid pro corrupta lectione reponendum. Petav. dat περὶ δὲ. R. susp. ἔκρινε. περί τε ἤγαγεν, i. e. καὶ περιήγαγεν.

3 Vulgo ἐπιςρέψας. H. Steph. in quibusdam codd. legi ἐπιςέψας notat, & simul dativos ὥραις καρποφόροισιν in accusat. ὥρας καρποφόρȣς mutandos esse suspicatur. R. mavult ἐπιςέψας, & sic dedit W. ex Petav. & Anon. prope accedentibus E. Turn. V. unde idem notat ἐπιςέψαι (alii autem e Turn. & V. notant ἐπιςέψαι) Addit W. apparere disjecti poëtae, forte Empedoclis, membra, ex ipsius conjectura ad hujusmodi fere rationem restituenda: βέβαιον ἔχων δρόμον, ἠῶ Δύσιν τ᾽ ἔκριν᾽. ȣ̓ περιήγαγεν αὖθις ὀπίσσω Καρποφόροισιν ἐπιςέψας καλύκων ςεφάνοισιν Ὥρας· γῆ δ᾽ ὕβριςο —. R. legi voluit deinde ὥρας, *nondum sol auroram & vesperam discernebat, neque reducebat revolutas anni tempestates a sua velut manu coronatas frugiferis spicarum coronis*: ut κάλυκος accipiatur de spicis, seu de folle granorum & baccarum omnium. Consentire addit Pet. codicem (e quo ἐπιςέψας κάλυκοι ςεφάνοισι notatur) Turn. autem & V. habere ἐπιςέψαι καλλιςεφάνοισιν ὥραις, quod probet Valckenar. ad Eurip. Phoenifs. p. 295.

σπόρος ἂν [1] τότε ἀνέμενε. τί θαυμαστὸν, εἰ ζώων ἐχρησάμεθα σαρξὶ παρὰ φύσιν, ὅτ' ἰλὺς ἠσθίετο καὶ φλοιὸς ἐβρώθη ξύλου, καὶ ἄγρωστιν εὑρεῖν βλαστάνουσαν, ἢ φλοιοῦ [2] τινὰ ῥίζαν, εὐτυχὲς ἦν· βαλάνου δὲ γευσάμενοι καὶ φαγόντες, ἐχόρευσαν ὑφ' ἡδονῆς περὶ δρῦν τινα καὶ φηγὸν, ζείδωρον [3] δὲ καὶ μητέρα καὶ τροφὸν ἀποκαλοῦντες ἐκείνην, ἣν [4] ὁ τότε βίος ἑορτὴν ἔγνω, τὰ δ' ἄλλα φλεγμονῆς ἦν ἅπαντα μεστὰ καὶ συγνότητος. ὑμᾶς δὲ πῶς νῦν [5] τίς λύσσα καὶ τίς οἶστρος ἄγει πρὸς μιαιφονίαν, οἷς τοσαῦτα περίεστι τῶν ἀναγκαίων; τί καταψεύδεσθε τῆς γῆς ὡς τρέφειν μὴ δυναμένης; τί τὴν θεσμοφόρον ἀσεβεῖτε Δήμητραν [6], καὶ τὸν ἡμερίδην καὶ μειλίχιον αἰσχύνετε Διόνυσον, ὡς οὐχ ἱκανὰ παρὰ [7] τούτων λαμβάνοντες; οὐκ αἰδεῖσθε τοὺς ἡμέρους καρποὺς αἵματι καὶ φόνῳ μιγνύοντες; ἀλλὰ δράκοντας ἀγρίους καλεῖτε καὶ παρδάλεις καὶ λέοντας, αὐτοὶ δὲ μιαιφονεῖτε εἰς ὠμότητα καταλιπόντες ἐκείνοις οὐδέν· ἐκείνοις μὲν γὰρ ὁ φόνος τροφὴ, ὑμῖν δ' ὄψον ἐστίν.

III. Οὐ γὰρ δὴ λέοντάς γ' ἀμυνόμενοι καὶ λύκους ἐσθίομεν, ἀλλὰ ταῦτα μὲν ἐῶμεν· τὰ δ' ἀβλαβῆ, καὶ χειροήθη, καὶ ἄκεντρα, καὶ νωδὰ πρὸς τὸ δάκνειν, συλλαμβάνοντες, ἀποκτιννύομεν· ἃ νὴ Δία καὶ κάλλους ἕνε-



1 R. ſuſp. σπόρος καὶ ὢν — *ſatio vel ſementis, etiamſi tum jam adfuiſſet, ut non adfuit, tamen non exſpectaſſet tempeſtates matureſcendi idoneas vertente anno redeuntes.*

2 Xyl. monente, eſt quidem φλοιὸς *cortex*, ſed herbam etiam ac ſtirpem hac voce ſignificari, licet ſuſpicari ex Sympoſ. V, 8. (Vol. XI. p. 232.) H. Steph. φλοιοῦ perperam hic eſſe ſcriptum repetendo ex proxime praecedentibus pro φλεὼ cenſet. Turn. dat φλοῦ. W. legi vult φυτοῦ cum Mez.

3 R. cum H. Steph. mavult ζείδωρόν τε.

4 W. mavult ἀνακαλοῦντες· ἐκείνην ὁ τότε β. ἑ. ἔ. —.

5 Pro πῶς νῦν Steph. legendum cenſet τοὺς νῦν, quod W. probat. Mez. delet πῶς.

6 Salmas corrigit Δήμητρα, quod W. probat.

7 Petav. πρός.

ἕνεκα καὶ χάριτος ἡ Φύσις ἔοικεν ἐξενεγκεῖν. ὅμοιον ὡς εἴ τις [1] τὸν Νεῖλον ὁρῶν πλημμυρȣ̃ντα, καὶ τὴν χώραν ἐμπιπλῶντα γονίμȣ καὶ καρποφόρȣ ῥεύματος, μὴ τȣ̃το θαυμάζοι τȣ̃ φερομένȣ τὸ φυτάλμιον, καὶ εὔκαρπον τῶν ἡμερωτάτων καὶ βιωφελεστάτων καρπῶν, ἀλλ' ἰδών πȣ καὶ κροκόδειλον ἐννηχόμενον, καὶ ἀσπίδα κατασυρομένην, καὶ μυίας [2] ἄγρια ζῶα καὶ μιαρὰ, ταύτας λέγοι τὰς αἰτίας τῆς μέμψεως καὶ τῆς τȣ̃ πράγματος ἀνάγκης [3]. ἢ νὴ Δία τὴν γῆν ταύτην καὶ τὴν ἄρȣραν ἀποβλέψας ἐμπεπλησμένην ἡμέρων καρπῶν καὶ βρίθȣσαν ἀσαχύων, ἔπειτα ὑποβλέψας πȣ τοῖς λῃΐοις τȣ́τοις, καί πȣ τινὸς αἴρας [4] στάχυν ἰδὼν καὶ ὀριβάτην, εἶτ' ἀφεὶς ἐκεῖνα καρπȣ̃σθαι καὶ λῃΐζεσθαι, μέμ-

1 H. Steph. suspicatur, interjectas has comparationes librarii culpa aliunde huc migrasse, cum nexus neque cum antecedentibus neque cum proximis Ἀλλ' ȣ̓δὲν ἡμᾶς — pateat. R judi e, paulo abditior & obscurior est comparationis ratio, quae haec videtur esse: Nos occidentes animalia & comedentes plurima innoxia, venusta atque gratiosa, ob pauca quaedam noxia, fera & adspectu tetra, idem patimur, atque qui Nilum reprehenderet ob crocodilos, aut gravem & incitatam orationem ob voculas quasdam, quae dicenti exciderint, non lectissimas. W. monente, novum est ejusdem libri excerptum.

2 R. susp. μυία, καὶ ἄγρια — ☉ algam & (in solo continente) *feras bestias*. Turn. V. Bong. μυαίας. W. ex E. & G. notat μύας, *mures*, & praefert.

3 R. susp. καὶ ταύτην τȣ̃ πράγματος ἀνάγκην.

4 Volgo ὥρας. Pro hac voce ex Ms. edidit Xyl. αἴρας. Probat id H. Steph. & e Turn. & V. notatur. Idem dedi cum W. consentientibus G. Mez. Anon. Pro ὀριβάτην Xyl. ὀροβάγχην legit, praeeunte codice Ms. e quo ὀριβάχην notat. Idem H. Steph. probat, praeferendo tamen genitivum ὀροβάγχης. Anon. Mez. accedunt. E. ὀριβάκιν; G. ὀριβάκην. R. susp. in ὑποβλέψας latere ὑποβλαστάνȣσαν, in καί πȣ autem nomen herbae aut vilis & inutilis, aut venenatae, quales sunt e. c. aconitum, hyoscyamus & denique in τινὸς latere τινὰ, καὶ —. W. prius πȣ in πως mutandum censet, nil aliud requirens.

μέμψοιτο περὶ τέτων. τοιῦτόν τι [1], καὶ λόγον ῥήτορος ὁρῶν ἐν δίκῃ τινὶ καὶ συνηγορίᾳ πληθύοντα καὶ Φερόμενον ἐπὶ βοήθειαν [2] κινδύνων, ἢ νὴ Δία ἐλέγχῳ καὶ κατηγορίᾳ τολμημάτων καὶ ἀποδείξεων [3], ῥέοντα δὲ καὶ Φερόμενον ἐχ ἁπλῶς, ἐδὲ λιτῶς, ἀλλ' ὁμῦ πάθεσι πολλοῖς, μᾶλλον δὲ παντοδαποῖς, εἰς ψυχὰς ὁμοίως πολλὰς καὶ ποικίλας καὶ διαΦόρες τῶν ἀκροωμένων ἢ τῶν δικαζόντων, ἃς δεῖ τρέψαι καὶ μεταβαλεῖν, ἢ νὴ Δία [4] πραῦναι καὶ ἡμερῶσαι καὶ καταστῆσαι· εἶτα παρεὶς τἕτο τἕ πράγματος, ὁρᾷν καὶ μετρεῖν τὸ Φύλαιον [5] καὶ ἀγώνισμα, παραῤῥήσεις ἐκλέγων [6], ἃς κατιὼν ὁ λόγος συγκατήνεγκε τῇ ῥύμῃ τῆς

 Φορᾶς,

1 Xyl. e Ms. notat *τί ἐν εἴ τοιῦτον*, nondum tamen omnia recte habere monens. R. fufp. *τοιῦτός τις καὶ ὁ λόγον ῥήτορος* —.

2 Mez. & R. malunt *βοηθείᾳ*.

3 H. Steph. alium potius genitivum quam hunc *ἀποδείξεων* cum *τολμημάτων* Plutarchum copulaffe arbitratur. R. monente, ante *ἀποδείξεων* deeft *μεστὸν* vel *γέμοντα* vel *εὐποροῦντα*, *copiofam argumentis evincentibus orationem.*

4 a Petav. abfunt *νὴ Δία*.

5 Xyl. fufp. *τὸ ἔλαιον*, oleo pro opera infumta pofito, cum ad lucernam fcripta effet oratio. H. Steph. aut legendum cenfuit *παρεὶς τὸ τῦ πράγματος ὁ. κ. μ. κεφάλαιον*, aut *παρεὶς τῦ πράγματος ὁ. κ. μ. τὸ κεφάλαιον.* E Turn. & V. notatur *τὸ κεφάλαιον*, & *τὸ βίαιον.* R. judice, fi *τὸ κεφάλαιον* probetur, oportet deinceps legi *καὶ αὐτὸ τὸ ἀγώνισμα*, vel *καὶ τῦ ἀγωνίσματος.* W. qui *τὸ κεφάλαιον* ex conjectura effe monet, alia conjectura nectendum effe prioribus, fi probandum videatur, & forte legendum cenfet, — *τῦ πράγματος τὸ κεφάλαιον καὶ ἀγώνισμα, ὁρᾷν καὶ μετρεῖν τὰς ῥήσεις, παραῤῥήσεις ἐκλέγων.* Ipfe quidem conjicit: *ὁρᾷν καὶ μετρεῖν εἴ τι φαῦλον ἔχει τὸ ἀγώνισμα* —.

6 H. Steph. maluit *ἐκλέγοι*.

φορᾶς, συνεμπεσέσας [1] καὶ παρολισθέσας τῷ λοιπῷ τῦ λόγυ καὶ δημηγόρυ τινὸς ὁρῶν [2].

IV. Ἀλλ' ὐδὲν ἡμᾶς δυσωπεῖ, ὐ χρόας ἀνθηρὸν εἶδος, ὐ φωνῆς ἐμμελῦς πιθανότης, ὐ πανυργία ψυχῆς, ὐ τὸ καθάριον [3] ἐν διαίτῃ καὶ περιττὸν ἐν συνέσει τῶν ἀθλίων, ἀλλὰ σαρκιδίυ μικρῦ χάριν, ἀφαιρύμεθα ψυχῆς [4] ἥλιον, φῶς, τὸν τῦ βίυ χρόνον, ἐφ' ᾧ [5] γέγονε καὶ πέφυκεν. εἶτα ἃς φθέγγεται καὶ διέτρεσε [6] φωνὰς ἀνάρθρυς εἶναι δοκῦμεν, ὐ παραιτήσεις καὶ δεήσεις καὶ δικαιολογίας ἑκάσυ, λέγοντος· Οὐ παραιτῦμαί σε τὴν ἀνάγκην, ἀλλὰ τὴν ὕβριν· ἵνα φάγῃς, ἀπόκτεινον· ἵνα δὲ ἥδιον [7] φάγῃς, μή με ἀναίρει. ὦ τῆς ὠμότητος· δεινὸν μέν ἐστι καὶ τιθεμένην ἰδεῖν τράπεζαν ἀνθρώπων πλυσίων νεκροκόσμοις χρωμένων μαγείροις καὶ ὀψο-

1 R. susp. τῇ ῥύμῃ, καὶ συνεκπεσῦσας, ut deleantur vocabula τῆς φορᾶς, scholium voc. ῥύμῃ censenda. Petav. συμπεσῦσαν καὶ παρολισθῦσαν.

2 His verbis errorem subesse, H. Steph. monet. Ex Anon. Turn. & V. affertur ὁρμῇ vel ὁρώνς pro ὁρῶν. R. susp. τῷ λοιπῷ τῦ λόγυ θηρῶν, caeteris deletis, ut scholio, aut variante lectione. Xyl. asteriscum, lacunae indicem, Latinis apposuit. W. notat, si sana haec sint, non dubitandum esse, quin sint novi initium Excerpti inchoati simul ac depositi a librario; si corrupta sint, forte ita esse corrigenda καὶ τῇ τῦ δημηγορικῦ γένυς ὁρμῇ.

3 Ita Steph. legi voluit, deditque W. ex Venet. Vulgo καθαρὸν.

4 Turn. Bong. ψυχήν.

5 R. mavult ἐφ' ἃ, *quorum causa.*

6 H. Steph. judice aptius foret διέτρισε, si ejusdem cum φθέγγεται temporis esset. Idem R. probat — *cum stridore emisit*, notans, φθέγγεσθαι esse bestiarum majorum, τρίζειν volatilium praesertim: posse quoque legi καὶ νὴ Δί', ἔτρισε. Mavult quoque W. διέτρισε.

7 Petav. ἴδιον. Pro seq. ἀναίρει W. judice requiritur τιμώρει vel αἴκιζε, vel simile.

ὀψοποιοῖς· δεινότερον δ' ἀποκομιζομένην [1]. πλείονα γὰρ τὰ λειπόμενα τῶν βεβρωμένων ἐςίν· ἐκεῖν ταῦτα μάτην ἀπέθανεν· ἕτεροι δὲ φειδόμενοι τῶν παρατεθέντων, ἐκ ἐῶσι τέμνειν, ἐδὲ κατακόπτειν παραιτέμενα [2] κρέα, ζώντων δ' ἐκ ἐφείσαντο.

V. Ἀλλ' ἄγε [3], παρειλήφαμεν ἐκείνες λέγειν τὲς ἄνδρας, ἀρχὴν [4] ἔχειν τὴν φύσιν. ὅτι γὰρ ἐκ ἔςιν ἀνθρώπῳ κατὰ φύσιν τὸ σαρκοφαγεῖν, πρῶτον μὲν ἀπο τῶν σωμάτων δηλἔται τῆς κατασκευῆς. ἐδενὶ γὰρ ἔοικε τὸ ἀνθρώπε σῶμα τῶν ἐπὶ σαρκοφαγίᾳ γεγονότων, ἐ γρυπότης χείλες, ἐκ ὀξύτης ὄνυχος, ἐ τραχύτης ὀδόντων πρόσεςιν, ἐ κοιλίας εὐτονία καὶ πνευματος θερμότης, τρέψαι καὶ κατεργάσαθαι δυνατὴ τὸ βαρὺ καὶ κρεῶδες [5]. ἀλλ' αὐτόθεν ἡ φύσις τῇ λειότητι [6] τῶν ὀδόντων, καὶ τῇ σμικρότητι τῦ ςόματος, καὶ τῇ μαλακότητι τῆς γλώσσης, καὶ τῇ πρὸς πέψιν ἀμβλύτητι τῦ πνεύματος, ἐξόμνυται τὴν σαρκοφαγίαν. εἰ δὲ λέγεις, πεφυκέναι σεαυτὸν ἐπὶ τοιαύτην ἐδωδὴν, ὃ βέλει φαγεῖν, πρῶτον αὐτὸς ἀπόκτεινον· ἀλλ' αὐτὸς διὰ σεαυτῦ,

1 Petav. Ald. Baſ. ἀποκομιζομένοις. Xyl. e Ms. correxit. Turn. Bong. ἀποκομιζομένης.

2 Turn. V. Bong. παρατιθέμενα. H. Steph. ſuſp. νεκρῶν παραιτέμενοι κρέα, vel τεθνηκότων; W. autem παραιτέμενοι νεκρα —.

3 H. Steph. ſuſp. ἀλλά γε. Ita e Turn. & V. notatur. R. mavult ἀλλ' ἄγε σκοπῶμεν, ἅ γε παρειλήφαμεν. Probat id W.

4 H Steph monente poſt ἀρχὴν aut excidit genitivus σαρκοφαγίας, aliusve ei ſimilis, aut eſt ſubaudiendus; deſunt quoque aliqua inter τὴν φύσιν, & ὅτι γάρ; aut pro ὅτι alia particula eſt reponenda. R. ſuſp. ἀρχηγὸν ἔχειν τῆς σαρκοφαγίας τὴν φύσιν.

5 Petav. κρυώδες.

6 Vocabula αὐτόθεν τῇ λειότητι τ. ὀ. idem valere cenſet, quod ἤδη καὶ ἐξ αὐτῆς τῆς λειότητος, eo ipſo, quod laeves dentes praebet.

αυτῦ, μὴ χρησάμενος κοπίδι, μηδὲ τυμπάνῳ [1] τινὶ, μηδὲ πελέκει· ἀλλὰ, ὡς λύκοι καὶ ἄρκτοι καὶ λέοντες αὐτοὶ ὅσα [2] ἐσθίϛσι Φονεύϛσιν, ἄνελε δήγματι βϛν, ἢ σόματι σῦν, ἢ ἄρνα ἢ λαγωὸν διάῤῥηξον, καὶ Φάγε προσπεσὼν ἔτι ζῶντος, ὡς ἐκεῖνα. εἰ δ' ἀναμένεις νεκρὸν γενέσθαι τὸ αἰθόμενον [3], καὶ δυσωπεῖ σε παρϛσαν ψυχὴν ἀπελαύνειν τῆς σαρκὸς, τί παρὰ Φύσιν ἐσθίεις το ἔμψυχον [4]; ἀλλ' ἐδ' ἄψυχον ἄν τις Φάγοι καὶ νεκρὸν, οἷον ἐσιν, ἀλλὰ ἕψϛσιν, ὀπτῶσι, μεταβάλλϛσι διὰ πυρὸς καὶ Φαρμάκων, ἀλλοιϛντες καὶ τρέποντες καὶ σβεννύοντες ἡδύσμασι μυρίοις τὸν Φόνον, ἵνα ἡ γεῦσις ἐξαπατηθεῖσα προσδέξηται τὸ ἀλλότριον. καίτοι χάριέν γε τὸ τϛ Λάκωνος, ὃς ἰχθύδιον ἐν πανδοκείῳ πριάμενος, τῷ πανδοκεῖ σκευάσαι παρέδωκεν· αἰτϛντος δ' ἐκείνϛ τυρὸν, καὶ ὄξος, καὶ ἔλαιον· Ἀλλ' εἰ ταῦτ' εἶχον, εἶπεν, ὀκ ἂν ἰχθὺν ἐπριάμην. ἡμεῖς δὲ ὕτως ἐν τῷ μιαιΦόνῳ τρυΦῶμεν, ὥς' ὄψον τὸ κρέας προσαγορεύομεν, εἶτ' ὄψων πρὸς αὐτὸ τὸ κρέας δεόμεθα, ἀναμιγνύντες ἔλαιον, οἶνον, μέλι, γάρον, ὄξος, ἡδύσμασι Συριακοῖς, Ἀῤῥαβικοῖς [5], ὥσπερ ὄντως νεκρὸν

1 Vulgo τυσάνῳ. Hinc Xyl. τυμπάνῳ legendum conjecit. H. Steph. id se in vetusto codice reperisse testatur. Salm. adscripsit τυπάνῳ, ἢ κυπάνῳ; Mez. correxit τυκάνῃ. R. mavult τυπάνῳ aut τυμπάνῳ, i. e. ξύλῳ, βακτηρίᾳ, ῥόπτρῳ. Est in Petav. τυμπάνῳ; Consentiunt E. G. Venet. Jun. Dedi cum W.

2 Vulgo ὡς ἐσθ. Dedi ὅσα e R. mente, W. probata. Editio Graeco-Lat. postrema ἃ; Turn. Anon. Mez. ὧν.

3 Hoc ut verum recepit W. a var. lect. E. & Petav. hinc depravata fluxit vetus lectio Ald. Bas. Xyl. E. G. Venet. ἐσθόμενον, quam Steph. mutavit in ἐσθιόμενον.

4 W. ad hanc vocem adnotat, R. conjecisse ἄψυχον, hoc autem non sufficere ad constituendam sententiae rationem, quae hic requiratur, nec ipsum videre probabilem correctionem. At quantum e nota edit. Lips. colligere licet, R. hoc ἔμψυχον noluit mutari, sed sequenti ἄψυχον praeponi articulum τό.

5 Pet. Ἀραβικοῖς.

κρὸν ἐνταφιάζοντες. καὶ γὰρ ὅτως αὐτῶν διαλυθέντων καὶ μαλαχθέντων καὶ τρόπον τινὰ κρεοσαπέντων [1] ἔργον ἐςὶ τὴν πέψιν κρατῆσαι· καὶ διακρατηθείσης [2] δὲ δεινὰς βαρύτητας ἐμποιεῖ καὶ νοσώδεις ἀπεψίας.

VI. Διογένης δ' ὠμὸν φαγεῖν πολύπϐν ἐτόλμησεν, ἵνα τὴν διὰ τῶ πυρὸς ἐκβάλῃ κατεργασίαν· τῶν δ' ἱερέων καὶ πολλῶν [3] περιεςώτων αὐτὸν ἀνθρώπων, ἐγκαλυψάμενος τῷ τρίβωνι καὶ τῷ ςόματι προσφέρων τὸ κρέας. Ὑπὲρ ὑμῶν, φησὶν, ἐγὼ παραβάλλομαι καὶ προκινδυνεύω. καλὸν, ὦ Ζεῦ, κίνδυνον [4]. ὁ γὰρ, ὡς Πελοπίδας ὑπὲρ τῆς Θηβῶν ἐλευθερίας, ἢ [5] ὡς Ἁρμόδιος καὶ Ἀριςογείτων ὑπὲρ Ἀθηναίων, προεκινδύνευσεν [6] ὁ φιλόσοφος ὠμῷ πολύποδι διαμαχόμενος, ἵνα [7] τὸν βίον ἀποθηριώσῃ. ὁ τοίνυν μόνον αἱ κρεωφαγίαι τοῖς σώμασι γίνονται παρὰ φύσιν, ἀλλὰ καὶ τὰς ψυχὰς ὑπὸ πλησμονῆς καὶ κόρϐ παχύνϐσιν· οἶνος γὰρ καὶ σαρκῶν ἐμφο-

1 H. Steph. suspectum habet hoc participium. R. mavult κατασαπέντων.

2 H. Steph. susp. διακρατησάσης, ut sit sensus: *difficile est, concoctionem illas carnes superare; quodsi etiam superaverit, tamen gravitates & morbosas cruditates inducunt* — vel potius legendum censet κρατησάσης, ob antecedens simplex κρατῆσαι W. cum Mez. probat διακρατησάσης.

3 W. susp. & vertendo exprimit ἑταίρων καὶ ἄλλων — *familiaribus multisque aliis circumstantibus* — pro ἱερέων καὶ πολλῶν.

4 Vulgo vocabula καλὸν, ὦ Ζεῦ, κίνδυνον, juncta leguntur cum antecedentibus. Ea sejungenda censuerunt Steph. & R. ut inde incipiat judicium auctoris de illo Diogenis facto. Ad eandem jam sententiam interpunxit Xyl. in versione. Idem cum W. observavi. Alia est verborum collocatio in E. Venet. Petav. προκινδυνεύω καλὸν, ὁ γὰρ ὦ Ζεῦ, κίνδυνον, ὡς Πελοπίδας.

5 abest ἢ a Petav.

6 Vulgo post hoc vocabulum datur comma. Steph. rectius interpungi monuit post προεκινδύνευσεν, ut jungatur hoc verbum cum sequentibus. Petav. προεκινδύνευεν.

7 R. maluit ἀλλ' ἵνα.

ἐμφορήσιες [1] σῶμα μὲν ἰχυρὸν ποιεῦσι καὶ ῥωμαλέον, ψυχὴν δὲ ἀθενέα. καὶ ἵνα μὴ τοῖς ἀθληταῖς ἀπεχθάνωμαι, συγγενέσι χρᾶμαι [2] παραδείγμασι. τὰς γὰρ Βοιωτὰς ἡμᾶς οἱ Ἀττικοὶ καὶ παχεῖς καὶ ἀναιθήτας καὶ ἠλιθίας, μάλιστα διὰ τὰς ἀδηφαγίας προσηγόρευον. ἦτοι δὲ αὖ σῦς [3]. καὶ ὁ Μένανδρος· οἳ γνάθας ἔχασι. καὶ ὁ Πίνδαρος, Γνῶναί τ' ἔπειτα [4]. αὐγὴ ξηρὴ ψυχὴ σοφωτάτη, κατὰ τὸν Ἡράκλειτον, ἔοικεν. οἱ πίθοι [5] κρεσθέντες ἠχᾶσι, γενόμενοι δὲ πλήρεις, ἐχ ὑπακάεσι ταῖς πληγαῖς· τῶν χαλκωμάτων τὰ λεπτὰ τὰς ψόφας ἐν κύκλῳ διαδίδωσιν, ἄχρις ἂ ἐμφράξῃ [6] καὶ τυφλάσῃ τῇ

1 Secutus sum W. hoc ex E. recipientem ut Jonicum in Hippocratis dicto, eodem tendentibus Venet & Petav ἐμφορήσιες. Vulgo ἐμφορήσεις. H Steph. quoque notavit, desumta haec esse e scriptore quopiam Jonica dialecto utente.

2 Codex innominatus χρώμενος.

3 Mendo haec non carere, & aliunde petita esse, H. Steph. notat. R. susp. προσαγορεύεσιν. ἄλλοι δὲ καὶ σῦς. W. cum Mez. ἦτοι δὲ αὖ σῦς mutandum censet in Βοιωτία σῦς.

4 Manca haec esse, & e Pindar. Olymp. VI, 151 sqq. illustranda, H. Steph notavit. Hinc quoque W locum sic forte refingendum censet: Καὶ Πίνδαρος, Γνῶναί τ' ἔπειτ' ἀρχαῖον ὄνειδος ἀλα — θέσι λόγοις εἰ φεύγομεν Βοιωτίαν Ὗν. Καὶ ὁ Μένανδρος, Οἳ γνάθας ἔχασι Καὶ γὰρ, Αὐγὴ (vel αὔτη) ξηρὴ ψυχὴ σοφωτάτη, κατὰ τὸν Ἡράκλειτον, ἔοικεν. Simul cum G. & Venet. delevit, quae inter haec & Οἱ πίθοι interjecta leguntur γνῶναί τ' ἔπειτα. Ejusdem dedi distinctiones. R censuit post Πίνδαρος deesse Pindari de stupiditate Boeotorum testimonium, tum legendum: γνῶναί τε τὰ ἔπειτα, αὔη ψυχὴ σοφωτάτη κατὰ τὸν Ἡράκλειτον. οἱ κενοὶ πίθοι κρ. — caeteris ut scholiis, partim ut aberrationibus librariorum, amputatis — [illegible] αὔη, hoc est ξηρὰ, sicca, est subtilissima ad cognoscenda futura. H. Steph. denique notat, se Heracliti dictum alicubi legisse ita scriptum: ἔνθα γῆ ξηρὴ, ψυχὴ σοφωτάτη. Cf. de eo Vol. I. p. 82. not. 4.

5 W. judice, addendum κενοὶ, ut Xyl vertit, & Mez. monuit Idem R. voluit V. not praeced.

6 Deesse τις, aut legendum ἐμφράξῃς καὶ τυφλώσῃς, Steph. monuit.

τῇ χειρίτῃς πληγῆς περιφερομένης· ἐπιλαμβανόμενος [1]. ὀφθαλμὸς ὑγρῦ πλεονάσαντος ἀναπλησθεὶς, μαραυγεῖ καὶ ἀτονεῖ πρὸς τὸ οἰκεῖον ἔργον· τὸν ἥλιον δι' ἀέρος ὑγρῦ καὶ πλήθυς [2] ἀναθυμιάσεων ἀπέπτων ἀθρήσαντες [3], ὐ καθαρὸν, ὐδὲ λαμπρὸν, ἀλλὰ βύθιον καὶ ἀχλυώδη καὶ ὀλισθαίνοντα ταῖς αὐγαῖς ὁρῶμεν. ὕτω δὴ καὶ διὰ σώματος θολερῦ καὶ διακόρυ, καὶ βαρυνομένυ τροφαῖς ἀσυμφύλοις, πᾶσα ἀνάγκη τὸ γάνωμα τῆς ψυχῆς καὶ τὸ φέγγος ἀμβλύτητα καὶ σύγχυσιν ἔχειν, καὶ πλανᾶσθαι καὶ φέρεσθαι [4], πρὸς τὰ λεπτὰ καὶ δυσθεώρητα τέλη τῶν πραγμάτων αὐγὴν καὶ τόνον ὐκ ἐχύσης.

VII. Χωρὶς δὲ τύτων ὁ πρὸς φιλανθρωπίαν ἐθισμὸς ὐ δοκεῖ θαυμαςὸν εἶναι; τίς γὰρ ἂν [5] ἀδικήσειεν ἄνθρωπον, ὕτω πρὸς ἀλλότρια [6] καὶ ἀσύμφυλα διακείμενος [7] καὶ πράως καὶ φιλανθρώπως; ἐμνήσθην δὲ τρίτην ἡμέραν διαλεγόμενος [8], τὸ τῦ Ξενοκράτυς, καὶ ὅτι Ἀθηναῖοι τῷ ζῶντα τὸν κριὸν ἐκδείραντι δίκην ἐπέθηκαν. ὐκ ἔςι δὲ (οἶμαι) χείρων [9] ὁ ζῶντα βασανί-

σανί-

monuit. R. τις subaudiri jussit, W. id addi, cum ob similitudinem voculae τῆς omissum fuisse videatur a librariis.

1 Vulgo hoc participium sequentibus junctum legitur: W. cum E & Xyl. ad antecedentia retulit. R. voluit χειρὶ τὸν ἦχον, τῆς πληγῆς περιφερομένης ἐπιλαμβανόμενος.

2 Mez. πλήρυς. R maluit πλῆθος & deinde ἀθροίσαντος.

3 Sic H. Steph dari voluit, denique cum W. ex Petav. adsentientibus Xyl. & E. Vulgo ἀθροίσαντες.

4 R. mavult φύρεσθαι.

5 abest ἂν a Petav.

6 Vulgo ἀλλότρια κακὰ κ. ἀ. R. κακὰ delendum monuit, & delevit W. cum G. & Venet.

7 Ita scriptum se invenisse, testatur H. Steph. dedique cum W. ut necessarium ad sententiam pro valg. διακείμενον. Sequens καὶ R. & W. delendum censent.

8 Steph. legit vertitque αναλεγόμενος, ea, quae infra sequuntur καὶ ταῦτα μὲν ἐκεῖ κοινότερον ἔλεγον, suspecta habens.

9 R. monente, sententia flagitat κρείττων; aut servato χείρων delendum ὐκ.

σαιζαν τῦ παραιρεμένε τὸ ζῆν καὶ Φονεύοντος. ἀλλὰ μᾶλλον (ὡς ἔοικε) τῶν παρὰ συνήθειαν ἢ τῶν παρὰ Φύσιν αἰθανόμεθα. καὶ ταῦτα μὲν ἐκεῖ κοινότερον ἔλεγον· τὴν δὲ μεγάλην καὶ μυςηριώδη καὶ ἄπιςον ἀνδράσι δειλοῖς, ἦ Φησὶν ὁ Πλάτων, καὶ θνητὰ Φρονῦσιν, ἀρχὴν τῦ δόγματος, ὀκνῶ μὲν ἐπὶ [1] τῷ λόγῳ κινεῖν, ὥσπερ ναῦν ἐν χειμῶνι ναύκληρος, ἢ μηχανὴν αἴρει [2] ποιητικὸς ἀνὴρ ἐν θεάτρῳ σκηνῆς περιΦερομένης. ὐ χεῖρον δ' ἴσως καὶ [3] προανακρέσαθαι καὶ προαναΦωνῆσαι τὰ τῦ Ἐμπεδοκλέυς· ἀλληγορεῖ γὰρ ἐνταῦθα τὰς ψυχὰς, ὅτι Φόνων καὶ βρώσεως σαρκῶν καὶ ἀλληλοΦαγίας δίκην τίνυσαι σώμασι θνητοῖς ἐνδέδενται. καίτοι δοκεῖ παλαιότερος ὗτος ὁ λόγος εἶναι. τὰ γὰρ δὴ περὶ τὸν Διόνυσον μεμυθευμένα πάθη τῦ διαμελισμῦ, καὶ τα Τιτάνων ἐπ' αὐτὸν τολμήματα, γευσαμένων τῦ Φόνυ [4], κολάσεις τε τύτων καὶ κεραυνώσεις [5], ἀνηγμένος ἐςὶ μῦθος εἰς τὴν παλιγγενεσίαν· τὸ γὰρ ἐν ἡμῖν ἄλογον καὶ ἄτακτον καὶ βίαι-

1 R. susp. ἔτι, nisi ἐπὶ τῷ λόγῳ accipias pro ἐπὶ (i. e. ἐν) τύτῳ τῷ λόγῳ, in praesentia, ἐπὶ τῷ παρόντι λόγῳ: vel ὤκνυν ἐκεῖ τῷ λόγῳ. Steph. quoque verbis ἐπὶ τῷ λόγῳ κινεῖν mendum aliquod subesse videri notavit.

2 Sic jam Xyl. recepit, & Steph. corrigendum monuit, dedique cum W. ex Turn. V. Bong. accedentibus Schott. & Anon. pro vulg. ἐρεῖ.

3 R. susp. ἴσως καὶ νῦν πρ. Ald. Bas. προσανακρέσαθαι; Turn. προσαναΦωνῆσαι. H. Steph. notante, desiderantur post genitivum Ἐμπεδοκλέυς Empedoclis versus, in quibus dicit ἀλληγορεῖν τὰς ψυχάς. Etiam W. suspicatur, locum Empedoclis a Plutarcho allatum, ab Excerptore omissum fuisse.

4 Vulgo γευσαμένων τε τῦ Φόνυ. Secutus sum W. delentem τε cum G.

5 R. mavult κολάσεις καὶ κεραυνώσεις caeteris deletis. Pro seq. ἀνηγμένος R. legi voluit ᾐνιγμένος, *obscure & per aenigmata adumbratus*. Notatur idem e Turn. & consentit Mez. Praeferendum quidem censuit W. neque tamen recepit. V. ἐπηγμένος.

βίαιον, ὐ θεῖον ἀλλὰ δαιμονικὸν [1], οἱ παλαιοὶ Τιτᾶνας ὠνόμασαν, καὶ τῦτό ἐςι κολαζομένυ καὶ δίκην διδοντος [2].

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΠΕΡΙ ΣΑΡΚΟΦΑΓΙΑΣ

## ΛΟΓΟΣ Β.

Ἐπὶ τὰ ἕωλα τῆς σαρκοφαγίας προσφάτυς [3] ἡμᾶς ὁ λογος παρακαλεῖ ταῖς τε διανοίαις καὶ προθυμίαις γενέσθαι. χαλεπὸν μὲν γὰρ, ὥσπερ Κάτων ἔφησε, λέγειν πρὸς γαςέρας ὦτα μὴ ἐχύσας· καὶ πέποται ὁ τῆς συνηθείας κυκεὼν, ὥσπερ ὁ τῆς Κίρκης ὠδίας [4] ὀδύνας κυκεὼν ἀπάτας τε γόυς τε· καὶ τὸ ἄγκιςρον ἐκβάλλειν τῆς σαρκοφαγίας ὡς ἐμπεπλησμένων [5] τῇ φιληδονίᾳ καὶ δια-

1 R. mavult δαιμονικὸν ὄν, οἱ π.

2 R. fufp. καὶ τῦτό ἐςι τὸ κολαζόμενον καὶ δίκην διδὸν; W. autem, τῦτό ἐςι, κολαζομένυς καὶ δίκην τίνοντας, cum Τιτᾶνας dici velit a τίνειν.

3 E Ms. notat Xyl. προσφάτως, praefert tamen alterum.

4 Xyl. e Ms. notat ὠδίνας, quod ei rectius videtur, cum fit verfus hexameter. Mavult deinde κυκῶν vel κυκέων, mifcens, cum Ms. habeat κυκεῶν, nifi ὠδίνας participium fit verbi ὠδίνω, parturio. Ad eandem fententiam H. Steph. legi voluit ὠδίνων ὀδύνας κυκεὼν, ἀπάτας τε γόυς τε. R. fufp. ὦ δεινᾶς ὀδύνας κυκεὼν, ἀπάτας τε, γόυ τε, ut fint genitivi, aut ὠδίνων, gignens dolores. W. notat, in E. omiffa effe ὁ τῆς Κίρκης ὠδ. ὀδ. κυκεὼν, & delenda cenfet, ut interpretamentum, idque male habitum, e margine in orationem invectum, ut locus ita refingatur — συνηθείας κυκεὼν, ὥσπερ ἀπάτης καὶ γοητείας· καὶ τὸ ἄγκ.

5 H. Steph. reponendum cenfuit ἐμπεπλεγμένον, hancque caftiga-

διαπεπαρμένων, ὐ ῥᾴδιόν ἐστιν. ἐπεὶ καλῶς εἶχεν, ὥσπερ Αἰγύπτιοι τῶν νεκρῶν τὴν κοιλίαν ἐξελόντες, καὶ πρὸς τὸν ἥλιον ἀνασχίζοντες ἐκβάλλουσιν [1], ὡς αἰτίαν ἁπάντων, ὧν ὁ ἄνθρωπος ἥμαρτεν, οὕτως ἡμᾶς ἑαυτῶν [2] τὴν γαστριμαργίαν καὶ μιαιφονίαν ἐκτέμνοντας, ἁγνεῦσαι τὸν λοιπὸν [3] βίον. ἐπεὶ ἥ γε [4] γαστὴρ ὐ μιαιφόνον ἐστὶν, ἀλλὰ μιαινόμενον ἀπὸ τῆς ἀκρασίας. ὐ μὴν ἀλλ' εἰ καὶ ἀδύνατον ἢ διὰ τὴν συνήθειαν τὸ ἀναμάρτητον, αἰσχυνόμενοι [5], τῷ ἁμαρτάνοντι χρησώμεθα [6] διὰ τὸν λόγον, ἐδώμεθα σάρκας, ἀλλὰ πεινῶντες, ὐ τρυφῶντες· ἀναιρήσωμεν [7] ζῶον, ἀλλ' οἰκτείροντες καὶ ἀλγῶντες, ὐχ ὑβρίζοντες ὐδὲ βασανίζοντες· οἷα νῦν πολλὰ δρῶσιν, οἱ μὲν εἰς σφαγὴν ὑῶν ὠθῦντες ὀβελὺς διαπύρυς, ἵνα τῇ βαφῇ τῦ σιδήρυ περισβεννύμενον τὸ αἷμα καὶ διαχεόμενον, τὴν σάρκα θρύψῃ καὶ μαλάξῃ· οἱ δ' ὔθασι συῶν ἐπιτόκων ἐναλλόμενοι καὶ λακτίζοντες [8], ἵνα

stigationem in sua interpretatione secutus est. Turn. ἐκπεπληγμένον; V. ἐπεπλημένον; Petav. ἐμπεπλημένον. Etiam W. mavult ἐμπεπλεγμένον. Equidem deinde dedi eundem participii casum διαπεπαρμένων pro vulg διαπεπαρμένον, aucto itate Bas. & jubente R subaudiendo αὐτῇ ἡμῶν Haud dubie diversitas casuum occasionem conjecturarum & castigationum praebuit.

1 Ald. Petav. ἐμβάλλυσιν. Verba πρὸς τὸν ἥλιον suspecta habet Kaltw.

2 Sic H. Steph. scribendum monuit. Aut idem voluit R. aut ἐν ἑαυτοῖς. Dedi ἑαυτῶν e Turn. & V. Vulgo ἑαυτὺς.

3 Pro λοιπὸν Petav λογικόν.

4 Ald Bas. Pet. ἥ τε.

5 Vulgo ἀδύνατον, ἢ διὰ τ. σ. τὸ ἀναμάρτητον αἰσχυνόμενοι. Amplexendam censui Xyl. emendationem dando ᾖ pro ἤ. & distinguendo post ἀναμάρτητον Posterius quoque observavit H. Steph omissa simul particula ἢ in interpretatione, ut sententiam loci perturbante. W. susp. αἰσχυνώμεθα.

6 Sic e mente Steph. & W. dedi pro vulg. χρησόμεθα. Petav. deinde ἐδόμεθα.

7 Ita exhibet H. Steph & W. & idem dandum censui pro ἀναιρήσομεν, quod est in rell.

8 Ald. Pet. γαλακτίζοντες.

ἵνα αἷμα καὶ γάλα καὶ λύθρον ἐμβρύων ὁμοῦ συμφθαρέντων ἐν ὠδῖσιν ἀναδεύσαντες, ὦ Ζεῦ καθάρσιε, φάγωσι τοῦ ζώου τὸ μάλιστα φλεγμαῖνον· ἄλλοι γεράνων ὄμματα καὶ κύκνων [1] ἀποῤῥάψαντες καὶ ἀποκλείσαντες ἐν σκότει πιαίνουσιν, ἀλλοκότοις μίγμασι καὶ καρυκείαις τισὶν αὐτῶν τὴν σάρκα ὀψοποιοῦντες·

II. Ἐξ ὧν καὶ μάλιστα δῆλόν ἐστιν, ὡς οὐ διὰ τροφὴν οὐδὲ χρείαν, οὐδ' ἀναγκαίως, ἀλλ' ὑπὸ κόρου καὶ ὕβρεως καὶ πολυτελείας, ἡδονὴν πεποίηνται τὴν ἀνομίαν· εἶτα ὥσπερ ἐν γυναιξὶν ἡδονῆς κόρον οὐκ ἐχούσης, ἀπεπειρώμενος πάντα καὶ πλανώμενος ἀκολασταίνων ἐξέπεσεν [2] εἰς τὰ ἄῤῥητα· οὕτως αἱ περὶ τὴν ἐδωδὴν ἀκρασίαι τὸ φυσικὸν παρελθοῦσαι [3] καὶ ἀναγκαῖον τέλος, ἐν ὠμότητι καὶ παρανομίᾳ ποικίλλουσι τὴν ὄρεξιν. συννοσεῖ γὰρ ἀλλήλοις τὰ αἰσθητήρια καὶ συναναπείθεται καὶ συνακολασταίνει μὴ κρατοῦντα τῶν φυσικῶν μέτρων. οὕτως ἀκοὴ νοσήσασα μουσικὴν διέφθειρεν, ἀφ' ἧς [4] τὸ θρυπτόμενον καὶ θηλυνόμενον αἰσχρὰς τιθεῖ [5] ψηλαφήσεις καὶ γυναικώδεις γαργαλισμούς. ταῦτα τὴν ὄψιν ἐδίδαξε μὴ πυῤῥίχαις χαίρειν, μηδὲ χειρονομίαις, μηδ' ὀρχήμασι γλαφυροῖς, μήδ' ἀγάλμασι καὶ γραφαῖς, ἀλλὰ φόνον [6] καὶ θάνατον ἀνθρώπων, καὶ τραύματα καὶ μάχας, θέα-



1 W. quaerit, an χηνῶν? Cf. autem, Kaltw. monente, Athenae. IX, p. 393. Adde porro ad haec Plin. H. N. L. X, §. 30 XI. §. 84.

2 Supplendum ὁ ἔρως, vel simile, R. & W. monentibus.

3 Cod. innominatus προσελθοῦσαι.

4 H. Steph. pro ἀφ' ἧς maluit ἀφῆς; Ita e Turn. & V. notatur. E. Anon ἀφῆς. Neutrum, W. judice, meliorem reddit sententiam. Susp hic ἀφ' οὗ αὐτῆς —.

5 H. Steph. mavult φιλεῖ; Turn. & V. ποθεῖ & αἰτεῖ; R. susp. ἐπινοεῖ; W. ποθεῖ.

6 Ita jam in R. correctum extat, quod in Steph. & Frst. vitiose legitur φθόνον. Idem reposuit W. ex Ald. Bas. Xyl. E. G. Venet.

μα ποιεῖσθαι πολυτελέςατον. ἔτως ἕπονται [1] παρανόμοις τραπέζαις συνεσίαι ἀκρατεῖς, ἀφροδισίοις αἰσχροῖς ἀκροάσεις ἄμεσοι, μέλεσι καὶ ἀκέσμασιν ἀναισχύντοις θέατρα ἔκφυλα, θεάμασιν ἀνημέροις ἀπάθεια πρὸς ἀνθρώπες καὶ ὠμότης. διὰ τἕτο [2] ὁ θεῖος Λυκἕργος ἐν ταῖς τρισὶ ῥήτραις, τὸ ἀπὸ πρίονος καὶ πελέκεως γίνεσθαι τὰ θυρώματα τῶν οἰκιῶν καὶ τὰς ἐρέψεις [3], ἄλλο δ' ὄργανον μηδὲν [4] προσφέρεσθαι. ἐ πολεμῶν δή πε τερέτροις καὶ σκεπάρνοις, καὶ ὅσα λεπτεργεῖν πέφυκεν, ἀλλ' εἰδὼς, ὅτι διὰ τοιέτων ἔργων [5] ἐκ εἰσοίσεις κλινίδιον ἐπίχρυσον, ἐδὲ τολμήσεις εἰς οἰκίαν λιτὴν ἀργυρᾶς εἰσενεγκεῖν τραπέζας, καὶ τάπιδας ἁλεργὲς, καὶ λίθες πολυτελεῖς· ἀλλ' ἕπεται οἰκίᾳ καὶ κλίνῃ καὶ τραπέζῃ καὶ κύλικι τοιαύτῃ δεῖπνον ἀφελὲς, καὶ ἄριςον δημοτικόν· ἀρχῇ [6] δὲ μοχθηρᾶς διαίτης,

Ἄθηλος ἵππῳ πῶλος ὡς ἅμα τρέχει,

πᾶσα τρυφὴ καὶ πολυτέλεια.

II. Ποῖον ἔν ἐ [7] πολυτελὲς δεῖπνον; εἰς ὃ ἐ θανατἕται

1 Petav. ἔσονται.

2 Ob hujus similitudinem proximum διέταττε excidisse W. suspicatur. H. Steph. cum infin. γίνεσθαι deesse monuit ἐκέλευσε vel ἐνομοθέτησε; Xyl. προσέταξε; R. desideravit ἐκέλευσε.

3 Ita Xyl. & Steph. vere correxerunt: omnes alii corrupte τέρψεις. Cf. Vit. Lyc. Vol. I. p. 113.

4 Ita R. legi voluit, & e Jun. notatur pro vulg. μηδὲ: forte rectius, W. judice.

5 H. Steph. monente vel pro ἔργων scribendum est οἴκων, vel τοιέτ. ἔργ. exponendum οἴκων ἔτως εἰργασμένων.

6 Ita Xyl. & R. scribendum monuerunt, & idem W. suspicatur, dedique pro vulg. ἀρχὴ ex sententia.

7 Hoc ἐ abest a Petav. & abesse voluit R. ut sit sensus: *quae enim sumtuosa est coena, ad quam non mactetur aliquod animal.* Alterum ἐ ante θανατἕται, Xyl. judice, ipsa tollit loci sententia. Utrumque tuetur W. ita vertendo: *Quae igitur non est sumtuosa coena? Illa ad quam nullum necatur animal.* Quidam, H. Steph. notante, non ponunt interrogationis notam post δεῖπνον, sed post ἔμψυχον.

τῦταί τι ἔμψυχον. μικρὸν κύκλωμα ἡγέμεθα ψυχήν; ὅπω λέγω, τάχα μητρὸς, ἢ πατρὸς, ἢ φίλυ τινὸς, ἢ παιδὸς [1], ὡς ἔλεγεν Ἐμπεδοκλῆς· ἀλλ' αἰσθήσεώς γε [2] μετέχυσαν, ὄψεως, ἀκοῆς, φαντασίας, συνέσεως, ἣν ἐπὶ κτήσει τῦ οἰκείυ καὶ φυγῇ τῦ ἀλλοτρίυ παρὰ τῆς φύσεως [3] ἕκασον εἴληχε. σκόπει δὲ, ἡμᾶς πότερον βέλτιον ἐξημερῦσι τῶν φιλοσόφων οἱ καὶ τέκνα καὶ φίλυς καὶ πατέρας [4] καὶ γυναῖκας ἐσθίειν κελεύοντες, ὡς [5] ἀποθανόντας, ἢ Πυθαγόρας καὶ Ἐμπεδοκλῆς, ἐθίζοντες εἶναι καὶ πρὸς τὰ ἄλλα γένη [6] δικαίυς. σὺ μὲν καταγελᾷς τῦ τὸ πρόβατον μὴ ἐσθίοντος· ἀλλ' ἡμεῖς γε [7], φήσυσι, θεασάμενοι τῦ πατρὸς τεθνηκότος ἢ τῆς μητρὸς ἀποτεμόντα μερίδας, καὶ τῶν φίλων ἀποπεμπόμενον τοῖς μὴ παρῦσι, τὰς δὲ παρόντας καλῦντα, καὶ παρατιθέντα τῶν σαρκῶν ἀφειδῶς, μή τι γελάσαιμεν [8]; ἀλλὰ καὶ νῦν ἴσως ἁμαρτάνομεν, ὅτε αψώμεθα τῶν βιβλίων τύτων, μὴ καθαιρόμενοι χεῖρας καὶ ὄψεις καὶ πόδας [9] καὶ ἀκοὰς, εἰ μὴ νὴ Δία ἐκείνων καθαρμός ἐςι, τὸ περὶ τύτων διαλέγεσθαι, ποτίμῳ λόγῳ, ὥς φησι Πλάτων, ἀλμυρὰν ἀκοὴν ἀποκλυζομένυς. εἰ δὲ θείη τις τὰ βιβλία

 παρ-

1 absunt a Petav. ἢ παιδὸς.

2 Dedi γε pro vulg. τε. Xyl. Steph. R. W. uno ore monentibus.

3 Pro παρὰ Ald. & Bas. περὶ. Xyl. corrigendum monuit. A Petav. absunt παρὰ τῆς φύσεως.

4 Petav μητέρας pro πατέρας. In suppl. var. lect. Frft. haec conjectura subjungitur Plutarchum forte scripsisse καὶ πατέρας καὶ μητέρας. Utrumque certe deinceps jungitur.

5 W. delendum censet ὡς.

6 Ita dedi pro vulg. μέρη, Xyl. Steph. Mez. R. W. ita dandum censentibus.

7 W. susp. ἀλλ' ἡμεῖς σε —.

8 H. Steph. sublata interrogandi nota, accipi haec vult pro *haudquaquam rideamus*, vel *absit, ut rideamus*, cum res sit, quae commiserationem potius, quam risum movere debeat.

9 absunt a Pet. καὶ πόδας.

παράλληλα καὶ τὰς λόγους, ἐκεῖνα μὲν Σκύθαις φιλοσοφεῖσθαι [1] καὶ Σογδιανοῖς καὶ Μελαγχλαίνοις, περὶ ὧν Ἡρόδοτος ἱςορῶν ἀπιςεῖται· τὰ δὲ Πυθαγόρου καὶ Ἐμπεδοκλέους δόγματα, νόμοι τῶν παλαιῶν ἦσαν Ἑλλήνων καὶ πυρίαι [2] καὶ δίαιται, ὅτι πρὸς τὰ ἄλογα ζῶα δίκαιον ἡμῖν οὐδέν ἐςι.

IV. Τίνες οὖν ὕςερον τοῦτο ἔγνωσαν;

Οἱ πρῶτοι κακοεργὸν ἐχαλκεύσαντο μάχαιραν
Εἰνοδίην, πρῶτοι δὲ βοῶν ἐπάσαντ᾽ ἀροτήρων.

οὕτω τοι καὶ οἱ τυραννοῦντες ἄρχουσι μιαιφονίας. ὥσπερ τὸν πρῶτον [3] ἀπέκτειναν Ἀθήνησι τὸν κάκιςον τῶν συκοφαντῶν, ὃς ἐπιτήδειος προσηγορεύθη [4], καὶ δεύτερον ὁμοίως καὶ τρίτον· εἶτ᾽ ἐκ τούτου συνήθεις γενόμενοι, Νικήρατον ἑώρων [5] ἀπολλύμενον τὸν Νικίου, καὶ Θηραμένη τὸν ςρατηγὸν, καὶ Πολέμαρχον [6] τὸν φιλόσοφον. οὕτω τὸ πρῶτον ἀγριόν τι ζῶον ἐβρώθη καὶ κακοῦργον, εἶτ᾽ ὄρνις τις ἢ ἰχθὺς εἵλκυσο· καὶ γευόμενον οὕτω καὶ προμελετῆσαν ἐν ἐκείνοις τὸ φονικὸν [7],

ἐπὶ

1 Xyl. notante, deest *constat*, *apparet*, *videbitur*, aut aliquid tale. R. voluit φιλοσοφεῖται ob seq. ἦσαν. W. videtur ex idisse δ[illegible]ξειν; G. Venet. φιλοσοφῆσαι. De Melanchlænis cf. Herodot IV, 20.

2 Xyl. H. Steph. R. suspectum censent hoc vo abulum. E. Petav. καὶ πυρεῖα. Neutrum W. placet, quaeren i, an corrigendum, Ἑλλήνων, καὶ καθαραὶ δίαιται? Kaltw. susp. ῥῆτραι. Post δίαιται Steph. ex idisse conji it ἀλλὰ φήσκσιν; R. ἀλλ᾽ ἐρῶσιν. P o at id W. & vertendo exprimit. Xyl. legisse videtur ὅτε πρὸς τὰ ἄλογα ζῶα βίαιον αὐτοῖς οὐδὲν ἦν. Pro ἄλογα Petav. ἄλλα. Mez. delet ὅτι — οὐδὲν ἐςιν.

3 Secutus sum W. ita ex E. & Pet. dantem pro vulg. ὥσπερ ἀπὸ τῶν πρωτων.

4 Cf. Vol. h. pag. 137. not. 1.

5 H. Steph. & R. reponendum putant περιεώρων, ut sit sensus: *necem inultam relinquebant*, *nihil illorum nece commovebantur.*

6 Nomen *Polemarchi* suspectum est Xyl. & Kaltw.

7 Ita e Turn. & V. dandum censui pro vulg. τὸ νικοῦν, W. pro-

ἐπὶ βοῦν ἐργάτην ἦλθε, καὶ τὸ κόσμιον [1] πρόβατον, καὶ τὸν οἰκουρὸν ἀλεκτρυόνα· καὶ κατὰ μικρὸν οὕτω τὴν ἀπληστίαν τονώσαντες [2], ἐπὶ σφαγὰς ἀνθρώπων καὶ φόνους καὶ πολέμους προῆλθον. ἀλλ' ἐὰν μὴ προσαποδείξῃ [3] τις, ὅτι χρῶνται κοινοῖς αἱ ψυχαὶ σώμασιν ἐν ταῖς παλιγγενεσίαις, καὶ τὸ νῦν λογικὸν αὖθις γίνεται ἄλογον, καὶ πάλιν ἥμερον τὸ νῦν ἄγριον· ἀλλάσσει δὲ [4] ἡ φύσις ἅπαντα καὶ μετοικίζει,

Σαρκῶν [5] ἀλλογνῶτι περιστέλλουσα χιτῶνι·

ταῦτα οὐκ ἀποτρέπει, τὸ ἀνήμερον, [6] τὸ ἀκόλαστον, τὸ καὶ σώμασι νόσους καὶ βαρύτητας ἐμποιεῖν [7], καὶ ψυχὴν ἐπὶ πόλεμον ἀνομωτέρων [8] τρεπομένην διαφθείρειν; ὅταν ἐθιθῶμεν μὴ αἵματος ἄνευ καὶ φόνου μὴ ξένον ἑστιᾶν, μὴ γάμον ἑορτάζειν, μὴ φίλοις συγγίνεσθαι [9].

V. Καίτοι τῆς λεγομένης ταῖς ψυχαῖς εἰς σώματα [10] πάλιν μεταβολῆς, εἰ μὴ πίστεως ἄξιον τὸ

 ἀπο-

protante. R. voluit τὸ λίχνον, appetens cupediarum; Petav. & E. νικῶν, quod ad locum nil valet. W. quoque cogitarat τὸ ἄδικον.

1 Sic R. dari voluit — *modestum*, *mite*, *placidum* — dedique e Turn. & V. Vulgo τὸ κοσμοῦν.

2 Petav. στομώσαντες.

3 Petav. ἀποδείξῃ.

4 Pro δὲ R. mavult τε.

5 Versum hunc Empedoclis esse, monent Steph. & Salm.

6 Ita H. Steph. se vertendo expressisse notat, & legendum censet vertitque W. dedique pro vulg. τὸν ἀνῃρημένον. R. voluit ταῦτα οὐκ ἀποτρέπει (sc. τῆς σαρκοφαγίας) τῶν ἀνῃρημένων τὸ ἀκόλαστον, καὶ τὸ σώμασί τε νόσους. E. Turn. notatur τῶν ἀνῃρημένων.

7 Secutus sum W. ita ex E. & Petav. dantem. Vulgo ἐμποιοῦν.

8 R. susp. ἐπὶ τόλμαν ἀνομωτέραν τρεπομένην διαφθεῖρον; W. autem ἐπὶ πολλὰ τῶν ἀνομωτέρων. Xyl. legisse videtur ἀνομωτέρως.

9 Sic e Petav. dedi pro vulg. συγγενέσθαι.

10 Pet. σῶμα. Deinde cod. innominatus παλιμμεταβολῆς uno vocabulo.

ἀποδεικνύμενον, ἀλλ' εὐλαβείας τε[1] μεγάλης καὶ δέους τὸ ἀμφίβολον. οἷον εἴ τις ἐν νυκτομαχίαις[2] στρατοπέδων ἀνδρὶ πεπτωκότι καὶ τὸ σῶμα κρυπτομένῳ τοῖς ὅπλοις ἐπιφέρων ξίφος, ἀκούσοι[3] τινὸς λέγοντος, οὐ πάνυ μὲν εἰδέναι βεβαίως, οἴεσθαι δὲ καὶ δοκεῖν υἱὸν αὐτοῦ[4] τὸν κείμενον, ἢ ἀδελφὸν αὐτοῦ, ἢ πατέρα, ἢ σύσκηνον εἶναι· τί βέλτιον ὑπονοίᾳ προσθέμενον οὐκ ἀληθεῖ προέσθαι τὸν ἐχθρὸν ὡς φίλον, ἢ καταφρονήσαντα τοῦ μὴ βεβαίου πρὸς πίστιν, ἀνελεῖν τὸν οἰκεῖον ὡς πολέμιον; ἐκεῖνο δεινὸν φήσετε πάντες. σκόπει δὲ καὶ τὴν ἐν τῇ τραγῳδίᾳ Μερόπην, ἐπὶ τὸν υἱὸν αὐτὸν ὡς φονέα τοῦ υἱοῦ πέλεκυν ἀραμένην, καὶ λέγουσαν·

Ὠνητέραν[5] δὴ τήνδ' ἐγὼ δίδωμί σοι
Πληγήν,

ὅσον ἐν τῷ θεάτρῳ κίνημα ποιεῖ, συνεξορθιάζουσα φόβῳ[6], καὶ δέος, μὴ φθάσῃ τὸν ἐπιλαμβανόμενον γέροντα, καὶ τρώσῃ τὸ μειράκιον. εἰ δὲ ἕτερος λέγων παρεισήκει γέρων·

1 R. & W. malunt γε.

2 R. mavult νυκτομαχίᾳ.

3 Secutus sum W. ita ex E. & Colleg. Nov. dantem pro vulg. ἀκούσει R. maluit ἀκούσῃ, quod ex Venet. notatur; Anon. ἀκούσειε

4 Hoc αὐτοῦ abest a codice innominato. Mox sequens αὐτοῦ abest a Fe av.

5 Dubius est H. Steph. quid pro hac voce reponat, cum neque ὠνητοτέραν venaliorem, neque ὀνητοτέραν utiliorem, loco conveniat. Desumta autem sunt haec ex Cresphonte Euripidis. R. susp. in ὠνητέραν latere ὤν, & vocabulum, quod sensu respondeat verbo ἐκδικήτριαν, aut ἐκτίντριαν — quorum facinorum tuorum poniendorum & ulciscendorum causa tibi hunc ictum infligo. Turn. V. dant ὁσιωτέραν.

6 Secutus sum W. ita ex G. & Colleg. Nov. dantem pro vulg. φόνου Hujus loco Steph. tolerabiliorem putavit lectionem κίνημα ποιεῖ, φόβον καὶ δέος, nisi scribendum sit καὶ ὅσον δέος, pro φόνου καὶ R. susp. συνεξορθιάζουσα τοὺς θεατὰς οἴκτῳ τοῦ φόνου, *simul arrigens in exspectationem magni eventus spectatores, mota in ipsis commiseratione caedis perpetrandae.*

ραν· Παῖσον, πολέμιός ἐςιν· ἕτερος δέ Μὴ παίσης, υἱός ἐςι· πότερον ἀδίκημα μεῖζον, ἐχθρȣ̃ κόλασιν ἐκλιπεῖν διὰ τὸν υἱὸν, ἢ τεκνοκτονίᾳ περιπεσεῖν ὑπὸ τῆς πρὸς τὸν ἐχθρὸν ὀργῆς; ὁπότε τοίνυν ȣ̓ μῖσός ἐςιν ȣ̓δὲ θυμὸς ὁ πρὸς τὸν φόνον ἐξάγων ἡμᾶς, ȣ̓δὲ ἄμυνά τις, ȣ̓δὲ φόβος ὑπὲρ αὐτῶν, ἀλλ' εἰς ἡδονῆς μέρος ἕςηκεν ἱερεῖον ἀνακεκλασμένῳ τραχήλῳ ὑποκείμενον [1], εἶτα λέγει τῶν φιλοσόφων ὁ μέν· Κατάκοψον, ἄλογόν ἐςι τὸ [2] ζῶον· ὁ δέ· Ἀνάχε· τί γὰρ, εἰ συγγενȣ̃ς ἢ θεȣ̃ [3] τινος ἐνταῦθα ψυχὴ κεχώρηκεν; ἴσος [4] γε, ὦ θεοί, καὶ ὅμοιος ὁ κίνδυνος ἔχει, ἂν ἀπειθῶ [5] φαγεῖν κρέας, ἂν ἀπιςῶ φονεῦσαι τέκνον, ἢ ἕτερον οἰκεῖον;

VI. Οὐκ ἴσος δέ τις ὁ ἀγὼν ȣ̃τος τοῖς Στωϊκοῖς ὑπὲρ τῆς σαρκοφαγίας. τίς γὰρ [6] ὁ πολύσομος εἰς τὴν γαςέρα καὶ τὰ ὀπτανεῖα; τί τὴν ἡδονὴν θηλύνοντες καὶ διαβάλλοντες, ὡς ȣ̓τ' ἀγαθὸν, ȣ̓τε προηγȣ́μενον [7], ȣ̓τ' οἰκεῖον, ȣ̔́τως πρὸς τὰ περὶ [8] τῶν ἡδονῶν ἐσπȣδάκασι; καὶ μὴν ἀκόλȣθον ἦν αὐτοῖς, εἰ μύρον ἐξελαύνȣσι καὶ πέμμα τῶν συμποσίων, μᾶλλον αἷμα καὶ σάρκα δυχεραίνειν.



1 i. e. προκείμενον vel ἐκκείμενον. Poteſt quoque τῇ αἰχμῇ excidiſſe. R.

2 abeſt τὸ a Petav.

3 H. Steph. monente fortaſſis ſuſpicetur aliquis pro θεȣ̃ ſcribendum eſſe θείȣ

4 Petav. ἴσως.

5 H. Steph pro ἀπειθῶ ſcribendum monuit πειθῶ. R. ſuſp. ὁ κίνδυνος, ἐκεῖ ἂν ἀπειθῶ, κρέας φαγεῖν, ἐνταῦθα, ἂν ἀπιςῶ.

6 Secutus ſum W. ita e Venet. dantem. Vulgo τίς ſine γάρ; G. & Colleg. Nov. Τί γάρ. R. ſuſp. ȣ̓κ ἴσος δ' ἔτι καὶ ȣ̃τος ὁ ἀγὼν — *ſupereſt adhuc aliud certamen Stoicis non aequum.* ὑπὲρ τῆς σαρκοφαγίας μάχεται (vel διατείνεται) ὁ πολύςομος — *pro eſu carnium pugnat ille, qui tam copioſa dictione in ventrem & culinas debacchatur*! cum admiratione proferenda dictio. Petav. dat ȣ̃τος ὁ ἀγών.

7 H. Steph. mavult προηγμένον.

8 R. πρὸς τὰ deleri vult; W. ſuſp. τὰς περιττὰς —.

νειν. νῦν δ' ὥσπερ εἰς τὰς ἐφημερίδας φιλοσοφῦντες [1], δαπάνην ἀφαιρῦσι τῶν δείπνων ἐν τοῖς ἀχρήστοις καὶ περιττεῖς, τὸ δ' ἀνήμερον τῆς πολυτελείας καὶ φονικὸν ὐ παραιτῦνται. ναί, φησὶν [2], ὐδὲν γὰρ ἡμῖν πρὸς τὰ ἄλογα οἰκεῖον [3] ἐστιν. ὐδὲ γὰρ πρὸς τὸ μύρον, φαίη τις ἄν, ὐδὲ πρὸς [4] τὰ ξενικὰ τῶν ἡδυσμάτων· ἀλλὰ καὶ τύτων ἀποτρέπεσθε, τὸ μὴ χρήσιμον μηδ' ἀναγκαῖον [5] ἐν ἡδονῇ πανταχόθεν ἐξελαύνοντες.

VII. Οὐ μὴν ἀλλὰ καὶ τῦτο ἤδη σκεψώμεθα, τὸ μηδὲν εἶναι πρὸς τὰ ζῶα δίκαιον ἡμῖν, μηδὲ [6] τεχνικῶς, μηδὲ σοφιστικῶς, ἀλλὰ τοῖς πάθεσιν ἐμβλέψαντες τοῖς ἑαυτῶν, καὶ πρὸς ἑαυτὺς ἀνθρωπικῶς λαλήσαντες καὶ ἀνακρίναντες [7].

1 *tanquam si eo tantum modo philosopharentur, ut fructus inde ad diarios libellos rediret*, i. e. ut minuerentur quotidianae minutae expensae culinares. R.

2 sc. Chrysippus. R

3 H. Steph. susp. *δίκαιον*. Idem R. Plutarchum scripsisse conjicit, *οἰκεῖον* tamen locum tueri posse monet.

4 a Petav. absunt *τὸ μύρον — ὐδὲ πρὸς*.

5 H. Steph. notat. vocabulum *ἀναγκαῖον* jungi non posse cum *ἐν ἡδονῇ*, & tolerabilius fore *εἰ μὴ ἐν ἡδονῇ*. R. judice post *ἀναγκαῖον* aliquid deesse videtur e. c. *τὸ γαργαλίζον ἐν ἡδ.*

6 R. mavult divisim legi *μὴ δὲ*, *non autem*, ut idem sit atque *ἀλλὰ μή*.

7 Multa hic deesse, Steph. notat. W monente apparet, integrum librum habuisse proximum locum satis magnum de memorata quaestione: quam intactam reliquit Excerptor.

---

ΠΛΟΥ

# ΠΛΟΥΤΑΡΧΟΥ

# ΠΛΑΤΩΝΙΚΑ ΖΗΤΗΜΑΤΑ.

---

## QVAEST. I.

Τί δήποτε τὸν Σωκράτην ὁ θεὸς μαιεῦσθαι μὲν ἐκέλευσεν ἑτέρους [1], αὐτὸν δὲ γεννᾷν ἀπεκώλυσεν; ὡς ἐν Θεαιτήτῳ λέγεται [2]. οὐ γὰρ εἰρωνευόμενός γε [3] καὶ παίζων προσεχρήσατο ἂν τῷ τοῦ θεοῦ ὀνόματι. καὶ ἄλλως ἐν τῷ Θεαιτήτῳ πολλὰ μεγάλαυχα καὶ σοβαρὰ Σωκράτει περιτέθεικεν, ὧν καὶ ταῦτά ἐστι· Πολλοὶ γὰρ δὴ [4], ὦ θαυμάσιε, οὕτω πρός με διετέθησαν, ὥστ' ἀτεχνῶς δάκνειν ἕτοιμοι εἶναι, ἐπειδάν τινα λῆρον αὐτῶν ἀφαιρῶμαι· καὶ οὐκ οἴονταί με εὐνοίᾳ τοῦτο ποιεῖν· πόῤῥω ὄντες τοῦ εἰδέναι, ὅτι οὐδεὶς θεὸς δύσνους ἀνθρώποις· οὐδ' ἐγὼ δυσνοίᾳ τοιοῦτον οὐδὲν δρῶ, ἀλλά μοι ψεῦδός τε συγχωρῆσαι, καὶ ἀληθὲς ἀφανίσαι, οὐδαμῶς θέμις. πότερον οὖν τὴν ἑαυτοῦ φύσιν, ὡς κριτικωτέραν ἢ [5] γονιμωτέραν οὖσαν, θεὸν προσεῖπε; καθάπερ Μένανδρος· Ὁ νοῦς γὰρ ἡμῶν ὁ θεός· καὶ Ἡράκλειτος· Ἦθος ἀνθρώπου δαίμων. ἢ θεῖόν τι καὶ δαιμόνιον ὡς ἀληθῶς αἴτιον ὑφηγήσατο Σωκράτει τοῦτο τῆς φιλοσοφίας τὸ γένος, ᾧ τοὺς ἄλλους ἐξετάζων ἀεί, τύφου καὶ πλάνης [6] καὶ

1 Revocavit hoc W. ex Ald. Baf. Xyl. B. E. pro vulg. ἑτέροις.

2 Platon. Opp Ed. Bip. Vol II. p. 65.

3 Ita W. ex E. dedit. Vulgo τε.

4 Ed. Nogar. νῦν pro δή.

5 Ita cum W. dedi e Turn. pro vulg. καὶ, fententia flagitante. Ejusdem lectionis meminit Nogarola, & eam ad fententiam aptiorem effe judicat, licet vertendo fefe ad vulgatam accommodet.

6 W. ex B. & E. notat πλάνης.

καὶ ἀλαζονείας, καὶ τῦ βαρεῖς εἶναι πρῶτον μὲν αὑτοῖς, εἶτα καὶ τοῖς συνῦσιν, ἀπήλλαττε; καὶ γὰρ ὥσπερ ἐκ τύχης τότε Φορὰν γενέσθαι συνέβη σοφιςῶν ἐν τῇ Ἑλλάδι· καὶ τέτοις οἱ νέοι πολὺ τελῦντες ἀργύριον, οἰήματος ἐπληρῦντο, καὶ δοξοσοφίας, καὶ λόγων ἐζήλϩν [1] σχολὴν καὶ διατριβὰς ἀπράκτϩς ἐν ἔρισι [2] καὶ Φιλοτιμίαις, καλὸν δὲ καὶ χρήσιμον ϩδ ὁτιϩν. τὸν ϩν ἐλεγκτικὸν λόγον ὥσπερ καθαρτικὸν ἔχων Φάρμακον ὁ Σωκράτης, ἀξιόπιςος ἦν, ἑτέρϩς ἐλέγχων, τῷ μηδὲν ἀποφαίνεσθαι· καὶ μᾶλλον ἥπτετο, δοκῶν ζητεῖν κοινῇ τὴν ἀλήθειαν, ϩκ αὐτὸς ἰδίᾳ δόξῃ βοηθεῖν.

II. Ἔπειτα τῦ κρίνειν ὄντος ὠφελίμϩ, τὸ γεννᾶν [3] ἐμπόδιόν ἐςι. τυφλῦται γὰρ τὸ Φιλῦν περὶ τὸ Φιλέμενον [4]. Φιλεῖται δὲ τῶν ἰδίων ϩδὲν ϩτως ὡς δόξα καὶ λόγος ὑπὸ τῦ τεκόντος. ἡ γὰρ λεγομένη τέκνων δικαιοτάτη διανομὴ πρὸς λόγϩς ἐςὶν ἀδικωτάτη· δεῖ γὰρ ἐκεῖ λαβεῖν μὲν τὸ ἴδιον, ἐνταῦθα δὲ, κᾂν ἀλλότριον ᾖ, τὸ βέλτιςον. ὅθεν ὁ γεννῶν ἴδια, γίνεται Φαυλότερος ἑτέρων κριτής. καὶ καθάπερ Ἠλείϩς τῶν σοφῶν [5] τις ἔΦη βελτίϩς ἂν εἶναι τῶν Ὀλυμπίων ἀγωνοθέτας, εἰ μηδὲ εἷς Ἠλείων ἦν ἀγωνιςής, ϩτως ὁ μέλλων ἐν λόγοις ὀρθῶς ἐπιςατήσειν καὶ βραβεύσειν [6], ϩ δίκαιός ἐςιν αὐτὸς Φιλοσοφεῖν, ϩδ' ἀνταγω-

1 Ita Turn. Consentit E at B ἐζήτϩν, pro varia tamen lectione ἐζήλϩν. Dedi cum W. pro vulg. λόγων ζήλϩ, σχολὴν.

2 Ald. Bas. ἐν ἔτισι. Xyl. correxit. E Turn. affertur ἐνίησι vel ἐμποιϩντός τισι; nec non deinde Φιλοτιμίας. Vulgo post Φιλοτιμίαις legitur ἄγοντες. Id delevi cum W. auctoritate Ald. Bas. Xyl B. E.

3 Ald. Bas. τὸ γενναῖον; Turn. V. Bong. γεννῶν.

4 Eandem hanc Platonis sententiam legimus in Plut. Vol. VII. pag. 286. l. 3.

5 Ita W. ex B. & E. dedit pro vulg. σοφιςῶν.

6 Vocabula καὶ βραβεύσειν, quae vulgo absunt, W. addidit ex B. et E.

ταγωνίζεσθαι τοῖς κρινομένοις. καὶ γὰρ οἱ τῶν Ἑλλήνων στρατηγοὶ τὴν περὶ τῶν ἀριστείων ψῆφον φέροντες, αὑτοὺς πρώτους ἔκριναν ἅπαντες [1]. καὶ τῶν φιλοσόφων οὐδείς ἐστιν, ὃς οὐ τοῦτο πέπονθε, δίχα τῶν, ὥσπερ Σωκράτης, ὁμολογούντων μηδὲν ἴδιον λέγειν· οὗτοι δὲ καθαροὺς μόνοι καὶ ἀδεκάστους τῆς ἀληθείας παρέχουσιν ἑαυτοὺς δικαστάς. ὥσπερ γὰρ ὁ ἐν τοῖς ὠσὶν ἀὴρ, ἂν μὴ σταθερὸς ᾖ μηδὲ φωνῆς ἰδίας ἔρημος, ἀλλ' ἤχου καὶ ῥοίζου μεστὸς, οὐκ ἀκριβῶς ἀντιλαμβάνεται τῶν φθεγγομένων· οὕτω τὸ τοὺς λόγους ἐν φιλοσοφίᾳ κρῖνον, ἂν ἔνδοθεν [2] ἀντιπαταγῇ καὶ ἀντηχῇ, δυσξύνετον ἔσται τῶν λεγομένων ἔξωθεν. ἡ γὰρ οἰκεία δόξα καὶ σύνοικος [3] οὐ προσδέξεται τὸ διαφωνοῦν πρὸς αὑτὴν, ὡς μαρτυρεῖ τῶν αἱρέσεων τὸ πλῆθος, ὧν, ἂν ἄριστα πράττῃ, φιλοσοφία μίαν ἔχει κατορθοῦσαν, οἰομένας δὲ τὰς ἄλλας ἁπάσας καὶ μαχομένας πρὸς τὴν ἀλήθειαν.

III. Ἔτι τοίνυν, εἰ μὲν οὐδέν ἐστι καταληπτὸν ἀνθρώπῳ καὶ γνωστὸν, εἰκότως ὁ θεὸς ἀπεκώλυσεν αὐτὸν ὑπηνέμια καὶ ψευδῆ καὶ ἀβέβαια γεννᾷν, ἐλέγχειν [4] δὲ τοὺς ἄλλους ἠνάγκαζε τοιαῦτα δοξάζοντας. οὐ γὰρ μικρὸν ἦν ὄφελος, ἀλλὰ μέγιστον, ὁ τοῦ μεγίστου τῶν κακῶν, ἀπάτης καὶ κενοφροσύνης, ἀπαλλάττων λόγος,

Οὐδ' Ἀσκληπιάδαις τοῦτό γ' ἔδωκε θεὸς [5].

οὐ

1 Cf. Plut. Vol. I. p. 299. in Themist. c. 17. Dando ἅπαντες secutus sum W, ita e Mez. sumentem, consentiente Bryan. ad loc. cit Plut. Vulgo ἅπαντας.

2 W. judice, addendum videtur τι.

3 Locum hunc, vulgo mutilum, W. ex B & E. restituit. Ita enim olim legebatur: σύνοικος, ὧν ἂν ἄριστα πράττῃ, φιλοσοφίαν ἔχει κατορθοῦσαν, οἰομένας δὲ τὰς ἄλλας ἁπάσας πρὸς τὴν ἀλήθειαν. Hujus lectionis difficultates bene sensit Nogar. notans simul, pro ἄριστα πράττῃ alios ἄριστα πλάττῃ legendum censere.

4 Ald. Bas. λέγειν.

5 Versiculus Theognidis.

ὃ γὰρ σώματος ἡ Σωκράτες ἰατρεία, ψυχῆς δ' ἦν ὕπυλε καὶ διεφθαρμένης καθαρμός. εἰ δέ ἐςιν ἐπιςήμη τῦ ἀληθῦς, ἓν δὲ τὸ ἀληθὲς, ὐκ ἔλαττον ἔχει τῦ εὑρόντος [1] ὁ μαθὼν παρὰ τῦ εὑρόντος· λαμβάνει δὲ μᾶλλον ὁ μὴ πεπεισμένος ἔχειν, καὶ λαμβάνει τὸ βέλτιςον ἐξ ἁπάντων, ὥσπερ ὁ μὴ τεκὼν παιδοποιεῖται [2] τὸν ἄριςον.

IV. Ὅρα δὲ, μὴ τἄλλα μὲν ὐδεμιᾶς ἦν [3] ἄξια σπυδῆς ποιήματα καὶ μαθήματα, καὶ λόγοι ῥητόρων, καὶ δόγματα σοφιςῶν, ἃ Σωκράτην γεννᾷν τὸ δαιμόνιον ἀπεκώλυσεν· ἣν δὲ μόνην ἡγεῖτο Σωκράτης σοφίαν περὶ τὸ θεῖον καὶ νοητὸν, ἐρωτικὴν ὑπ' αὐτῦ προσαγορευομένην, ταύτης ὐ γένεσίς ἐςιν ἀνθρώποις ὐδὲ εὕρεσις, ἀλλ' ἀνάμνησις. ὅθεν ὐδὲν ἐδίδασκε Σωκράτης, ἀλλ' ἐνδιδὺς ἀρχὰς ἀποριῶν, ὥσπερ ὠδίνων, τοῖς νέοις, ἐπήγειρε καὶ ἀνεκίνει καὶ συνεξῆγε τὰς ἐμφύτυς νοήσεις· καὶ τῦτο μαιωτικὴν τέχνην ὠνόμαζεν, ὐκ ἐντιθεῖσαν ἔξωθεν, ὥσπερ ἕτεροι προσεποιῦντο, νῦν τοῖς ἐντυγχάνυσιν, ἀλλ' ἔχοντας οἰκεῖον ἐν ἑαυτοῖς, ἀτελῆ δὲ καὶ συγκεχυμένον καὶ δεόμενον τῦ τρέφοντος καὶ βεβαιῦντος ἐπιδεικνῦσαν [4].

QVAEST.

1 Vulgo παρὰ τῦ μὴ εὑρόντος. Illud μὴ officere ſenſui, Xyl. monuit. Idem vertendo omittit Nogar. & delevit W. auctoritate B. & E.

2 W. ſuſp. παῖδα ποιεῖται.

3 Ita W. ex Ald. Baſ. Xyl. B. E. repoſuit pro vulg. ἦ.

4 Vulgo καὶ συγκεχυμένον τῦ τρέφοντος ἐπιδεικνῦσαν. Mancum eſſe locum Xyl. notavit. Supplevit eum W. ex B. & E. Affertur e Turn. καὶ ἐνδεῆ τὸ τῦ τρέφοντος, & praeterea ex eod. & V. Bong. τὸ τῦ τρέφοντος. Nogar. in textu vulgatum exhibens, corrigendum monet τῦτο τρέφοντας.

## QVAEST. II.

Τί δή ποτε τὸν ἀνωτάτω θεὸν πατέρα τῶν πάντων [1] καὶ ποιητὴν προσεῖπεν;

Ἢ τῶν μὲν θεῶν τῶν γεννητῶν καὶ τῶν ἀνθρώπων πατήρ ἐστιν, ὡς Ὅμηρος [2] ἐπονομάζει, ποιητὴς δὲ τῶν ἀλόγων καὶ ἀψύχων; οὐ γὰρ χορίου [3] φησὶ Χρύσιππος πατέρα καλεῖσθαι τὸν παρασχόντα τὸ σπέρμα, καίπερ ἐκ τοῦ [4] σπέρματος γεγονότος. ἢ τῇ μεταφορᾷ χρώμενος, ὥσπερ εἴωθε, τὸν αἴτιον πατέρα τοῦ κόσμου κέκληκεν; ὡς τῶν ἐρωτικῶν λόγων πατέρα Φαῖδρον ἐν Συμποσίῳ προσεῖπεν, εἰσηγητὴν αὐτῶν [5] γενόμενον· ἐν δὲ τῷ ὁμωνύμῳ διαλόγῳ καλλίπαιδα [6]. πολλοὺς γὰρ καὶ [7] καλοὺς λόγους ἐν φιλοσοφίᾳ γενέσθαι, τὴν ἀρχὴν ἐκείνου παρασχόντος. ἢ διαφέρει πατήρ τε ποιητοῦ καὶ γεννήσεως ποίησις [8]; ὡς γὰρ τὸ γεγεννημένον καὶ πεποίηται, οὐ μὴν

1 W. addidit τῶν ex B. & E. Vulgo abest. Cf. Platon. Timaeus, ed. Bip. Vol. IX. p. 303.

2 Iliad. I, 544. IV, 68. & alibi.

3 Dedi scripturam huius vocis, qualis est in Steph. & a W. retinetur vertendoque exprimitur, pro χωρίου, uti in cell. exhibetur. Consentit Nogar. in versione, quamvis in textu habeat χωρίου, monens, nihil referre, sive per ω sive per ο scribatur. Xyl. locum mutilum censuit.

4 Turn. V. καίπερ τοῦ ἐκ σπ.

5 Ita Nogar. edidit, sumsitque W. ex B. E. Mez. Vulgo αὐτόν. Cf. Plat. Opp. X, p. 176. ed. Bip.

6 Vulgo Καλλιπίδαν, unde quis colligat, extitisse Dialogum Platonis sub hoc nomine. Et ita quidem Amiot. vertit. Xyl. ὁμωνύμῳ ad *Phaedrum* referens, locum Phaedri (Vol X p 343.) intelligi vult, ita ut nomen *Callipides* per memoriae lapsum aut per librariorum negligentiam pro nomine *Lysiae* sit positum. Eximie rem expediit W. dando καλλίπαιδα ex Phaedr. l. c. p. 352. lin. 2. ed. Bip. — *&* *in cognomine Phaedri dialogo ipsum Phaedrum vocat pulchrae prolis parentem.*

7 Vulgo γὰρ ἦν καί. W. delevit ἦν cum B. & E.

8 Ald. Bas. καὶ γεννήσεως γέννησις· ὡς γὰρ τὸ γεγεννημένον καὶ

μὴν ἀνάπαλιν, ὥσπερ ὁ γεννήσας καὶ πεποίηκεν· ἐμψύχου γὰρ ποίησις ἡ γέννησίς ἐστι· καὶ ποιητοῦ μὲν, οἷος οἰκοδόμος, ἢ ὑφάντης, ἢ λύρας δημιουργὸς, ἢ ἀνδριάντος, ἀπήλλακται γενόμενον το [1] ἔργον· ἡ δ' ἀπὸ τοῦ γεννήσαντος ἀρχὴ καὶ δύναμις ἐγκέκραται τῷ τεκνωθέντι, καὶ συνέχει τὴν φύσιν, ἀπόσπασμα καὶ μόριον οὖσαν τοῦ τεκνώσαντος. ἐπεὶ τοίνυν οὐ πεπλασμένοις ὁ κόσμος οὐδὲ συνηρμοσμένοις ποιήμασιν ἔοικεν, ἀλλ' ἔνεστιν [2] αὐτῷ μοῖρα πολλὴ ζωότητος καὶ θειότητος, ἣν ὁ θεὸς ἐγκατέσπειρεν ἀφ' ἑαυτοῦ [3] τῇ ὕλῃ καὶ κατέμιξεν, εἰκότως ἅμα πατήρ τε τοῦ κόσμου, ζώου γεγονότος, καὶ ποιητὴς ἐπονομάζεται.

II. Τούτων δὲ μάλιστα τῆς Πλάτωνος ἁπτομένων δόξης, ἐπίστησον, εἰ κἀκεῖνα [4] λεχθήσεται πιθανῶς· ὅτι, δυοῖν ὄντοιν, ἐξ ὧν ὁ κόσμος συνέστηκε, σώματος καὶ ψυχῆς, τὸ μὲν οὐκ ἐγέννησε θεὸς, ἀλλὰ τῆς ὕλης παρασχομένης, ἐμόρφωσε καὶ συνήρμοσε, πέρασιν οἰκείοις καὶ σχήμασι δήσας καὶ ὁρίσας τὸ ἄπειρον· ἡ δὲ ψυχὴ, νοῦ μετασχοῦσα καὶ λογισμοῦ καὶ ἁρμονίας, οὐκ ἔργον ἐστὶ τοῦ θεοῦ μόνον, ἀλλὰ καὶ μέρος, οὐδ' ὑπ' αὐτοῦ ἀλλ' ἀπ' αὐτοῦ καὶ ἐξ αὐτοῦ γέγονεν.

QVAEST.

καὶ γέγονεν, οὐ μὴν ἀνάπαλιν, ὥστε ὁ γεννήσας καὶ πεποίηκεν· ἐμψύχου γὰρ γένεσις ἡ γέννησίς ἐστι Consentiunt Xyl B. E teste W. Pro priori γέννησις Xyl γένεσις reponi voluit Steph. dedit ποίησις; Pol. Leonic. Jannot. Schott. Anon Amiot. consentientibus; nec non πεποίηται pro γέγονεν, cum Pol. & Amiot, deinde autem post ἐμψύχου γὰρ retinuit γένεσις, pro qua voce W. dedit ποίησις sententia flagitante & confirmantibus libris Collat. Muret. Amiot. Turn. V. Bong. Mez. Post πεποίηκεν iterat Mez. οὐ μὴν ἀνάπαλιν, recte W. judice.

1 Hoc ordine dedit W. ex B. & E. Vulgo τὸ γενόμενον ἔργον.

2 Sic W. dedit ex B. & E. pro vulg. ἐστιν.

3 Ald. Bas. ἐφ' ἑαυτοῦ. Xyl. correxit.

4 Ald. Bas. κἀκεῖ.

## QVAEST. III. [1]

Ἐν τῇ Πολιτείᾳ, τοῦ παντὸς ὥσπερ μιᾶς γραμμῆς τετμημένης [2] ἄνισα τμήματα, πάλιν τέμνων ἑκάτερον τμῆμα εἰς δύο ἀνὰ τὸν αὐτὸν λόγον, τό τε τοῦ ὁρωμένου γένος καὶ τὸ τοῦ νοουμένου· περὶ τὰ παντα [3] ποιήσας, τοῦ μὲν νοητοῦ πρῶτον ἀποφαίνει, τὸ περὶ τὰ πρῶτα εἴδη, δεύτερον τὸ μαθηματικὸν, τοῦ δ' αἰσθητοῦ πρῶτον μὲν τὰ στερέμνια σώματα, δεύτερον δὲ τὰς εἰκόνας καὶ τὰ εἴδωλα τούτων· καὶ κριτήριον ἑκάστῳ τῶν τεττάρων ἀποδίδωσιν ἴδιον, νοῦν μὲν τῷ πρώτῳ, διάνοιαν δὲ τῷ μαθηματικῷ, τοῖς δ' αἰσθητοῖς πίστιν, εἰκασίαν δὲ τοῖς περὶ τὰ εἴδωλα καὶ τὰς εἰκόνας. τί οὖν διανοηθεὶς ἄνισα τὰ τμήματα τὸ πᾶν ἔτεμνε; καὶ πότερον τῶν τμημάτων, τὸ νοητὸν ἢ τὸ αἰσθητὸν μεῖζόν ἐστιν; αὐτὸς γὰρ οὐ δεδήλωκε.

Δόξει δ' αὐτόθεν μὲν εἶναι μεῖζον τὸ αἰσθητόν· ἡ γὰρ ἀμέριστος οὐσία καὶ κατὰ ταυτὸν ὡσαύτως ἔχουσα τῶν νοητῶν, ἐστὶν εἰς βραχὺ συνηγμένη καὶ καθαρόν· ἡ δὲ σκεδαστὴ περὶ τὰ σώματα καὶ περιπλανὴς τὸ αἰσθητὸν παρέχειν. ἔτι, τὸ μὲν ἀσώματον πέρατος οἰκεῖον

1 Novum hoc caput posuit W. ipsius rei evidentia ductus, cum in omnibus libris haec cum prioribus jungantur. Vidisse partim etiam Mez. notat, & errorem ortum esse ex particula γοῦν, perperam ex τοῦ nata, monet. Ald. nimirum, Bas. Xyl. habent Ἐν τῇ Πολιτείᾳ γοῦν παντὸς —; Steph. addidit τοῦ ex Leonic. Pol. Jannot. Schott. Delevit W. γοῦν. Cf. de republ. VI. Vol. VII. p. 121.

2 Turn. V. τετμημέναι

3 W. monente haec non sunt Platonis, cujus verba in νοουμένου desinunt. B. E. παρὰ τὰ πάντα, quod W non magis probat quam vulgatum. Ad literarum ductum suspicari quem posse περιττὰ πάντα, non ad consilium disputationis, addit, & ipse forte verum esse conjicit τέτταρα πάντα.

κεῖον [1], τὸ δὲ σῶμα τῇ μὲν ὕλῃ ἄπειρον καὶ ἀόριστον, αἰσθητὸν δὲ γινόμενον, ὅταν ὁρισθῇ μετοχῇ τοῦ νοητοῦ. ἔτι, καθάπερ αὐτῶν τῶν αἰσθητῶν ἕκαστον εἰκόνας ἔχει πλείους καὶ σκιὰς καὶ εἴδωλα, καὶ ὅλως ἀφ' ἑνὸς παραδείγματος πάμπολλα μιμήματα γίνεσθαι καὶ φύσει καὶ τέχνῃ δυνατόν ἐστιν, οὕτως ἀναγκη τὰ ἐνταῦθα τῶν ἐκεῖ πλήθει διαφέρειν, κατὰ τὸν Πλάτωνα. παραδείγματα καὶ ἰδέας τὰ νοητὰ [2] τῶν αἰσθητῶν, ὥσπερ εἰκόνων ἢ ἐμφάσεων, ὑποτιθέμενον. ἔτι, τῶν εἰδῶν νόησιν ἐξ ἀφαιρέσεως καὶ περικοπῆς σώματος ἐπάγεται [3] τῇ τῶν μαθημάτων τάξει καταβιβάζων ἀπὸ τῆς ἀριθμητικῆς ἐπὶ γεωμετρίαν, εἶτα μετὰ ταύτην ἐπ' ἀστρολογίαν, ἐπὶ πάσαις δὲ τὴν ἁρμονικὴν τιθείς· γίνεται μὲν γὰρ τὰ γεωμετρούμενα, τοῦ ποσοῦ μέγεθος προσλαβόντος· τὰ δὲ στερεὰ, τοῦ μεγέθους βάθος· τὰ δ' ἀστρολογούμενα, τοῦ στερεοῦ κίνησιν· τὰ δὲ ἁρμονικὰ, τῷ κινουμένῳ σώματι φωνῆς προσγενομένης· ὅθεν ἀφαιροῦντες φωνὴν μὲν τῶν κινουμένων, κίνησιν δὲ τῶν στερεῶν, βάθος δὲ τῶν ἐπιπέδων, μέγεθος δὲ τῶν ποσῶν, ἐν αὐταῖς γενησόμεθα ταῖς νοηταῖς ἰδέαις, οὐδεμίαν διαφορὰν ἐχούσαις πρὸς ἀλλήλας κατὰ τὸ ἓν καὶ μόνον· οὐ γὰρ ποιεῖ μονὰς ἀριθμὸν, ἂν μὴ τῆς ἀπείρου δυάδος ἅψηται· ποιήσασα δὲ οὕτως ἀριθμὸν, εἰς στιγμὰς, εἶτα γραμμὰς, ἐκ δὲ τούτων εἰς ἐπιφανείας καὶ βάθη καὶ σώματα πρόεισι, καὶ σωμάτων ποιότητας ἐν πάθεσι γινομένων. ἔτι, τῶν μὲν νοητῶν ἓν κριτήριον ὁ νοῦς· καὶ γὰρ ἡ διάνοια νοῦς ἐστιν ἐν τοῖς μαθηματικοῖς, ὥσπερ ἐν κατόπτροις, ἐμφαινομένων [4] τῶν

1 Hanc veterem lectionem ut majoris & elegantiae & auctoritatis revocavit W. ex Ald. Baſ. Xyl. B. E. pro Steph. τοῦ μὲν ἀσωμάτου πέρας οἰκεῖον.

2 Ald. Baſ. τὰ νοήματα, & deinde cum Nogar. ὑποτιθεμένων.

3 Ald. Baſ. ἐπάγει, & deinde μαθητῶν, & porro ἐπ' ἀστρολόγοις. Xyl. ſubintelligit ὁ νοῦς. Melius Kaltw. verbum refert ad Platonem, id quod etiam W. in verſione Xyl. corrigit.

4 Ita cum W. dedi ex Turn. V. B. marg. E. Vulgo ἐκφαινομένων.

τῶν νοητῶν. ἐπὶ δὲ τὴν τῶν σωμάτων γνῶσιν ὑπὸ πλήθους πέντε δυνάμεις καὶ διαφορὰς αἰσθητηρίων ἡ φύσις ἔδωκεν ἡμῖν· καὶ οὐ πάντα φωρᾶται [1] ταύταις, ἀλλ᾽ ἐκφεύγει πολλὰ διὰ μικρότητα [2] τὴν αἴσθησιν. ἔτι, ὥσπερ [3] ἡμῶν ἑκάστου συνεστῶτος ἔκ τε τῆς ψυχῆς καὶ τοῦ σώματος, μικρὸν ἐστι τὸ ἡγεμονικὸν καὶ νοερὸν ἐν πολλῷ τῷ τῆς σαρκὸς ὄγκῳ κεκρυμμένον· οὕτως εἰκὸς ἔχειν ἐν τῷ παντὶ τὸ νοητὸν πρὸς τὸ αἰσθητόν [4]. καὶ γὰρ ἄρχει τὰ νοητὰ τῶν σωματικῶν· ἀρχῆς δὲ πάσης πλέον τὸ ἐξ αὐτῆς καὶ μεῖζον.

II. Πρὸς δὲ τοὐναντίον εἴποι τις ἄν· πρῶτον, ὅτι [5] συγκρίνοντες τὰ αἰσθητὰ τοῖς νοητοῖς, τρόπον τινὰ τὰ θνητὰ τοῖς θείοις ἐξισοῦμεν· ὁ γὰρ θεὸς ἐν τοῖς νοητοῖς. ἔπειτα πανταχοῦ δή που τὸ περιεχόμενον ἔλαττόν ἐστι τοῦ περιέχοντος· ἡ δὲ τοῦ παντὸς φύσις τῷ νοητῷ περιέχει τὸ αἰσθητόν. ὁ γὰρ θεὸς τὴν ψυχὴν εἰς τὸ μέσον θεὶς, διὰ παντός τ᾽ ἔτεινε, καὶ ἔξωθεν τὰ σώματα αὐτῇ περιεκάλυψεν. ἔστι δ᾽ ἀόρατος ἡ ψυχὴ, καὶ πάσαις ταῖς αἰσθήσεσιν ἀναίσθητος, ὡς ἐν τοῖς Νόμοις εἴρηται [6]. διὸ καὶ φθαρτὸς ἡμῶν εἷς ἕκαστός ἐστιν· ὁ δὲ κόσμος οὐ φθαρησόμενος. ἡμῶν μὲν γὰρ ἑκάστου [7] τὴν ζωτικὴν δύναμιν ἐντὸς περιέχει τὸ θνητοειδὲς καὶ διάλυτον. ἐν δὲ τῷ



1 Hanc lectionem, ut antiquam & probam, W. revocavit ex Ald. Baſ. Xyl. B. E. Vulgo ἐφορᾶται.

2 Vulgo εἰς μακρότητα. Xyl legendum monuit μικρότητα. & ita e Turn. V. Bong. notatur, dedique cum W. διὰ praemittente ex E. & B. & in μικρότητα conſentientibus Pol. Leonic. Schott. Anon. Affertur quoque e Turn. lectio τῇ σμικρότητι.

3 Vulgo ἐν ᾧ, καίπερ. Corruptum hoc, licet ſit in omnibus libris, judicat W. & corrigendum cenſet. Ἔτι, ὥσπερ —, & ita vertendo expreſſit. Promtiorem ad hoc reponendum me reddidit Nogar. cujus editio exhibet ἐν ᾧ καὶ ὥσπερ.

4 Ita W. ex B. & E. dedit pro vulg. τὸ αἰσθητὸν καὶ νοητόν.

5 Addidit W. ὅτι, quod vulgo abeſt, ex B. & E.

6 Opp. Plat. Vol. IX. pag. 95.

7 Ald. Baſ. ἕκαστος. Nogar. ἑκάστῳ.

κοσμῳ τȣναντίον, ὑπὸ τῆς κυριωτέρας ἀρχῆς [1] καὶ κατὰ τὰ αὐτὰ ὡσαυτως ἐχέσης ἀεὶ σώζεται τὸ σωματικὸν ἐν μέσῳ περιεχόμενον. καὶ μὴν ἀμερές γε [2] λέγεται καὶ ἀμέριϛον, τὸ μὲν σῶμα μικρότητι, τὸ δ᾽ ἀσώματον καὶ νοητὸν, ὡς ἁπλȣ̃ν, καὶ εἰλικρινὲς, καὶ καθαρὸν ἁπάσης ϛερεότητος [3] καὶ διαφορᾶς. καὶ ἄλλως εὔηθές ἐϛι, τοῖς σωματικοῖς τεκμαίρεσθαι περὶ τῶν ἀσωμάτων. τὸ γȣ̃ν Νῦν, ἀμερὲς μὲν καλεῖται καὶ ἀμέριϛον, ἅμα δὲ πανταχȣ̃ ἐνέϛηκε, καὶ ȣ̓δέν τι τῆς οἰκȣμένης μέρος αὐτȣ̃ ἔρημόν ἐϛιν· ἀλλὰ καὶ πάθη πάντα καὶ πράξεις, φθοραί τε πᾶσαι καὶ γενέσεις αἱ ὑπὸ τὸν κόσμον [4] ἐν τῷ Νῦν περιέχονται. κριτήριον δὲ τȣ̃ νοητȣ̃ μόνȣ [5] ἐϛὶν ὁ νȣ̃ς, ὡς φωτὸς ὄψις, δι᾽ ἁπλότητα καὶ ὁμοιότητα· τὰ δὲ σώματα πολλὰς διαφορὰς ἔχοντα καὶ ἀνομοιότητας, ἄλλοις ἄλλα κριτηρίοις, ὥσπερ ὀργάνοις, ἁλίσκεσθαι πέφυκεν. ἀλλὰ μὴν ȣ̓δὲ τῆς ἐν ἡμῖν νοητῆς καὶ νοερᾶς δυνάμεως καταφρονȣ̃σιν ὀρθῶς· πολλὴ γὰρ ȣ̓̃σα καὶ μεγάλη, περίεϛι παντὸς τȣ̃ αἰσθητȣ̃ [6], καὶ μέχρι τῶν θείων ἐξικνεῖται. τὸ δὲ μέγιϛον, αὐτὸς ἐν Συμποσίῳ διδάσκων [7], πῶς δεῖ τοῖς ἐρωτικοῖς χρῆσθαι, μετάγοντα τὴν ψυχὴν ἀπὸ τῶν αἰσθητῶν καλῶν ἐπὶ τὰ νοητὰ, παρεγγυᾷ, μήτε σώματός τινος μήτ᾽ ἐπιτηδεύματος μήτ᾽ ἐπιϛήμης κάλλει μιᾶς ὑποτετάχθαι καὶ δȣλεύειν, ἀλλ᾽

1 Vocem ἀρχῆς addidit W. ex B. & E. Vulgo abeſt.

2 Vulgo καὶ μὴ ἀμερές τε. Pro μὴ Xyl. voluit μὴν. Exhibet Turn. μὴν; V. μὲν. W. correctum dedit ex B. E. Anon.

3 Xyl. docente, vox ϛερεότης, ſoliditas, nihil hic niſi petitionem principii facit. Legendum conjicit ϛερήσεως, Ariſtotele duce L. III. περὶ ψυχῆς.

4 Ald. Baſ. Xyl. Nogar. καὶ ὑπὸ τȣ̃ κόσμȣ. Steph. pro καὶ dedit αἱ ex Schott. & Anon. Ex B. & E. recepit W. αἱ ὑπὸ τὸν κόσμον.

5 Petav. μόνον.

6 Petav. ἀγαθȣ̃.

7 Opp. Platon. X. p. 245.

ἀλλ' ἀποςάντα τῆς περὶ ταῦτα μικρολογίας ἐπὶ τὸ πολὺ τῦ καλῦ πέλαγος τρέπεϑαι.

## QVAEST. IV.

Τί δή ποτε τὴν ψυχὴν ἀεὶ πρεσβυτέραν ἀποφαίνων τῦ σώματος αἰτίαν τε τῆς ἐκείνυ γενέσεως καὶ ἀρχὴν, πάλιν φησὶν, ὀκ ἂν γενέϑαι ψυχὴν ἄνευ σώματος, ὐδὲ νῦν ἄνευ ψυχῆς, ἀλλὰ ψυχὴν μὲν ἐν σώματι, νῦν δ' ἐν τῇ ψυχῇ [1]; δόξει γὰρ τὸ σῶμα καὶ εἶναι καὶ μὴ εἶναι, συνυπάρχον ἅμα τῇ ψυχῇ καὶ γεννώμενον ὑπὸ τῆς ψυχῆς.

Ἢ τὸ [2] πολλάκις ὑφ' ἡμῶν λεγόμενον ἀληϑές ἐςιν; ἡ μὲν γὰρ ἄνυς ψυχὴ καὶ [3] τὸ ἄμορφον σῶμα συνυπῆρχον ἀλλήλοις ἀεὶ, καὶ ὐδέτερον αυτῶν γένεσιν ἔχεν ὐδ' ἀρχήν· ἐπεὶ δὲ ἡ ψυχὴ νῦ μετέλαβε καὶ ἁρμονίας, καὶ γενομένη διὰ συμφωνίας ἔμφρων, μεταβολῆς αἰτία γέγονε τῇ ὕλῃ, καὶ κρατήσασα ταῖς αὐτῆς κινήσεσι τὰς ἐκείνης ἐπεσπάσατο καὶ ἐπέςρεψεν [4], ὕτω τὸ σῶμα τῦ κοσμυ γένεσιν ἔχεν ὑπὸ τῆς ψυχῆς, καὶ καταχηματιζόμενον καὶ συνομοιύμενον. ὐ γὰρ ἐξ αὑτῆς ἡ ψυχὴ τὴν τῦ σώματος ἐδημιύργει φύσιν, ὐδ' ἐκ τῦ μὴ ὄντος, ἀλλ' ἐκ σώματος ἀτάκτυ καὶ ἀχηματίςυ σῶμα τεταγμένον ἀπειργάσατο καὶ πειϑήνιον. ὥσπερ ὖν εἴ φαίη τις, ἀεὶ τὴν τῦ σπέρματος δύναμιν εἶναι μετὰ σώματος, γεγονέναι μέντοι τὸ σῶμα τῆς συκῆς ἢ τῆς ἐλαίας ὑπὸ σπέρματος, ὐδὲν ἐρεῖ διάφωνον· αὐτὸ γὰρ τὸ σῶμα, κινήσεως αὐτῷ καὶ μεταβολῆς ὑπὸ τῦ σπέρματος ἐγγενομένης [5], ἔφυ τοιῦτο καὶ διεβλάστησεν·



1 Opp. Platon. IX, p. 80 sqq. 313. & IX, p. 305.

2 Sic, W. notante, omnes libri, excepto Steph. qui vulgavit ἢ τὸ πολλάκις.

3 abest καὶ ab Ald.

4 Petav. ἐπίτρεψεν.

5 Petav. γενομένης.

ϛησεν· ὅτως ἡ ἄμορφος ὕλη καὶ ἀόριϛος ὑπὸ τῆς ψυχῆς ἐνόσης σχηματισθεῖσα, μορφὴν ἔχε τοιαύτην καὶ διάθεσιν.

## QVAEST. V.

Διὰ τί, τῶν μὲν εὐθυγράμμων, τῶν δὲ κυκλικῶν σωμάτων καὶ σχημάτων ὄντων, τὰς τῶν εὐθυγράμμων ἀρχὰς ἔλαβε τὸ ἰσοσκελὲς τρίγωνον καὶ τὸ σκαληνόν; ὧν τὸ μὲν τὸν κύβον συνέϛησε γῆς ϛοιχεῖον ὄντα, τὸ δὲ σκαληνὸν τήν τε πυραμίδα καὶ τὸ ὀκτάεδρον, καὶ τὸ εἰκοσάεδρον, τὸ μὲν πυρὸς σπέρμα, τὸ δ' ἀέρος, τὸ δὲ ὕδατος γενόμενον· τὸ δὲ τῶν κυκλικῶν ὅλως παρῆκε, καίτοι μνησθεὶς τῦ σφαιροειδῦς, ἐν οἷς φησι τῶν κατηριθμημένων σχημάτων [1] ἕκαϛον σώματος περιφερῦς εἰς ἴσα διανεμητικὸν εἶναι;

Πότερον, ὡς ὑπονοῦσιν ἔνιοι, τὸ δωδεκάεδρον τῷ σφαιροειδεῖ προσένειμεν, εἰπὼν, ὅτι τῦτω πρὸς τὴν τῦ παντὸς ὁ θεὸς κατεχρήσατο φύσιν, ἐκεῖνο διαζωγραφῶν; καὶ γὰρ μάλιϛα τῷ πλήθει τῶν ϛοιχείων, ἀμβλύτητι δὲ τῶν γωνιῶν τὴν εὐθύτητα διαφυγὸν, εὐκαμπές ἐϛι, καὶ τῇ περιτάσει, καθάπερ αἱ δωδεκάσκυτοι σφαῖραι, κυκλοτερὲς γίνεται καὶ περιληπτικόν· ἔχει γὰρ εἴκοσι γωνίας ϛερεὰς, ὧν ἑκάϛην ἐπίπεδοι περιέχυσιν ἀμβλεῖαι τρεῖς· ἑκάϛη γὰρ ὀρθῆς ἐϛι καὶ πέμπτυ μορίυ [2]· συνήρμοϛαι δὲ καὶ συμπέπηγεν ἐκ δώδεκα πενταγώνων ἰσογωνίων καὶ ἰσοπλεύρων· ὧν ἕκαϛον ἐκ τριάκοντα τῶν πρώτων σκαληνῶν τριγώνων συνέϛηκε· διὸ καὶ δοκεῖ τὸν ζωδιακὸν ἅμα

1 Codex innominatus σωμάτων. Cf. Opp. Plat. Vol. IX. pag. 355. sq.

2 Nogar. legendum arbitratur, ἑκάϛη γὰρ ὀρθή ἐϛιν, & referendum ad id, quod paulo supra dictum eſt, ἔχει γὰρ εἴκοσι γωνίας ϛερεὰς, ut ſit ſenſus: unusquisque enim angulus rectus ſt, & ad quintam pertinet particulam.

ἅμα καὶ τὸν ἐνιαυτὸν ἀπομιμεῖσθαι ταῖς διανομαῖς τῶν μοιρῶν [1] ἰσαρίθμοις ἔσαις.

II. Ἢ πρότερόν ἐστι κατὰ φύσιν τὸ εὐθὺ τῦ περιφερῦς, μᾶλλον δὲ ὅλως πάθος τι τῆς εὐθείας ἡ περιφερής; κάμπτεσθαι γὰρ λέγεται τὸ ὀρθὸν, καὶ ὁ κύκλος γράφεται κέντρῳ καὶ διαστήματι· τῦτο δέ ἐστιν εὐθείας τόπος, ὑφ᾽ ἧς καὶ μετρεῖται· τὸ γὰρ περιέχον ἐκ τῦ μέσε πανταχόθεν ἴσον ἀφέστηκε. γεννᾶται δὲ καὶ κῶνος καὶ κύλινδρος ἀπ᾽ εὐθυγράμμων· ὁ μὲν, τριγώνε περὶ μίαν πλευρὰν μένεσαν τῇ ἑτέρᾳ πλευρᾷ καὶ τῇ βάσει περιενεχθέντος· ὁ δὲ κύλινδρος, παραλληλογράμμε [2] ταὐτὸ τῦτο παθόντος. ἔτι τῆς μὲν ἀρχῆς ἐγγυτέρω τὸ ἔλαττον, ἐλαχίστη δὲ πασῶν ἡ εὐθεῖα· τῆς γὰρ περιφερῦς τὸ μέν ἐστι κοῖλον, τὸ ἐντός· τὸ δὲ κυρτὸν, τὸ ἐκτός [3]· ἔτι, τῶν σχημάτων οἱ ἀριθμοὶ πρότεροι· καὶ γὰρ ἡ μονὰς τῆς στιγμῆς· ἔστι γὰρ ἡ στιγμὴ μονὰς ἐν θέσει· καὶ μὴν ἡ μονὰς [4] τρίγωνός ἐστι· πᾶς γὰρ τρίγωνος ἀριθμὸς ὀκτάκις γενόμενος, καὶ μονάδα προσλαβὼν, γίνεται τετράγωνος· τῦτο δὲ καὶ τῇ [5] μονάδι συμβέβηκε· πρότερον ἂν τῦ κύκλε τὸ τρίγωνον· εἰ δὲ τῦτο, καὶ εὐθεῖα τῆς περιφερῦς. ἔτι, τὸ στοιχεῖον εἰς [6] ἐδὲν διαιρεῖται τῶν συνισταμένων ἐξ αὐτῦ, τοῖς δ᾽ ἄλλοις εἰς τὸ στοιχεῖον ἡ διάλυσις· εἰ τοίνυν τὸ μὲν τρίγωνον εἰς ἐδὲν περιφερὲς διαλύεται, τὸν δὲ κύκλον εἰς τέτταρα

 τρί-

1 Petav. μερῶν.

2 Ita, W. notante omnes libri, exceptis Ald. & Steph. ubi est παρ᾽ ἀλληλογράμμε. Pro seq. ἔτι Ald. Baf. Petav. Nogar. ἐπεί.

3 Sic Steph. ad sententiam bene, W. judice, ex Pol. Leonic. Schott. Anon. Nam Ald. Baf. Xyl. Pet. κοῖλον· κυρτὸν δὲ τὸ ἐκτός. B. E. Venet. Voss. κοῖλον, τὸ δὲ κυρτὸν τὸ ἐκτός.

4 Quod hic de unitatis punctique natura dicitur, Xyl. monente videtur esse repetitum ex Aristot. Anal. poster. I, 23—25.

5 abest τῇ a Petav.

6 Ald. Baf, ὡς.

τρίγωνα [1] τέμνουσιν αἱ δύο διάμετροι, πρότερον ἂν τῇ Φύσει καὶ ςοιχειωδέςερον εἴη τῦ κυκλικῦ τὸ εὐθύγραμμον. ὅτι τοίνυν προηγέμενον μέν ἐςι τὸ εὐθύγραμμον, τὸ δὲ κυκλικὸν, ἐπιγινόμενον καὶ συμβεβηκὸς, αὐτὸς ὁ Πλάτων ἐνεδείξατο· τὴν γὰρ γῆν ἐκ κύβων συνεςηκυῖαν ποιήσας, ὧν ἕκαςον εὐθύγραμμοι περιέχυσιν ἐπιΦάνειαι, σΦαιροειδὲς αὐτῆς γεγονέναι τὸ σχῆμα Φησὶ καὶ ςρογγύλον. ὥστ᾽ ὐδὲν ἔδει ποιεῖν τῶν περιΦερῶν ἴδιον ςοιχεῖον, εἰ καὶ τοῖς εὐθυγράμμοις πρὸς ἄλληλα πως συναρμοττομένοις ὁ σχηματισμὸς ὗτος ἐπιγίνεσθαι πέΦυκεν.

III. Ἔτι, εὐθεῖα μὲν, ἥ τε μείζων, ἥ τε μικροτέρα, τὴν αὐτὴν εὐθύτητα διατηρεῖ, τὰς δὲ τῶν κύκλων περιΦερείας, ἂν ὦσι μικρότεραι, καμπυλωτέρας καὶ σΦιγγομένας τῇ κυρτότητι μᾶλλον ὁρῶμεν· ἂν δὲ μείζας, ἀνειμένας· ἱςάμενοι γῦν κατὰ τὴν κυρτὴν περιΦέρειαν, οἱ μὲν κατὰ σημεῖον, οἱ δὲ κατὰ γραμμὴν ἅπτονται τῶν ὑποκειμένων ἐπιπέδων· ὥςε ὑπονοήσειεν ἄν τις, εὐθείας κατὰ μικρὰ πολλὰς συντιθεμένας τὴν περιΦερῆ γραμμὴν ἀποτελεῖν.

IV. Ὅρα δὲ, μὴ τῶν ἐνταῦθα κυκλικῶν καὶ σΦαιροειδῶν ὐδέν ἐςιν ἀπηκριβωμένον, ἀλλ᾽ ἐνςάσει [2] καὶ περιτάσει τῶν εὐθυγράμμων, ἢ μικρότητι τῶν μορίων, τῆς διαΦορᾶς λανθανέσης, ἐπιΦαίνεται τὸ ςρογγύλον καὶ κυκλοειδές· ὅθεν ὐδὲ κινεῖται Φύσει τῶν ἐνταῦθα σωμάτων ἐγκυκλίως ὐδὲν, ἀλλ᾽ ἐπ᾽ εὐθείας ἅπαντα· τὸ δ᾽ ὄντως σΦαιροειδὰς ὐκ ἔςιν αἰθηρίυ σώματος, ἀλλὰ τῆς ψυχῆς καὶ τῦ νῦ ςοιχεῖον, οἷς καὶ τὴν κυκλοΦορητικὴν κίνησιν, ὡς προσήκυσαν κατὰ Φύσιν, ἀποδίδωσιν.

QVAEST.

1 absunt a Petav. εἰς τέτταρα τρίγωνα usque ad τὸ κυκλικόν.

2 Sic Baf. & w. junctim exhibent, rell. edd. divisim ἐν ςάσει. B. E. Exempl. Turn. ἐντάσει.

## QVAEST. VI.

Πῶς ποτε ἐν τῷ Φαίδρῳ λέγεται τὸ τὴν τοῦ πτεροῦ φύσιν, ὑφ᾽ ἧς ἄνω τὸ ἐμβριθὲς ἀνάγεται, κεκοινωνηκέναι μάλιστα τῶν περὶ τὸ σῶμα τοῦ θεοῦ [1];

Πότερον, ὅτι περὶ ἔρωτος ὁ λόγος ἐστί; κάλλους δὲ τοῦ περὶ τὸ σῶμα ὁ ἔρως, τὸ δὲ κάλλος ὁμοιότητι τῇ πρὸς τὰ θεῖα κινεῖ καὶ ἀναμιμνήσκει τὴν ψυχήν; ἢ μᾶλλον, οὐθὲν περιεργαστέον, ἀλλ᾽ ἁπλῶς ἀκουστέον, ὅτι, τῶν περὶ τὸ σῶμα τῆς ψυχῆς δυνάμεων πλειόνων οὐσῶν, ἡ διαλογιστικὴ καὶ διανοητικὴ μάλιστα τοῦ θείου κεκοινώνηκεν, ἣν τῶν θείων καὶ οὐρανίων ἔφησεν; ἣν οὐκ ἀπὸ τρόπου πτερὸν προσηγόρευσεν, ὡς τὴν ψυχὴν ἀπὸ τῶν ταπεινῶν καὶ θνητῶν ἀναφέρουσαν.

## QVAEST. VII.

Πῶς ποτέ φησιν ὁ Πλάτων, τὴν ἀντιπερίστασιν τῆς κινήσεως, διὰ τὸ μηδαμοῦ κενὸν ὑπάρχειν, αἰτίαν εἶναι τῶν περὶ τὰς ἰατρικὰς σικύας παθημάτων, καὶ τῶν περὶ τὴν κατάποσιν, καὶ τὰ ῥιπτούμενα βάρη [2], καὶ τὰ τῶν ὑδάτων ῥεύματα, καὶ κεραυνούς, τήν τε φαινομένην πρὸς ἤλεκτρα καὶ τὸν λίθον τὸν Ἡράκλειον ὁλκήν, τάς τε τῶν φθόγγων συμφωνίας; δόξει γὰρ ἀτόπως αἰτίαν παμπόλλων καὶ ἀνομοίων τῷ γένει ἐπάγειν [3] παθῶν.



1 Opp. Platon Vol. X. p. 321. in quo loco nequaquam de alae natura ſermo eſt, ſed de anima, utpote quae omnium, quae ſunt circa corpus, maxime particeps ſit divini. Hinc Kaltw. ſuſpicatur, Plutarchum vocem ψυχὴν aut neglexiſſe, aut in ſuo codice non habuiſſe. Nec vulgata loci Platonici lectio habet τοῦ θεοῦ ſed τοῦ θείου. Apud Nogar. autem citatur τοῦ θεοῦ. Xyl. & Amiot. vertendo male referunt hunc genitivum ad τὸ σῶμα, cum a κεκοινωνηκέναι pendeat.

2 Petav. μέρη.

3 Vulgo ἀνομοίων γένεσιν ὑπάγειν. Xyl. maluit ἐπάγειν, idquo

II. Τὸ μὲν [1] γὰρ περὶ τὴν ἀναπνοὴν, ὡς γίνεται τῇ ἀντιπεριστάσει τοῦ ἀέρος, αὐτὸς ἱκανῶς ἀποδέδειχε· τὰ δὲ λοιπὰ πάντα φήσας θαυματουργεῖσθαί τε καὶ εἶναι μηδὲν, περιωθεῖν τ' αὐτὰ ταῦτ' εἰς ἄλληλα, καὶ διαμείβεσθαι πρὸς τὰς αὐτῶν ἕδρας ἰόντα, τὴν καθ' ἕκαστον ἐξεργασίαν ἡμῖν ἀφῆκε.

III. Πρῶτον μὲν οὖν τὸ περὶ τὴν σικύαν τοιοῦτόν ἐστιν· ὁ περιληφθεὶς ὑπ' αὐτῆς πρὸς τῇ σαρκὶ μετὰ θερμότητος ἀὴρ ἐκπυρωθεὶς, καὶ γενόμενος τῶν τοῦ χαλκοῦ πόρων ἀραιότερος, ἐξέπεσεν οὐκ εἰς κενὴν χώραν, οὐ γὰρ ἐστιν, εἰς δὲ τὸν περιεστῶτα τὴν σικύαν ἔξωθεν ἀέρα, κἀκεῖνον ἀπέωσεν· ὁ δὲ τὸν πρὸ αὐτοῦ· καὶ τοῦτο πάσχων ἀεὶ καὶ ἄγων [2] ὁ ἔμπροσθεν ὑποχωρεῖ, τῆς κενουμένης γλιχόμενος χώρας, ἣν ὁ πρῶτος ἐξέλιπεν· οὕτω δὲ τῇ σαρκὶ περιπίπτων, ἧς ἡ σικύα δέδρακται, καὶ ἀναζέων [3] ἅμα συνεκθλίβει τὸ ὑγρὸν εἰς τὴν σικύαν.

IV. Ἡ δὲ κατάποσις [4] γίνεται τὸν αὐτὸν τρόπον. αἱ γὰρ περὶ τὸ στόμα καὶ τὸν στόμαχον κοιλότητες,

que notatur ex Anon. Turn. V, nec dare dubitavi. Pro γένεσιν recepi ex Nogar. τῷ γένει. W. fusp. corrigendum μία αἰτία — ὑπάγειν, vel μίαν — ἐπάγειν. Commode tamen fubaudiri poſſe videtur αὐτὴν fcil. ἀντιπερίστασιν. Cf. opp. Plat. Vol. IX. p. 409. fq.

1 Sic in R. correctum exhibetur, quod W. recepit ex E, Baſ. Xyl. Pol. Leonic. Schott. Petav. pro vulg. τὸν μέν.

2 W. corrigendum cenſet δρῶν, proxime excidiſſe quid fuſpicans, ita reſtituendum — ὁ ἔμπροσθεν ὑποχωρεῖ, ὁ δ' ὄπισθεν ἐπιχωρεῖ τῆς κενουμένης γλ. —.

3 Ita eſt in Bas. Reliquae edd. Ald. Nogar. Steph. Frft. R. ἀναξέων. In recipienda iſta lectione W. fum fecutus, qui hanc fubjungit notam: „Sic dedi quia omnes libri habent, exceptis Ald. & Steph. in quibus eſt ἀναξέων, quod ipſum non caret fpecie. Suſpicor tamen Auctorem fcripſiſſe — τῇ σαρκὶ περιπίπτων, ἧς ἡ σικύα δέδρακται, ἀναξαινομένῃ, συνεκθλίβει τ. ὑ. ε. τ. σ.

4 Petav. κατάπτωσις.

τες, ἀέρος ἀεὶ πλήρεις εἰσίν· ὅταν οὖν ἐμπιεσθῇ τὸ σιτίον ὑπὸ τῆς γλώττης, ἅμα καὶ τῶν παρισθμίων ἐνταθέντων, ἐκθλιβόμενος ὁ ἀὴρ πρὸς τὸν κρανὸν [1], ἔχεται τοῦ ὑποχωροῦντος, καὶ συνεπωθεῖ τὸ σιτίον.

V. Τὰ δὲ ῥιπτούμενα βάρη τὸν ἀέρα σχίζει μετὰ πληγῆς ἐκπεσόντα [2], καὶ διίστησιν· ὁ δὲ περιῤῥέων ὀπίσω, τῷ φύσιν ἔχειν ἀεὶ τὴν ἐρημουμένην χώραν διώκειν καὶ ἀναπληροῦν, συνέπεται τῷ ἀφιεμένῳ, τὴν κίνησιν συνεπιταχύνων.

VI. Αἱ δὲ τῶν κεραυνῶν πτώσεις, καὶ αὐταὶ ῥίψεσιν ἐοίκασιν. ἐκπηδᾷ γὰρ ὑπὸ πληγῆς ἐν τῷ νέφει γενομένης τὸ πυρῶδες εἰς τὸν ἀέρα· κἀκεῖνος ἀντιῤῥαγεὶς ὑποχωρεῖ, καὶ πάλιν εἰς ταυτὸ συμπίπτων ἄνωθεν, ἐξωθεῖ κάτω παρὰ φύσιν ἀποβιαζόμενος τὸν κεραυνόν.

VII. Τὸ δ' ἤλεκτρον οὐδὲν ἕλκει τῶν παρακειμένων, ὥσπερ οὐδ' ἡ σιδηρῖτις λίθος, οὐδὲ προσπηδᾷ τι τούτοις ἀφ' ἑαυτοῦ τῶν πλησίον· ἀλλ' ἡ μὲν λίθος τινὰς ἀποῤῥοίας ἐξίησιν ἐμβριθεῖς [3] καὶ πνευματώδεις, αἷς ὁ συνεχὴς ἀνασελλόμενος ἀὴρ ὠθεῖ τὸν πρὸ αὐτοῦ· κἀκεῖνος

1 W. ad hanc vocem haec adnotat: „Sic Steph. &, ut videtur, Cod. Venet. ex quo nil varietatis notatum: reliqui omnes πρὸς τὸ εἶκον: unde natum, in Variis Lect. ad calcem Graeco-Latinae πρὸς τὸν οἶκον. Credo utrumque ex veriore lectione ortum, quarum alterutram recipiendam: κρανὸν tantum, ex re to θύραθεν· τὸ εἶκον ex τὸν ἐκτός. Res concipienda ex ratione ἀντιπεριστάσεως." Addo equidem, jam in edit. Nogar. legi πρὸς τὸν οὐρανόν, & ab eodem verti: aër ad *palatum* elisus ipsum quod cedit, retinet, atque una cibum detrudit. Cf. de hac vocabuli κρανὸς significatione Hesych. in nota ad κρανὸς, nec non Τῆς ὑπερῴας, & Ὑπερῴα· ἡ τοῦ στόματος, & Κλωγμός. Hinc minus commode Kaltw. „so hængt sich die *in die Höhe* gepresste Luft an die weichende an."

2 Petav. ἐμπεσόντα.

3 Sic in R. jam legitur, quod W. recepit ex B. E. Voss. Anon. Petav. Exempl. Turn. & quod Amiot & Xyl. verterunt, pro ἐκβριθεῖς, quod in omnibus rell. exhibetur.

νος ἐν κύκλῳ περιϊὼν, καὶ ὑπονοςῶν αὖθις ἐπὶ τὴν κενωμένην χώραν, ἀποβιάζεται καὶ συνεφέλκεται τὸν σίδηρον. τὸ δ' ἤλεκτρον ἔχει μέν τι φλογοειδὲς ἢ πνευματικὸν, ἐκβάλλει δὲ τῦτο τρίψει [1] τῆς ἐπιφανείας, τῶν πόρων ἀνασομωθέντων· τὸ δὲ ταυτὸ μὲν ἐκπεσὸν ποιεῖ τῷ [2] τῆς σιδηρίτιδος, ἐφέλκεται δὲ τῶν πλησίον τὰ κϐφότατα καὶ ξηρότατα διὰ λεπτότητα καὶ ἀσθένειαν· ὃ γὰρ ἐςιν ἰσχυρὸν, ὐδ' ἔχει βάρος, ὐδὲ ῥύμην πλῆθος ἀέρος ἐξῶσαι δυναμένην, ᾧ τῶν μειζόνων, ὥσπερ ἡ σιδηρῖτις, ἐπικρατήσει. πῶς ὖν ὔτε λίθ.. ὔτε ξύλον ὁ ἀὴρ, ἀλλὰ τὸν σίδηρον μόνον ὠθεῖ, καὶ προσέλλει πρὸς τὸν λίθ.ν [3]; αὕτη δ' ἐςι μὲν ἀπορία κοινὴ πρός τε τὰς ὁλκῆ τῦ λίθυ, καὶ τὰς φορᾷ τῦ σιδήρυ τὴν σύμπηξιν οἰομένυς γίνεσθαι τῶν σωμάτων [4]. ὁ σίδηρος ὔτ' ἄγαν ἀραιός ἐςιν ὡς ξύλον, ὔτ' ἄγαν πυκνὸς, ὡς χρυσὸς, ἢ λίθος, ἀλλ' ἔχει πόρυς καὶ οἴμας [5] καὶ τραχύτητας διὰ τὰς ἀνωμαλίας τῷ ἀέρι συμμέτρυς· ὥςε μήτ' ἀπολισθαίνειν, ἀλλὰ ἕδραις τισὶν ἐνισχόμενον καὶ ἀντερείσεσι περιπλοκὴν σύμμετρον ἐχύσαις, ὡς ἂν ἐμπέσῃ πρὸς τὸν λίθον φερόμενος ἀποβιάζεσθαι καὶ προωθεῖν τὸν σίδηρον. τύτων μὲν ὖν τοιῦτός τις ἂν εἴη λόγος.

VIII. Ἡ δὲ τῶν ἐπὶ γῆς ὑδάτων ῥύσις ὐχ ὁμοίως εὐσύνοπτον ἔχει τὸν τῆς ἀντιπεριώσεως τρόπον. ἀλλὰ χρὴ καταμανθάνειν, τὰ λιμναῖα τῶν ὑδάτων ἀτρεμῦντα καὶ μένοντα, τῷ περικεχύσθαι [6] καὶ συναγαγεῖν πανταχόθεν

1 Petav. cum artic. τῇ τρίψει.

2 Ald. Baf. τό.

3 Legendum, quod W. monet, πρὸς τὴν λίθον.

4 Post σωμάτων lacunam esse in B. & E. lacunae loco in Voss. ἰλυσπᾷν, W. notat, & inde aliquid excidisse suspicatur, quanquam sententia nil requirere videatur.

5 Ita dando, W. sum secutus, quo teste omnes libri habent οἴμας, excepto uno Pol. οἶμας, quod Steph. recepit. Est tamen οἴμας jam in Nogar.

6 W. susp τῷ περικεχῶσθαι, & vertit: *quod quasi aggeribus inclusae sunt.* Nogar. exhibet ἐπισυναγαγεῖν, omisso καὶ.

χόθεν αὐτοῖς ἀκίνητον ἀέρα, μηδαμοῦ κενὴν ποιοῦντα χώραν. τὸ γοῦν ἐπιπολῆς ὕδωρ ἔν τε ταῖς λίμναις καὶ ἐν τοῖς πελάγεσι, δονεῖται καὶ κυμαίνεται, τοῦ ἀέρος σάλον λαμβάνοντος· ἕπεται γὰρ εὐθὺς μεθισαμένῳ καὶ συναποῤῥεῖ διὰ τὴν ἀνωμαλίαν· ἡ γὰρ κάτω πληγὴ τὴν κοιλότητα ποιεῖ τοῦ κύματος· ἡ δ' ἄνω τὸν ὄγκον, ἄχρις οὗ καταστῇ καὶ παύσηται, τῆς περιεχούσης τὰ ὑγρὰ χώρας ἱσαμένης [1]. αἱ ῥύσεις οὖν τῶν φερομένων ἀεὶ τὰ ὑποχωροῦντα τοῦ ἀέρος διώκουσαι, τοῖς δ' ἀντιπεριωθουμένοις ἐλαυνόμεναι, τὸ ἐνδελεχὲς καὶ ἀλώφητον ἔχουσι. διὸ καὶ φέρονται θᾶττον οἱ ποταμοὶ πληθύνοντες [2]. ὅταν δ' ὀλίγον ᾖ καὶ κοῖλον, ἵεται [3] τὸ ὑγρὸν ὑπ' ἀσθενείας, οὐχ ὑπείκοντος τοῦ ἀέρος, οὐδὲ πολλὴν ἀντιπερίστασιν λαμβάνοντος. οὕτω δὲ καὶ τὰ πηγαῖα τῶν ὑδάτων ἀναγκαῖόν ἐστιν ἀναφέρεσθαι, τοῦ θύραθεν ἀέρος εἰς τὰς κενουμένας [4] ἐν βάθει χώρας ὑποφερομένου, καὶ πάλιν θύραζε τὸ ὕδωρ ἐκπέμποντος. οἴκου δὲ βαθυσκίου καὶ περιέχοντος ἀέρα νήνεμον [5], ὕδατι ῥανθὲν ἔδαφος πνεῦμα ποιεῖ καὶ ἄνεμον, μεθισαμένου τοῦ ἀέρος ἐξ ἕδρας παρεμπίπτοντι τῷ ὑγρῷ, καὶ πληγὰς λαμβάνοντος. οὕτως ἐξωθεῖσθαί τε ὑπ' ἀλλήλων καὶ ἀνθυπείκειν ἀλλήλοις πέφυκεν· οὐκ οὔσης κενότη-

1 W. susp. ἐνισαμένης, *impediente.*

2 Petav. πληθύοντες. Ab eod. abest καὶ ante κοῖλον.

3 W. susp. legendum ἀνίεται, vel ἵσταται.

4 Ita in R. legitur, quod Amiot. & Xyl. verterunt, & W. recepit ex B. E. Venet. Voss. Turn. Petav. Vulgo κινουμένας.

5 Sic dando secutus sum W. qui haec adnotat: „Non dubitavi, sine libris, corrigere vulgatam ἢ νήνεμον, quam Steph. ex corrupta lectione Pol. Leonic. Schott. Anon. ἢ νήμενον confecit; recte quidem, modo ἢ abjecisset, quod est librarii notantis variam lectionem. Ald. Bas. Xyl. B. E. Voss. ἢ ἄνεμον. Venet. nil adfert diversitatis a Stephaniano lectione." Etiam Nogar. habet ἢ νήνεμον.

νότητος, ἐν ᾗ θάτερον ἱδρυνθὲν [1], ἐ μεθέξει τῆς θατέρε μεταβολῆς.

IX. Καὶ μὴν τὰ περὶ τῆς συμφωνίας αὐτὸς εἴρηκεν, ὃν τρόπον ὁμοιῦσι τὰς φθόγγες [2]. ὀξὺς μὲν γὰρ ὁ ταχὺς γίνεται, βαρὺς δὲ ὁ βραδύς [3]. διὸ καὶ πρότερον κινῦσι τὴν αἴσθησιν οἱ ὀξεῖς· ὅταν δὲ τέτοις ἤδη μαραινομένοις κα ἀπεληγῦσιν οἱ βραδεῖς ἐπιβάλωσιν ἀρχόμενοι, τὸ κραθὲν αὐτῶν δι' ὁμοιοπάθειαν, ἡδονὴν τῇ ἀκοῇ παρέχεν, ἣν συμφωνίαν καλῦσιν. ὅτι δὲ τέτων ὄργανον ὁ ἀήρ ἐςι, ῥᾴδιον συνιδεῖν ἐκ τῶν προειρημένων. ἔςι γὰρ ἡ φωνὴ πληγὴ τῦ αἰσθανομένυ δι' ὤτων ὑπ' ἀέρος· πλήττει γὰρ πληγεὶς ὁ αηρ ὑπὸ τῦ κινήσαντος, ἂν μὲν ᾖ σφοδρον, ὀξέως, ἂν δ' αμ...λὺ, μαλακώτεραν· ὃς δὴ σφόδρα καὶ συντόνως πληγεὶς προσμίγνυσι τῇ ἀκοῇ πρότερος, εἶτα περιϊὼν πάλιν καὶ καταλαμβάνων τὸν βραδύτερον, συνέπεται καὶ συμπαραπέμπει τὴν αἴσθησιν.

## QVAEST. VIII.

Πῶς λέγει τὰς ψυχὰς ὁ Τίμαιος εἴς τε γῆν καὶ σελήνην, καὶ τὰ ἄλλα ὅσα ὄργανα χρόνυ σπαρῆναι [4];

Πότερον ὕτως ἐκίνει τὴν γῆν, ὥσπερ ἥλιον καὶ σελήνην, καὶ τὰς πέντε πλανήτας, ὓς ὄργανα χρόνυ

ὀχ

[1] Secutus sum W. ita dantem ex B. E. Vofs. Petav. pro vulg. ἱδρυθὲν.

[2] Nogar. infr. legendum ὁμολογῦσιν οἱ φθόγγοι.

[3] Petav. inverso ordine βραδὺς δὲ ὁ βαρύς.

[4] Platon. Opp. Vol. IX. p. 328.

διὰ τὰς τροπὰς προσηγόρευε; καὶ ἔδει τὴν γῆν, ἰλλομένην [1] περὶ τὸν διὰ πάντων πόλον τεταμένον [2], μὴ μεμηχανῆσθαι συνεχομένην καὶ μένουσαν, ἀλλὰ στρεφομένην καὶ ἀνειλουμένην νοεῖν; ὡς ὕστερον Ἀρίσταρχος καὶ Σέλευκος ἀπεδείκνυσαν· ὁ μὲν, ὑποτιθέμενος μόνον· ὁ δὲ Σέλευκος, καὶ ἀποφαινόμενος. Θεόφραστος δὲ καὶ προσιστορεῖ [3], τῷ Πλάτωνι πρεσβυτέρῳ γενομένῳ μεταμελεῖν, ὡς οὐ προσήκουσαν ἀποδόντι τῇ γῇ τὴν μέσην χώραν τοῦ παντός.

II. Ἢ τούτοις μὲν ἀντίκειται πολλὰ τῶν ὁμολογουμένως ἀρεσκόντων τῷ ἀνδρί· μεταγραπτέον δὲ τὸ Χρόνου, Χρόνῳ, λαμβάνοντα ἀντὶ τῆς γενικῆς τὴν δοτικὴν, καὶ δεκτέον, ὄργανα μὴ τοὺς ἀστέρας, ἀλλὰ τὰ σώματα τῶν ζώων, λέγεσθαι· καθάπερ Ἀριστοτέλης ὡρίσατο τὴν ψυχὴν ἐνδελέχειαν [4] σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος. ὥστε τοιοῦτον [5] εἶναι τὸν λόγον· αἱ ψυχαὶ εἰς τὰ προσήκοντα ὀργανικὰ σώματα ἐν χρόνῳ κατεσπάρησαν. ἀλλὰ καὶ τοῦτο παρὰ τὴν δόξαν ἐστίν· οὐ γὰρ ἅπαξ ἀλλὰ πολλάκις ὄργανα χρόνου τοὺς ἀστέρας εἴρηκεν, ὅπου καὶ τὸν ἥλιον αὐτὸν εἰς διορισμὸν καὶ φυλακὴν ἀριθμῶν

1 W. ad h. v. notat: „Proba & antiqua lectio in Platone, quanquam edita ejus exempla habent εἰλουμένην, ut hoc loco Voss. nec multum diverse margo B. εἱλλουμένην. Omnes reliqui libri receptam obtinent. Vid. D. Ruhnken. ad Tim. Lex. Plat. Voc. Γῆν ἰλλομένην."

2 Ita dando secutus sum W. qui haec notat: „controversa quidem, tamen certior lectio: quam in hoc loco unus praebuit Voss. reliqui omnes τεταγμένον, ut multi Platonis libri."

3 Petav. simpl. ἱστορεῖ. Ab eodem abest proxime praecedens καί.

4 Xyl. ad h. v. notat, in animae definitione Aristotelea esse ἐντελέχειαν. Hanc scripturam exhibet Nogar.

5 Frst. & R. τοιούτων. Hinc e Petav. notatur τοιοῦτον, quod dedi e consensu reliquarum edd.

ριθμῶν χρόνȣ [1] γεγονέναι φησὶ μετὰ τῶν ἄλλων πλανητῶν.

III. Ἄριςον ȣ̂ν τὴν γῆν ὄργανον ἀκȣ́ειν χρόνȣ, μὴ κινȣμένην, ὥσπερ τȣ̀ς ἀςέρας, ἀλλὰ τῷ περὶ αὐτὴν [2] μένȣσαν ἀεὶ παρέχειν ἐκείνοις φερομένοις ἀνατολὰς καὶ δύσεις, αἷς τὰ πρῶτα μέτρα τῶν χρόνων, ἡμέραι καὶ νύκτες, ὁρίζονται· διὸ καὶ φύλακα καὶ δημιȣργὸν αὐτὴν ἀτρεκῆ νυκτὸς καὶ ἡμέρας προσεῖπε· καὶ γὰρ οἱ τῶν ὡρολογίων γνώμονες ȣ̓ συμμεθιςάμενοι ταῖς σκιαῖς, ἀλλὰ ἑςῶτες, ὄργανα καὶ χρόνȣ μέτρα γεγόνασι, μιμȣ́μενοι τῆς γῆς τὸ ἐπιπροσθȣ̂ν τῷ ἡλίῳ περὶ αὐτὴν ὑποφερομένῳ, καθάπερ εἶπεν Ἐμπεδοκλῆς·

Νύκτα δὲ γαῖα τίθησιν, ὑφιςαμένη φάεσσι.

τȣ̂το μὲν ȣ̂ν τοιαύτην ἔχει τὴν ἐξήγησιν.

IV. Ἐκεῖνο δὲ μᾶλλον ἄν τις ὑπίδοιτο, μὴ παρὰ τὸ εἰκὸς ὁ ἥλιος καὶ ἀτόπως λέγηται μετὰ τῆς σελήνης καὶ τῶν πλανητῶν εἰς διορισμὸν χρόνȣ γεγονέναι. καὶ γὰρ ἄλλως μέγα τȣ̂ ἡλίȣ τὸ ἀξίωμα· καὶ ὑπ' αὐτȣ̂ Πλάτωνος ἐν Πολιτείᾳ βασιλεὺς ἀνηγόρευται παντὸς τȣ̂ αἰσθητȣ̂ καὶ κύριος, ὥσπερ τȣ̂ νοητȣ̂ τὸ ἀγαθόν· ἐκείνȣ γὰρ ἔκγονος [3] λέγεται, παρέχων τοῖς ὁρατοῖς μετὰ τȣ̂ φαίνεσθαι τὸ γίνεσθαι· καθάπερ ἀπ' ἐκείνȣ τὸ εἶναι καὶ τὸ γινώσκεσθαι τοῖς νοητοῖς ὑπάρχει. τὸν δὴ τοιαύτην φύσιν ἔχοντα καὶ δύναμιν τηλικαύτην θεὸν, ὄργανον χρόνȣ γεγονέναι καὶ μέτρον ἐναργὲς τῆς πρὸς ἀλλήλας βραδυτῆτι καὶ τάχει τῶν ὀκτὼ σφαιρῶν διαφορᾶς, ȣ̓ πάνυ δοκεῖ πρεπῶδες ȣ̓δ' ἄλλως εὔλογον εἶναι. ῥητέον ȣ̂ν, τȣ̀ς ὑπὸ τȣ́των ταραττομένȣς δι' ἄγνοιαν οἴεσθαι,

τὸν

1 Ald. Baf. Petav. ἀριθμῶν χρόνῳ. Xyl. ex fenfu & ex ipfo Platon. loco corrigendum monuit. Frft. & R. vitiofe ἀριθμὸς χρόνȣ. V. χρονον.

2 Sic cum W. ex Petav. dedi. Vulgo αὐτήν.

3 Petav. ἔγγονος. Locus Platonis eft L. VI. de republ. opp. Vol. VII. p. 118.

τὸν χρόνον μέτρον εἶναι κινήσεως καὶ ἀριθμὸν κατὰ πρότερον καὶ ὕστερον, ὡς Ἀριστοτέλης εἶπεν· ἢ τὸ ἐν κινήσει ποσὸν, ὡς Σπεύσιππος· ἢ διάστημα κινήσεως, ἄλλο δ' οὐδὲν, ὡς ἔνιοι τῶν Στωϊκῶν· ἀπὸ συμβεβηκότος ὁριζόμενοι, τὴν δ' [1] οὐσίαν αὐτοῦ καὶ τὴν δύναμιν οὐ συνορῶντες, ἥν ὅ τε Πίνδαρος ἔοικεν οὐ φαύλως ὑπονοῶν, εἰπεῖν·

Ἄνα τῶν πάντων ὑπερβάλλοντα χρόνον μακάρων [2].

ὅ τε Πυθαγόρας, ἐρωτηθεὶς, τί χρόνος ἐστὶ, τὴν τοῦ οὐρανοῦ [3] ψυχὴν εἰπεῖν. οὐ γὰρ πάθος οὐδὲ συμβεβηκὸς ἧς ἔτυχε κινήσεως ὁ χρόνος ἐστὶν, αἰτία δὲ καὶ δύναμις καὶ ἀρχὴ τῆς πάντα συνεχούσης τὰ γινόμενα συμμετρίας καὶ τάξεως, ἣν ἡ τοῦ ὅλου φύσις ἔμψυχος οὖσα κινεῖται· μᾶλλον δὲ κίνησις οὖσα καὶ τάξις αὕτη καὶ συμμετρία, χρόνος καλεῖται·

Πάντα γὰρ, δι' ἀψόφου
Βαίνων κελεύθου, κατὰ δίκην τὰ θνητὰ ἄγει [4].

καὶ γὰρ ἡ ψυχῆς οὐσία, κατὰ τοὺς παλαιοὺς, ἀριθμὸς ἦν αὐτὸς ἑαυτὸν κινῶν. διὸ δὴ καὶ Πλάτων ἔφη, χρόνον ἅμα μετ' οὐρανοῦ γεγονέναι, κίνησιν δὲ καὶ πρὸ τῆς τοῦ οὐρανοῦ γενέσεως. χρόνος δ' οὐκ ἦν· οὐδὲ γὰρ τάξις, οὐδὲ μέτρον οὐδὲν, οὐδὲ διορισμὸς, ἀλλὰ κίνησις ἀόριστος, ὥσπερ ἄμορφος ὕλη χρόνου καὶ ἀσχημάτιστος. ἐπικλύ-

σασα

1 abest δ' a Petav. nec non mox sequens τε post ἣν ὅ.

2 Schneideri fragm. Pindar. p. 95.

3 Ald. Bas. Petav. pro τοῦ οὐρανοῦ habent τούτου. Hinc Xyl. notat, τούτου mundum videri significare, aut potius locum esse mancum. Nogar. τὴν τοῦ οὐρανοῦ ἢ τοῦ ὅλου ψ. In adnotatione se correxisse monet τοῦ ὅλου, neque tamen sibi satisfecisse, W. judice. Steph. τοῦ οὐρανοῦ recepisse videtur ab Amiot. & Turn. & est lectio non satis certae auctoritatis, omnibus aliis libris habentibus τούτου.

4 Cum Nogar. distinxi ut versus Euripid. in Troad. jam laudatos Cap. 75. de Is. & Osir. Vol. IX. p. 204. sq.

σασα δ' ἐν χρόᾳ καὶ καταβαλȣ̃σα [1], τὴν μὲν ὕλην σχήμασι, τὴν δὲ κίνησιν περιόδοις, τὴν μὲν κόσμον ἅμα, τὴν δὲ χρόνον ἐποίησεν. εἰκόνες [2] δέ εἰσιν ἄμφω τȣ̃ θεȣ̃, τῆς μὲν ȣ̓σίας ὁ κοσμος, τῆς δ' ἀϊδιότητος ὁ [3] χρόνος ἐν κινήσει, καθάπερ ἐν γενέσει θεὸς ὁ κόσμος. ὅθεν ὁμȣ̃ γεγονότας Φησὶν ὁμȣ̃ καὶ λυθήσεσθαι πάλιν, ἄν τις αὐτȣ̀ς καταλαμβάνῃ λύσις. ȣ̓ γὰρ οἷόν τε [4] χωρὶς χρόνȣ τὸ γεννητὸν, ὥσπερ ȣ̓δὲ τὸ νοητὸν, αἰῶνος· εἰ μέλλει τὸ μὲν [5] ἀεὶ μένειν, τὸ δὲ μηδέποτε διαλύεσθαι γινόμενον. ȣ̔́τως ȣ̓̃ν ἀναγκαίαν πρὸς τὸν ȣ̓ρανὸν ἔχων συμπλοκὴν καὶ συναρμογὴν ὁ χρόνος, ȣ̓χ ἁπλῶς ἐςὶ [6] κίνησις, ἀλλ', ὥσπερ εἴρηται, κίνησις ἐν τάξει μέτρον ἐχȣ́σῃ καὶ πέρατα καὶ περιόδȣς· ὧν ὁ ἥλιος ἐπιςάτης ὢν καὶ σκοπὸς, ὁρίζειν καὶ βραβεύειν καὶ ἀναδεικνύναι καὶ ἀναΦαίνειν μεταβολὰς καὶ ὥρας, αἳ πάντα Φέρȣσι, καθ' Ἡράκλειτον, ȣ̓δὲ Φαύλων ȣ̓δὲ μικρῶν, ἀλλὰ τῶν μεγίςων καὶ κυριωτάτων τῷ ἡγεμόνι καὶ πρώτῳ θεῷ γίνεται συνεργός.

## QVAEST. IX.

Περὶ τῶν τῆς ψυχῆς δυνάμεων ἐν Πολιτείᾳ Πλάτωνος τὴν τȣ̃ λογικȣ̃ καὶ θυμοειδȣ̃ς καὶ ἐπιθυμητικȣ̃ συμΦωνίαν

1 Voces ἐπικλύσασα δ' ἐν χρόᾳ cum Xyl. in verſione omittit Kaltw. ut plane obſcuras. W. locum inde ab ὕλῃ χρόνȣ usque ad καταβαλȣ̃σα foede corruptum eſſe notat. Delendum cenſet χρόνȣ; deinde monſtrum lectionis ἐπικλύσασα δ' ἐν χρόᾳ quomodo expurget neſcire ſe fatetur, niſi forte legendo ἐπακολȣθήσασα δὲ συμμετρίᾳ. Poſtremum in καταλαβȣ̃σα mutari vult, re ipſa flagitante. Nogar. vertit: Verum anima cum materiae quaſi ſuperne tectorium induxiſſet, atque eam figuris complexa eſſet, & motum converſionibus comprehendiſſet.

2 Ald. Baſ. Petav. Xyl. Nogar. εἰκότως.

3 abeſt articulus ap. Ald. Baſ. Petav. Nogar.

4 W. monente addendum εἶναι.

5 Addidit W. μὲν ex Jannot. Vulgo abeſt.

6 Addidit W. ἐςὶ ex Voſs. Vulgo abeſt.

φωνίαν ἁρμονίᾳ μέσης καὶ ὑπάτης καὶ νήτης εἰκάσαντος ἄριστα, διαπορήσειεν ἄν τις, πότερον κατὰ τῆς μέσης τὸ θυμοειδὲς ἢ τὸ λογιστικὸν ἔταξεν [1]. οὗτος γὰρ ἔν γε τούτοις ἐ δεδήλωκεν. ἡ μὲν οὖν κατὰ τόπον τῶν μερῶν τάξις εἰς τὴν τῆς μέσης χώραν τίθεται τὸ θυμοειδὲς, τὸ δὲ λογιστικὸν [2], εἰς τὴν τῆς ὑπάτης. τὸ γὰρ ἄνω καὶ πρῶτον, [3] ὕπατον οἱ παλαιοὶ προσηγόρευον· ᾗ καὶ Ξενοκράτης, Δία, τὸν ἐν μὲν τοῖς κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσιν, ὕπατον καλεῖ, νέατον δὲ, τὸν ὑπὸ [3] σελήνην· πρότερον δὲ Ὅμηρος τὸν τῶν ἀρχόντων ἄρχοντα θεὸν, ὕπατον κρειόντων προσεῖπε. καὶ δικαίως τῷ κρατίστῳ ἀποδέδωκε τὴν ἄνω χώραν ἡ φύσις, ὥσπερ κυβερνήτην ἐνιδρύσασα τῇ κεφαλῇ τὸν λογισμὸν, ἔσχατον δὲ καὶ νέατον ἀποικίσασα πόῤῥω τὸ ἐπιθυμητικόν. ἡ γὰρ κάτω νεάτη προσαγορεύεται τάξις, ὡς δηλοῦσιν αἱ τῶν νεκρῶν κλήσεις νερτέρων καὶ ἐνέρων προσαγορευομένων· ἔνιοι δὲ καὶ τῶν ἀνέμων φασὶ τὸν κάτωθεν ἐκ τοῦ ἀφανοῦς πνέοντα, νότον ὠνομάσθαι. ἣν οὖν τὸ ἔσχατον ἔχει πρὸς τὸ πρῶτον ἀντίθεσιν, καὶ τὸ νέατον πρὸς τὸ ὕπατον, ταύτην τοῦ ἐπιθυμητικοῦ πρὸς τὸ λογικὸν [4] ἔχοντος, οὐκ ἔστιν ἀνωτάτω μὲν εἶναι καὶ πρῶ-[5]τον, ὕπατον δὲ μὴ εἶναι τὸ λογιστικὸν, ἀλλὰ ἕτερον. οἱ γὰρ ὡς κυρίαν δύναμιν αὐτῷ τὴν τῆς μέσης ἀποδιδόντες, ἀγνοοῦσιν, ὅτι τὴν κυριωτέραν ἀφαιροῦνται τὴν τῆς ὑπάτης, μήτε τῷ θυμῷ μήτε τῇ ἐπιθυμίᾳ, προσήκουσαν· ἑκάτερον γὰρ ἄρχεσθαι καὶ ἀκολουθεῖν, οὐδέτερον δ' ἄρχειν ἢ ἡγεῖσθαι τοῦ λογιστικοῦ πέφυκεν. ἔτι δὲ μᾶλλον τῇ φύ-



1 Plat. Opp. Vol. VI. p. 375. Pro λογιστικὸν Petav. h. l. & infra λογικόν. Reposui deinde cum W. οὗτος. Lectio omnibus libris communis, W. tamen judice corrupta, quam Steph. in deterius οὕτως mutavit, & in αὐτὸς mutanda.

2 a Petav. absunt τὸ δὲ λογιστικὸν usque ad προσηγόρευον.

3 Xyl. susp. νέατον δὲ, τὸν ἐν τοῖς ὑπὸ σελ. Petav. deinde πρότερος. Locus Hom. est Iliad. VIII, 31

4 Ita W. sumsit ab E. Venet. Voss. Vulgo λογικόν.

σει φανεῖται τὸ θυμοειδὲς τῷ τόπῳ τὴν μέσην ἔχον ἐκείνων τάξιν· εἴ γε δὴ τῷ μὲν λογιστικῷ τὸ ἄρχειν, τῷ δὲ θυμοειδεῖ τὸ ἄρχεσθαι καὶ τὸ ἄρχειν κατὰ φύσιν ἐστὶν, ὑπηκόῳ μὲν ὄντι τοῦ λογισμοῦ, κρατοῦντι δὲ καὶ κολάζοντι τὴν ἐπιθυμίαν, ὅταν ἀπειθῇ τῷ λογισμῷ. καὶ καθάπερ ἐν γράμμασι τὰ ἡμίφωνα μέσα τῶν ἀφώνων ἐστὶ καὶ τῶν φωνηέντων, τῷ πλέον ἐκείνων ἠχεῖν [1], ἔλαττον δὲ τούτων· οὕτως ἐν τῇ ψυχῇ τοῦ ἀνθρώπου τὸ θυμοειδὲς οὐκ ἀκράτως παθητικόν ἐστιν, ἀλλὰ φαντασίαν καλοῦ πολλάκις ἔχει μεμιγμένην ἀλόγῳ [2] τῇ τῆς τιμωρίας ὀρέξει. καὶ Πλάτων αὐτὸς, εἰκάσας συμφύτῳ ζεύγει καὶ ἡνιόχῳ τὸ τῆς ψυχῆς εἶδος, ἡνίοχον μὲν, ὡς παντὶ δῆλον, ἀπέφηνε τὸ λογιστικόν· τῶν δ' ἵππων, τὸ μὲν περὶ τὰς ἐπιθυμίας, ἀπειθὲς καὶ ἀνάγωγον παντάπασι, περὶ ὦτα λάσιον [3], κωφὸν, μάστιγι μετὰ κέντρων μόγις ὑπεῖκον· τὸ δὲ θυμοειδὲς, εὐήνιον τὰ πολλὰ τῷ λογισμῷ καὶ σύμμαχον. ὥσπερ οὖν συνωρίδος οὐχ ὁ ἡνίοχός ἐστιν ἀρετῇ καὶ δυνάμει μέσος, ἀλλὰ τῶν ἵππων ὁ φαυλότερος μὲν τοῦ ἡνιόχου, βελτίων δὲ τοῦ ὁμοζύγου, οὕτω τῆς ψυχῆς οὐ τῷ κρατοῦντι τὴν μέσην ἀπένειμε τάξιν, ἀλλ' ᾧ πάθους μὲν ἧττον ἢ τῷ πρώτῳ, λόγου δὲ μᾶλλον ἢ τῷ τρίτῳ μέτεστιν.

1 Lectio haec a Steph. sumta est e Pol. Leonic. Schott. Anon. Judice tamen W. non plane repudiandum erat ἔχειν, quod habent Ald. Bas. Xyl. Nogar. B. E. Venet. Voss. E Petav. notatur τὸ pro τῷ & ἔχειν pro ἠχεῖν.

2 Ald. Bas. Nogar. ἀλόγως. Hinc Xyl. notat, sensum poscere εὐλόγως aut οὐκ ἀλόγως, nisi forte malis ἀλόγῳ, quod Steph. dedit. Pro τιμωρίας Petav. μωρίας.

3 Vulgo περὶ ᾧ ταλάσιον. Hinc jam Xyl. περὶ ὦτα λάσιον ex Plat. Phaedr. ( Vol. X. p. 335. ) legendum monuit. Corrupta tamen lectio in edd. locum obtinuit, excepta Nogar. in qua melior exhibetur. Dedi eandem cum W. consentientibus B. E. Voss. Turn. V.

ἐστιν [1]. αὕτη γὰρ ἡ τάξις καὶ τὴν τῶν συμφωνιῶν ἀναλογίαν φυλάσσει, τοῦ μὲν θυμοειδοῦς πρὸς τὸ λογιστικὸν [2], ὡς ὑπάτην τὸ διὰ τεσσάρων· πρὸς δὲ τὸ ἐπιθυμητικὸν, ὡς νήτην τὸ διὰ πέντε· τοῦ δὲ λογιστικοῦ πρὸς τὸ ἐπιθυμητικὸν, ὡς ὑπάτη πρὸς νήτην τὸ διὰ πασῶν. ἐὰν δὲ τὸν λογισμὸν εἰς τὸ μέσον ἕλκωμεν, ἔσται πλέον ὁ θυμὸς ἀπέχων τῆς ἐπιθυμίας, ὃν ἔνιοι τῶν φιλοσόφων ἐπιθυμίᾳ ταὐτὸν εἶναι δι' ὁμοιότητα νομίζουσιν.

II. Ἢ τὸ μὲν τοῖς τόποις ἀπονέμειν τὰ πρῶτα καὶ τὰ μέσα καὶ τὰ τελευταῖα, γελοῖόν ἐστιν, αὐτὴν τὴν ὑπάτην ὁρῶντας ἐν μὲν λύρᾳ τὸν ἀνωτάτω καὶ πρῶτον, ἐν δ' αὐλοῖς τὸν κάτω καὶ τὸν τελευταῖον ἐπέχουσαν, ἔτι δὲ τὴν μέσην ἐν ᾧ τις ἂν χωρίῳ τῆς λύρας θέμενος ὡσαύτως ἁρμόσηται, φθεγγομένην ὀξύτερον μὲν ὑπάτης, βαρύτερον δὲ νήτης. καὶ γὰρ ὀφθαλμὸς οὐκ ἐν παντὶ ζώῳ τὴν αὐτὴν ἔχει τάξιν, ἐν παντὶ δὲ καὶ πανταχοῦ κείμενος κατὰ φύσιν ὁρᾶν ὁμοίως πέφυκεν. ὥσπερ οὖν ὁ παιδαγωγὸς, καὶ πρόσθεν καὶ ὄπισθεν βαδίζων, ἄγειν λέγεται· καὶ ὁ τῶν Τρώων στρατηγὸς,

Ὁτὲ μέν τε μετὰ πρώτοισι φάνεσκεν,
Ἄλλοτε δ' ἐν πυμάτοισι κελεύων [3].

ἑκατέρωθι δ' ἦν πρῶτος, καὶ τὴν πρώτην δύναμιν εἶχεν· οὕτω τὰ τῆς ψυχῆς μόρια δεῖ μὴ τοῖς τόποις καταβιάζεσθαι, μηδὲ τοῖς ὀνόμασιν, ἀλλὰ τὴν δύναμιν καὶ τὴν ἀναλογίαν ἐξετάζειν. τὸ γὰρ τῇ θέσει πρῶτον ἱδρῦσθαι τὸ λογιστικὸν ἐν τῷ σώματι τοῦ ἀνθρώπου,

 κατὰ

1 Nec ad sententiam, nec ad nexum recte, W. judice, qui scriptum fuisse putat ab auctore, ἀλλ' ᾧ πάθους μὲν ἧττον ἢ τῷ τρίτῳ, μᾶλλον δὲ ἢ τῷ πρώτῳ, λόγου δὲ μᾶλλον ἢ τῷ τρίτῳ, ἧττον δὲ ἢ τῷ πρώτῳ μέτεστιν.

2 Ita W. ex Vols & Petav. dedit. Vulgo λογικὸν. Post ὑπάτην deinde Petav. inferit πρὸς νήτην.

3 Iliad. XI, 64. 65.

κατὰ συμβεβηκός ἐςι· τὴν δὲ πρώτην ἔχει καὶ κυριωτάτην δύναμιν, ὡς μέση πρὸς ὑπάτην μὲν τὸ ἐπιθυμητικὸν, νήτην δὲ τὸ θυμοειδὲς, τῷ [1] χαλᾷν καὶ ἐπιτείνειν, καὶ ὅλως συνῳδὰ καὶ σύμφωνα ποιεῖν, ἑκατέρȣ την ὑπερβολὴν ἀφαιρῶν, καὶ πάλιν ȣκ ἐῶν ἀνίεσθαι παντάπασιν, ȣδὲ καταδαρθάνειν, τὸ γὰρ μέτριον καὶ σύμμετρον ὁρίζεται μεσότητι. μᾶλλον δὲ τȣτ᾽ ἀτελές [2] ἐςι τῆς τȣ͂ λόγȣ δυνάμεως, μεσότητας ἐν τοῖς πάθεσι ποιεῖν, ἃς ἱερὰς καλȣ͂σιν ȣσίας, ἐχȣ͂σας τὴν τῶν ἄκρων πρὸς τὸν λόγον καὶ πρὸς ἄλληλα διὰ τȣ͂ λόγȣ σύγκρασιν. ȣ γὰρ ἡ συνωρὶς μέσον ἔχει τῶν ὑποζυγίων τὸ κρεῖττον· ȣδὲ τὴν ἡνιοχείαν ἀκρότητα θετέον, ἀλλὰ μεσότητα τῆς ἐν ὀξύτητι καὶ βραδύτητι τῶν ἵππων ἀμετρίας· ὥσπερ ἡ τȣ͂ λόγȣ δύναμις ἀντιλαμβανομένη κινȣμένων ἀλόγως [3] τῶν παθῶν, καὶ συναρμόττȣσα περὶ αὑτὴν εἰς τὸ μέτριον, ἐλλείψεως καὶ ὑπερβολῆς μεσότητα καθίςησι.

## QVAEST. X.

Διὰ τί Πλάτων εἶπε, τὸν λόγον ἐξ ὀνομάτων καὶ ῥημάτων κεράννυσθαι [4]; δοκεῖ γὰρ πάντα, πλὴν δυεῖν τȣ́των, τὰ μέρη τȣ͂ λόγȣ μηθέν· Ὅμηρον δὲ καὶ νεανιευσάμενον εἰς ἕνα ςίχον ἐμβαλεῖν ἅπαντα τȣ͂τον·

Αὐτὸς ἰὼν κλισίηνδε τὸ σὸν γέρας· ὄφρ᾽ εὖ εἰδῇς [5].

καὶ γὰρ ἀντωνυμία, καὶ μετοχὴ, καὶ ὄνομα, καὶ ῥῆμα, καὶ πρόθεσις, καὶ ἄρθρον, καὶ σύνδεσμος, καὶ ἐπ-

1 Sic Nogar. dedique cum W. idem ex Voſs. Leonic. Schott. Anon. ſumente pro vulg. τὸ χ.

2 W. legendum cenſet μᾶλλον δὲ αὐτὸ τȣ͂το τέλος. e Voſs. αὐτὸ notans, & ita vertens: *atque adeo hic ipſe eſt finis.* Ad eandem ſententiam accedit Kaltw. cum Amiot.

3 Petav. ἀλόγων.

4 Opp. Plat. II. p. 292.

5 Iliad. I. 185.

ἐπίῤῥημα ἔνεςι. τὸ γὰρ [1] Δὲ μόριον νῦν αντὶ τῆς Εἰς προθέσεως τέτακται· τὸ γὰρ Κλισίηνδε, τοιȣ̃τον ἐςὶν, οἷον το Ἀθήναζε. τί δὴ ῥητέον ὑπὲρ τȣ̃ Πλάτωνος;

Ἢ ὅτι πρῶτον λόγον οἱ παλαιοὶ, τὴν τότε καλȣμένην πρότασιν, νῦν δ' ἀξίωμα, προσηγόρευον, ὃ πρῶτον λέγοντες, ἀληθεύȣσιν ἢ ψεύδονται; τȣ̃το δ' ἐξ ὀνόματος καὶ ῥήματος συνέςηκεν, ὧν τὸ μὲν πτῶσιν οἱ διαλεκτικοὶ, τὸ δὲ κατηγόρημα καλȣ̃σιν. ἀκȣ́σαντες γὰρ, ὅτι Σωκράτης Φιλοσοφεῖ, καὶ πάλιν, ὅτι Σωκράτης τρέπεται, τὸν μὲν, ἀληθῆ λόγον εἶναι, τὸν δὲ, ψευδῆ φήσομεν, ȣ̓δενὸς ἄλλȣ προσδεηθέντες. καὶ γὰρ εἰκὸς, ἀνθρώπȣς ἐν χρείᾳ λόγȣ τοπρῶτον καὶ Φωνῆς ἐνάρθρȣ γενέσθαι, τάς τε πράξεις καὶ τȣ̀ς πράττοντας αὐτὰς καὶ τὰ πάθη καὶ τȣ̀ς πάσχοντας ἀλλήλοις διασαφεῖν καὶ ἀποσημαίνειν βȣλομένȣς. ἐπεὶ τοίνυν τῷ μὲν ῥήματι τὰ πράγματα καὶ τὰ πάθη, τῷ δ' ὀνόματι τȣ̀ς πράττοντας αὐτὰ καὶ πάσχοντας ἀποχρώντως δηλȣ̃μεν, ὡς αὐτὸς εἴρηκε, ταῦτα σημαίνειν ἔδοξε· τὰ δ' ἄλλα Φαίη τις ἂν ȣ̓ σημαίνειν, οἷον οἱ ςεναγμοὶ καὶ ὀλολυγμοὶ τῶν ὑποκριτῶν· καὶ νὴ Δία πολλάκις ἐπιμειδίασις καὶ ἀποσιώπησις ἐμφαντικώτερον ποιεῖ τὸν λόγον, ȣ̓ μὴν ἀναγκαίαν ἔχει [2] πρὸς τὸ σημαίνειν, ὡς τὸ ῥῆμα, καὶ τȣ̓́νομα, δύναμιν, ἀλλ' ἐπιθετόν τινα ποικίλλȣσαν τὸν λόγον· ὥσπερ τὰ ςοιχεῖα ποικίλλȣσιν οἱ τὰ πνεύματα καὶ τὰς δασύτητας αὐτῶν, ἐκτάσεις τε καὶ συςολὰς ἐνίων αὐτὰ καθ' αὐτὰ ςοιχεῖα τιθέμενοι, πάθη μᾶλλον ὄντα καὶ συμβεβηκότα, καὶ διαφορὰς ςοιχείων, ὡς ἐδήλωσαν οἱ παλαιοὶ, διὰ τῶν ἑκκαίδεκα Φράζοντες ἀποχρώντως καὶ γράφοντες.

II. Ἔπειτα σκόπει, μὴ παρακȣ́ωμεν τȣ̃ Πλάτωνος, ἐκ τȣ́των κεράννυσθαι τὸν λόγον, ȣ̓ διὰ τȣ́των, εἰρηκότος· εἶτα ὥσπερ ὁ τὸν λέγοντα τὸ φάρμακον ἐκ



1 abest γὰρ a Petav.
2 Ita dedit W. ex B. E. Voss. pro vulg. ἔχειν.

κ οὐ μεμίχθαι καὶ χαλβάνης συκοφαντῶν, ἐπεὶ τὸ πῦρ παρέλιπε καὶ τὸ ἀγγεῖον, ὧν χωρὶς ἐκ ἐνῆν μεμίχθαι· καὶ ἡμεῖς ὁμοίως ἐγκαλῶμεν, ὅτι συνδέσμες καὶ προθέσεις καὶ τὰ τοιαῦτα παρῆκεν· ἐ γὰρ ἐκ τετων ὁ λόγος, ἀλλ', εἴπερ ἄρα, διὰ τέτων καὶ ἐκ ἄνευ τέτων κεράννυσθαι πέφυκεν. ἐ γὰρ, ὥσπερ ὁ τὸ Τύπτειν [1] φθεγξάμενος, ἢ τὸ Τύπτεσθαι, καὶ πάλιν τὸ Σωκράτης, ἢ τὸ Πυθαγόρας, ἀμωσγέπως νοῆσαί τι καὶ διανοηθῆναι παρέσχηκεν, ἕτω τὲ Μὲν ἢ Γὰρ ἢ Περὶ καθ' αὑτὸ ἐκφωνηθέντος, ἔςιν ἔννοιάν τινα λαβεῖν ἢ πράγματος ἢ σώματος· ἀλλ' ἐὰν μὴ [2] περὶ ἐκεῖνα καὶ μετ' ἐκείνων ἐκφέρηται, ψόφοις κενοῖς καὶ ἤχοις ἔοικεν· ὅτι ταῦτα μὲν ἔτε καθ' αὑτὰ σημαίνειν, ἔτε μετ' ἀλλήλων ἐδὲν πέφυκεν, ἀλλ' ὅπως ἂν συμπλέκωμεν ἢ μιγνύωμεν εἰς ταυτὸ συνδέσμες καὶ ἄρθρα καὶ προθέσεις, ἕν τι πειρώμενοι κοινὸν ἐξ αὐτῶν ποιεῖν, τερετίζειν μᾶλλον ἢ διαλέγεσθαι δόξομεν. ῥήματος δ' ὀνόματι συμπλεκομένε, τὸ γενόμενον εὐθὺς διάλεκτός ἐςι καὶ λόγος. ὅθεν εἰκότως ἔνιοι μόνα ταῦτα μέρη τὲ λόγε τίθενται· καὶ Ὅμηρος ἴσως τὲτο βέλεται δηλὲν ἑκάςοτε λέγων· —

Ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν [3].

ἔπος γὰρ τὸ ῥῆμα καλεῖν εἴωθεν, ὥσπερ ἐν τέτοις·

Ὦ γύναι, ἦ μάλα τὲτο ἔπος θυμαλγὲς ἔειπες·

καί·

Χαῖρε, πάτερ, ὦ ξεῖνε, ἔπος δ' εἴπερ τι λέλεκται
Δεινὸν, ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι ἄελλαι.

ἔτε γὰρ σύνδεσμον, ἔτ' ἄρθρον, ἔτε πρόθεσιν, δεινόν ἐςι

1 Petav. τύπτει, & deinde τύπτεται.

2 Vulgo ἐὰν μή τι, quod Nogar. exhibet, & Steph. dedisse censetur cum Pol. Leonic. Jannot. Schott. Delevit τι W. cum Ald. Bas. Xyl. B. E. Petav.

3 Iliad. VII, 108; paulo post Odyss. XXIII, 183. VIII, 409. sq.

ἐςὶ καὶ θυμαλγὲς εἰπεῖν, ἀλλὰ ῥῆμα πράξεως ἐμφατικὸν αἰσχρᾶς, ἢ πάθες [1] τινὸς ἀνεπιτηδείε. διὸ καὶ ποιητὰς καὶ συγγραφεῖς εἰώθαμεν ἐπαινεῖν ἢ ψέγειν, ὅτω πως λέγοντες· Ἀττικοῖς ὀνόμασιν ὁ δεῖνα κέχρηται, καλοῖς ῥήμασιν, ἢ πάλιν, πεζοῖς· ὅδε δὲ [2], πεζοῖς, ἢ καλοῖς. πάλιν καὶ Ἀττικοῖς ἄρθροις, ὐκ ἂν εἴποι τις Εὐριπίδην ἢ Θυκυδίδην διειλέχθαι.

III. Τί ὖν; (φήσαι τις ἂν) ὐθὲν ταῦτα συμβάλλεται πρὸς λόγον; ἔγωγε φήσαιμ' ἂν ὥσπερ ἅλας συμβάλλεσθαι πρὸς ὄψον, ὕδωρ δὲ πρὸς μάζαν. Εὔηνος δὲ καὶ τὸ πῦρ ἔφασκεν ἡδυσμάτων εἶναι ἄριςον [3], ὔτε πῦρ, ὔτε ἅλας, ἑψήματος, ἢ βρώματος, ὧν ἀεὶ τυγχάνομεν δεόμενοι· ὕτως ὁ λόγος πολλάκις ἐκείνων ἀπροσδεής ἐςιν. ὡς δοκεῖ μοι περὶ Ῥωμαίων λέγειν, ὧν μὲν λόγῳ [4] νῦν ὁμῦ τι πάντες ἄνθρωποι χρῶνται· προθέσεις τε γὰρ ἀφῄρηκε πλὴν ὀλίγων ἁπάσας, τῶν τε καλυμένων ἄρθρων ὐθὲν προσδέχεται τοπαράπαν, ἀλλ' ὥσπερ κρασπέδοις [5] χρῆται τοῖς ὀνόμασι. καὶ ὐ θαυμαςόν ἐςιν, ὅπυ καὶ Ὅμηρος ἐπέων κόσμῳ περιγενό-



1 Ita W. dedit ex uno Mez. Vulgo ἐκ πάθυς.

2 Ita Ald. Nogar. & Steph. In Baſ. autem & Xyl. ὁ δὲ. W. legendum putat τὸ δέ.

3 Locus hic, Xyl. monente, lacer & confuſus. Ald. Baſ. Petav. Xyl. B. E. ἡδυσμάτων εἶναι λέγομεν — ὐχ ὥσπερ ὁ λόγος —. Nogar. ἥδυσμά τι εἶναι λέγων — ὕτως ὁ λόγος. Vulgatam a Steph. ſumtam eſſe partim ex Turn. & Amiot. teſtatur W. qui cum Mez. ita legendum cenſet & vertit: εἶναι ἄριςον· ἀλλ' ὐ λέγομεν ὔτε πῦρ ὔτε ἅλας ἑψήματος ἢ βρώματος μέρη, ὧν ἀεὶ τυγχάνομεν δεόμενοι· ὕτως ὁ λόγος —. De dicto Eveni cf. Vol. VII. p. 161. l. 1. & p. 382. l. 2.

4 Sic Nogar. & Steph. In Ald. Baſ. Xyl. B. E. Petav. pro ὧν μὲν λόγῳ legitur ὁρωμίλλῳ; Venet. ὅρων μέλλων: id ex varia lectione ὁ Ῥωμαίων ortum W. putat, eamque integram hanc fuiſſe: ὡς δοκεῖ μοι ὁ Ῥωμαίων ἔχειν, ᾧ νῦν ὁμῦ τι —.

5 Mez. ἀκρασπέδοις, in quam ſententiam & Mez. vertit, & W. Latina correxit: *ſed iis, veluti fimbriis, omiſſis, ſola per ſe nomina uſurpat.*

γενόμενος, ὀλίγοις [1] τῶν ὀνομάτων ἄρθρα, ὥσπερ λαβὰς ἐκπώμασι δεομένοις, ἢ λόφους κράνεσιν, ἐπιτίθησι· διὸ καὶ παράσημα τῶν ἐπῶν, ἐν οἷς ταῦτα ποιεῖ, γέγονεν, ὡς τό·

Αἴαντι [2] δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε
Τῷ Τελαμωνιάδῃ·

καὶ τό·

Ποίεεν, ὄφρα τὸ κῆτος ὑπεκπροφυγὼν ἀλέοιτο·

καὶ βραχέα πρὸς τούτοις ἕτερα. τοῖς δ' ἄλλοις μυρίοις οὖσιν ἄρθρου μὴ προσόντος, οὐδὲν εἰς σαφήνειαν οὐδὲ κάλλος ἡ φράσις βλάπτεται.

IV. Καὶ μὴν, οὔτε ζῶον, οὔτ' ὄργανον, οὔτε ὅπλον, οὔτ' ἄλλο τῶν ὄντων οὐθὲν, οἰκείου μέρους ἀφαιρέσει καὶ στερήσει πέφυκε γίνεσθαι κάλλιον, οὐδ' ἐνεργέστερον, οὐδὲ ἥδιον· λόγος δὲ, συνδέσμων ἐξαιρεθέντων, πολλάκις ἐμπαθεστέραν καὶ κινητικωτέραν ἔχει δύναμιν· ὡς ὁ τοιοῦτος·

Ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,
Ἄλλον τεθνειῶτα κατὰ μόθον ἕλκε ποδοῖϊν [3].

καὶ τὰ τοῦ Δημοσθένους ταυτί· Πολλὰ γὰρ ἂν [4] ποιήσειεν ὁ τύπτων, ὧν ὁ παθὼν ἔνια οὐδ' ἂν ἀπαγγεῖλαι δύναιτο ἑτέρῳ· τῷ σχήματι, τῷ βλέμματι, τῇ φωνῇ· ὅταν ὑβρίζων, ὅταν ἐχθρὸς ὑπάρχων, ὅταν κονδύλοις, ὅταν ἐπὶ κόρρης· ταῦτα κινεῖ, ταῦτ' ἐξίστησιν αὑτῶν ἀνθρώπους ἀήθεις τοῦ προπηλακίζεσθαι. καὶ πάλιν. Ἀλλ' οὐ Μειδίας· ἀλλ' ἀπὸ ταύτης τῆς ἡμέρας λέγει, λοιδορεῖται, βοᾷ· χειροτονεῖταί τι; Μειδίας Ἀναγυῤῥάσιος προβέβληται· Πλουτάρχῳ προξενεῖ, τὰ ἀπόῤῥητα οἶδεν, ἡ πόλις αὐτὸν οὐ χωρεῖ. διὸ καὶ σφόδρα τὸ ἀσύνδετον σχῆμα

1 absunt a Petav. ὀλίγοις τῶν ὀνομ. usque ad δεομένοις.
2 Iliad. XIV, 459. sq. XX, 147.
3 Iliad XVIII, 536. sq.
4 Ex orat. adv. Midiam, Vol. I. p. 537. & 578. ed. Reisk. orat. Gr.

σχῆμα παρὰ τοῖς τέχνας γράφεσιν εὐδοκιμεῖ· τὲς δ' ἄγαν νομίμε: ἐκείνες καὶ μηδένα σύνδεσμον ἐκ τῆς συνηθείας 'α ι-ντας, ὡς 'αργὴν καὶ 'απαθῆ καὶ κεπάδη τῷ αμεταβλ τῳ τὴν Φράσιν ποιεντας αἰτιῶνται. τὸ δὲ τὲς διαλεκτικ ς μάλιςα συνδέσμων δεῖσθαι πρὸς τὰς τῶν ἀξιωμάτων συναφὰς καὶ συμπλ κὰς καὶ διαζεύξεις, ὥσπερ ἡνιόχες ζυγῶν, καὶ τὸν Κύκλωπος 'Οδυσσέα λύγων πρὸς τῶν προβάτων [1] * ε μέρος λόγε τὸν [2] σύνδεσμον, ἀλλ' ὄργανόν τι συνδετικὸν ἀποφαίνει, καθάπερ ὠνόμασαι, καὶ συνεκτικὸν 'ε πάντων, ἀλλὰ τῶν ἐχ ἁπλῶς λεγομένων· εἰ μὴ καὶ τε Φορτίε, τὸν ἱμάντα, καὶ τε βιβλίε τὴν κόλλαν 'αξιεσι μέρος εἶναι, καὶ τὰς διανομὰς τε πολιτεύματος, ὡς ἔλεγε Δημάδης, κόλλαν ὀνομάζων τὰ θεωρικὰ [3] τῆς δημοκρατίας. ποῖος δὲ σύνδεσμος ὅτως ἓν [4] ἐκ πολλῶν ἀξίωμα ποιεῖ συμπλέκων καὶ συνάπτων, ὡς ἡ μάρμαρος τὸν συλλιπαινόμενον διὰ τε πυρὸς σίδηρον; ἀλλ' ἐκ ἔςιν ἐδὲ λέγεται τε σιδήρε μέρος· καίτοι ταῦτά γε τοῖς κεραννυμένοις ἐνδυόμενα καὶ συντηκόμενα ποιεῖ τι καὶ πάσχει κοινὸν ἐκ πλειόνων. τὲς δὲ συνδέσμες εἰσὶν οἱ μὴ νομίζοντες ἕν τι ποιεῖν, ἀλλ' ἐξαρίθμησιν εἶναι τὴν διάλεκτον, ὥσπερ ἀρχόντων ἐφεξῆς ἢ [5] ἡμερῶν καταλεγομένων.

V.

1 Sic Ald. Baf. Xyl. Nogar. Steph. in quorum poftremo afterifcus additur. Abfunt λύγων πρὸς τῶν προβάτων, relicto vacuo fpatio, in B. E. Venet. Petav. Corrigit Mez. καὶ τὸν 'Οδυσσέα, πρὸς τὰ τε Κύκλωπος πρόβατα, quod probabile cenfet W. & a Kaltw. vertendo eft expreffum. Cf. Odyfs. IX, 427.

2 Pro τὸν Ald. Baf. Nogar. ἐ.

3 Sic Nogar. jam correxit vulgatum θεωρητικὰ, dedique cum W. idem ex B. E. Mez. fumente. Cf. Vol. VII. p. 372. not. 3.

4 Vulgo abeft ἓν. Inferit id codex quidam innominatus; addidit quoque W. ex E. confentientibus Xyl. Amiot. & Mez.

5 Vix defiderari poffe cenfui hanc particulam ἢ, quae vulgo abeft, & ob literam initialem fequentis vocabuli facillime excidere potuit. Eam Kaltw. exprimit, & rectius inferi monet W. ex Amiot. & Mez. vertendo fimul: *tanquam cum ordine aliquot enumerantur, vel praetores, vel dies.*

V. Καὶ μὴν τῶν γε λοιπῶν ἡ μὲν ἀντωνυμία περιφανῶς γένος ὀνόματός ἐστιν, οὐχ ᾗ πτώσεων μετέχει μόνον, ἀλλὰ καὶ τῷ κυριωτάτην ἅμα τῇ φύσει ποιεῖν δεῖξιν ἐνίας [1] ἐπὶ τῶν ὡρισμένων ἐκφερομένας. καὶ οὐκ οἶδ᾽, ὅτι μᾶλλον ὁ Σωκράτην φθεγξάμενος, ἢ ὁ Τοῦτον εἰπὼν, ὀνομαστὶ πρόσωπον δεδήλωκεν.

VI. Ἡ δὲ καλουμένη μετοχὴ, μίγμα ῥήματος οὖσα καὶ ὀνόματος, καθ᾽ ἑαυτὴν μὲν οὐκ ἔστιν, ὥσπερ οὐδὲ τὰ κοινὰ θηλυκῶν καὶ ἀῤῥενικῶν ὀνόματα, συντάττεται δὲ ἐκείνοις, ἐφαπτομένη τοῖς μὲν χρόνοις τῶν ῥημάτων, ταῖς δὲ πτώσεσι τῶν ὀνομάτων. οἱ δὲ διαλεκτικοὶ τὰ τοιαῦτα καλοῦσιν ἀνακλάστους, οἷον ὁ Φρονῶν ἀπὸ τοῦ Φρονίμου, καὶ ὁ Σωφρονῶν ἀπὸ τοῦ Σώφρονός ἐστιν, ὡς ὀνομάτων καὶ προσηγορίαν καὶ δύναμιν ἔχοντα.

VII. Τάς γε μὴν προθέσεις ἔστιν ἐπικράνοις καὶ βάσεσι καὶ ὑποθέμασιν, ὡς οὐ λόγους, ἀλλὰ περὶ τοὺς λόγους μᾶλλον οὔσας, ὁμοιοῦν. ὅρα δὲ, μὴ κόμμασι καὶ θραύσμασιν ὀνομάτων ἐοίκασιν, ὥσπερ γραμμάτων σπαράγμασι καὶ κεραίαις οἱ σπεύδοντες γράφουσι. τὸ γὰρ Ἐμβῆναι καὶ Ἐκβῆναι, συγκοπὴ [2] προφανής ἐστι τοῦ Ἐντὸς βῆναι καὶ τοῦ Ἐκτὸς βῆναι· καὶ τὸ Προγενέσθαι, τοῦ Πρότερον γενέσθαι καὶ τὸ Καθίζειν, τοῦ Κάτω ἵζειν. ὥσπερ ἀμέλει τὸ Λίθους βάλλειν καὶ Τοίχους ὀρύσσειν, Λιθοβολεῖν καὶ Τοιχωρυχεῖν, ἐπιταχύνοντες, καὶ σφίγγοντες τὴν φράσιν, λέγουσι.

VIII.

1 Vocabulum *ἐνίας* W. revocavit ex Ald. Baſ. Xyl. B E Venet. Petav. probante Mez. Vulgatum *ἐννοίας* cum Nogar. & Steph. habent Amiot. Pol. Leonic. Schott. Anon. Porro *φύσει* mutandum cenſet W. in *φάσει*, & vertit: *ſed quod nonnulla pronomina, ubi ſubjunguntur rebus antea dicendo definitis, ſimul ac pronunciantur, ita continuo efficiunt demonſtrationem ejusmodi, quae omnium maxime vim nominis proprii habeat.*

2 Petav. omittit *συγκοπὴ — ἐκτὸς βῆναι.*

VIII. Διὸ χρείαν μέν τινα τῷ λόγῳ παρέχεται τούτων ἕκαστον, μέρος δὲ λόγου καὶ στοιχεῖον οὐδέν ἐστι, πλὴν, ὥσπερ εἴρηται, τὸ ῥῆμα καὶ τοὔνομα, ποιοῦντα τὴν πρώτην τό τ' ἀληθὲς καὶ τὸ ψεῦδος δεχομένην σύνθεσιν, ἣν οἱ μὲν πρότασιν, οἱ δ' ἀξίωμα, Πλάτων δὲ λόγον προσηγόρευκεν.

---

ΠΛΟΥ-

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΠΕΡΙ
## ΤΗΣ ΕΝ ΤΙΜΑΙΩ ΨΥΧΟΓΟΝΙΑΣ.

## Ο ΠΑΤΗΡ ΑΥΤΟΒΟΛΩ
## ΚΑΙ
## ΠΛΟΥΤΑΡΧΩ ΕΥ ΠΡΑΤΤΕΙΝ.

Ἐπεὶ τὰ πολλάκις εἰρημένα καὶ γεγραμμένα σποράδην ἐν ἑτέροις ἕτερα, τὴν Πλάτωνος ἐξηγουμένοις δόξαν, ἣν εἶχεν ὑπὲρ ψυχῆς, ὡς ὑπενοοῦμεν ἡμεῖς, οἴεσθε δεῖν εἰς ἓν συναχθῆναι, καὶ τυχεῖν ἰδίας ἀναγραφῆς, τὸν λόγον [1] τοῦτον οὐτ'. ἄλλως εὐμεταχείριστον ὄντα, καὶ διὰ τὸ τοῖς πλείστοις τῶν ἀπὸ Πλάτωνος ὑπεναντιοῦσθαι, δεόμενον παραμυθίας, προεκθήσομαι [2] τὴν λέξιν, ὡς ἐν Τιμαίῳ γέγραπται. Τῆς ἀμεροῦς [3] καὶ ἀεὶ

1 Turn. V. τοῦ λόγου; deinde εὐμεταχειρίστου & δεομένου.

2 Ad hanc vocem W. ita notat: „Exordio aliquid ad abſolutionem ſententiae deeſſe videtur. Mox locus Platonis non niſi partim refertur, etſi Commentarius Plutarchi ad proximum deinceps Platonis locum item accommodetur, qui locus infra demum poſt ipſius Commentarium p. 1027, B. (ed. ſcil. Frſt. ſive cap. 29.) refertur, idque novo cum exordio. Nil video, niſi forte aut paginas ab antiquis librariis praepoſtere deſcriptas; aut duos Plutarchi de eodem hoc argumento diverſis hominibus inſcriptos libros in unum confuſos eſſe. Hinc quidem ad p. 1017. C. (ed. ſcil. Frſt. ſive Cap. 10.) omnia continua & apta videntur."

3 Apud Platonem (Opp. V. IX. p. 312. ſq.) ἀμερίστου legi, Xyl. monet. Ald. deinde & Baſ. καὶ ἀεὶ καὶ κατὰ τ. Idem Xyl. notat, καὶ ante κατὰ abundare.

ἀεὶ κατὰ ταυτὰ ἐχέσης ἐσίας, καὶ τῆς αὖ περὶ τὰ σώματα γινομένης μεριςῆς, τρίτον ἐξ ἀμφοῖν ἐν μέσῳ συνεκεράσατο ἐσίας εἶδος, τῆς τε ταυτὲ φύσεως αὖ πέρι καὶ τῆς θατέρε· καὶ κατὰ ταῦτα συνέςησεν ἐν μέσῳ τε τ' ἀμερὲς αὐτὴν καὶ τὲ κατὰ τὰ σώματα μεριςὲ· καὶ τρία λαβὼν αὐτὰ ὄντα, συνεκεράσατο εἰς μίαν πάντα ἰδέαν, τὴν θατέρε φύσιν δύσμικτον ἔσαν εἰς τὸ αὐτὸ συναρμόττων βίᾳ· μιγνὺς δὲ μετὰ τῆς ἐσίας, καὶ ἐκ τριῶν ποιησάμενος ἓν, πάλιν ὅλον τὲτο μοίρας εἰς ἃς [1] προσῆκε διένειμεν· ἑκάςην δὲ τέτων ἔκ τε ταυτὲ καὶ θατέρε καὶ τῆς ἐσίας μεμιγμένην· ἤρχετο δὲ διαιρεῖν ὧδε. Ταῦτα πρῶτον ὅσας παρέσχηκεν τοῖς ἐξηγεμένοις διαφορὰς, ἄπλετον ἔργον ἐςὶ διελθεῖν ἐν τῷ παρόντι, πρὸς δὲ ὑμᾶς ἐντετυχηκότας ὁμὲ ταῖς πλείςαις καὶ περιττόν. ἐπεὶ δὲ τῶν δοκιμωτάτων ἀνδρῶν τὲς μὲν Ξενοκράτης προσηγάγετο, τῆς ψυχῆς τὴν ἐσίαν, ἀριθμὸν αὐτὸν ὑφ' ἑαυτὲ κινέμενον ἀποφηνάμενος· οἱ δὲ Κράντορι τῷ Σολιεῖ προσέθεντο, μιγνύντι τὴν ψυχὴν ἔκ τε τῆς νοητῆς καὶ τῆς περὶ τὰ αἰσθητὰ δοξαςῆς φύσεως· οἶμαί τι τὴν τέτων ἀνακαλυφθέντων σαφήνειαν ὥσπερ ἐνδόσιμον ὑμῖν [2] παρέξειν.

II. Ἔςι δὲ βραχὺς ὑπὲρ ἀμφοῖν ὁ λόγος. οἱ μὲν γὰρ ἐδὲν ἢ γένεσιν ἀριθμὲ δηλᾶσθαι νομίζεσι τῇ μίξει τῆς ἀμερίςε καὶ μεριςῆς ἐσίας· ἀμέριςον μὲν γὰρ εἶναι τὸ ἓν, μεριςὸν δὲ τὸ πλῆθος, ἐκ δὲ τέτων γίνεσθαι τὸν ἀριθμὸν τὲ ἑνὸς ὁρίζοντος τὸ πλῆθος, καὶ τῇ ἀπειρίᾳ πέρας ἐντιθέντος, ἣν καὶ δυάδα καλᾶσιν ἀόριςον· καὶ Ζαράτας, ὁ Πυθαγόρε διδάσκαλος, ταύτην μὲν ἐκάλει τὲ ἀριθμὲ μητέρα, τὸ δὲ ἓν, πατέρα· διὸ καὶ βελτίονας εἶναι τῶν ἀριθμῶν, ὅσοι τῇ μονάδι προσεοίκασι· τὲτον δὲ μήπω ψυχὴν τὸν ἀριθμὸν εἶναι· τὸ γὰρ κινητικὸν

1 εἰς & ἃς mendose pro ὅσας legi, monet Xyl. Ita certe in Platone.

2 B. E. Xyl. & Amiot. vertendo ἡμῖν.

κὸν καὶ τὸ κινητὸν [1] ἐνδεῖν αὐτῷ· τȣ͂ δὲ ταυτȣ͂ καὶ τȣ͂ ἑτέρȣ συμμιγέντων, ὧν τὸ μέν ἐςι κινήσεως ἀρχὴ καὶ μεταβολῆς, τὸ δὲ μονῆς, ψυχὴν [2] γεγονέναι, μηδὲν ἧττον τȣ͂ ἱςάναι καὶ ἵςαϑαι δύναμιν ἢ τȣ͂ κινεῖϑαι καὶ κινεῖν ȣ͂σαν. οἱ δὲ περὶ τὸν Κράντορα μάλιςα τῆς ψυχῆς ἴδιον ὑπολαμβάνοντες ἔργον εἶναι τὸ [3] κρίνειν τά τε νοητὰ καὶ τὰ αἰϑητὰ, τάς τε τȣ́των ἐν αὐτοῖς καὶ πρὸς ἄλληλα γινομένας διαφορὰς καὶ ὁμοιότητας, ἐκ πάντων φασὶν, ἵνα πάντα γινώσκῃ, συγκεκρᾶϑαι τὴν ψυχήν· ταῦτα δ᾽ εἶναι τέτταρα, τὴν νοητὴν φύσιν ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχȣσαν, καὶ τὴν περὶ τὰ σώματα παϑητικὴν καὶ μεταβλητήν· ἔτι δὲ τὴν ταυτȣ͂ καὶ τȣ͂ ἑτέρȣ, διὰ τὸ κἀκείνων ἑκατέραν μετέχειν ἑτερότητος καὶ ταυτότητος.

II. Ὁμαλῶς δὲ πάντες ȣ͂τοι, χρόνῳ μὲν οἴονται τὴν ψυχὴν μὴ γεγονέναι, μηδ᾽ εἶναι γεννητὴν, πλείονας δὲ δυνάμεις ἔχειν, εἰς ἃς ἀναλύοντα ϑεωρίας ἕνεκα τὴν ȣ̓σίαν αὐτῆς, λόγῳ τὸν Πλάτωνα γινομένην ὑποτίϑεϑαι καὶ συγκεραννυμένην· τὰ δ᾽ αὐτὰ καὶ περὶ τȣ͂ κόσμȣ διανοȣ́μενον, ἐπίςαϑαι μὲν ἀΐδιον ὄντα καὶ ἀγέννητον· τὸ δὲ ᾧ τρόπῳ συντέτακται καὶ διοικεῖται καταμαϑεῖν ȣ̓ ῥάδιον ὁρῶντα τοῖς μήτε γένεσιν αὐτȣ͂, μηδὲ τῶν γεννητικῶν σύνοδον ἐξ ἀρχῆς προϋποϑεμένοις, ταύτην τὴν ὁδὸν τραπέϑαι. τοιȣ́των δὲ τῶν καϑόλȣ λεγομένων, ὁ μὲν Εὔδωρος ȣ̓δετέρȣς ἀμοιρεῖν οἴεται τȣ͂ εἰκότος· ἐμοὶ δὲ δοκȣ͂σι τῆς Πλάτωνος ἀμφότεροι διαμαρτάνειν δόξης, εἰ κανόνι τῷ πιϑανῷ χρηςέον, ȣ̓κ ἴδια δόγματα περαίνοντας, ἀλλ᾽ ἐκείνῳ τι βȣλομένȣς λέγειν ὁμο-

1 Pro κινητὸν Turn. dat ἀκίνητον. De Zarata cf. Fabr. B. Gr. T. I. p. 305.

2 Vulgo τὸ δὲ μονὴν ψυχῆς, quod jam Xyl. corrigendum monuit. Correxi cum W. consentientibus B. E. Turn. V. Anon.

3 Pro τὸ Ald. τȣ͂.

ὁμολογούμενον. ἡ μὲν ἐκ τῆς νοητικῆς καὶ τῆς αἰσθητικῆς [1] οὐσίας λεγομένη μίξις οὐ διασαφεῖται, πῆ ποτε ψυχῆς μᾶλλον, ἢ τῶν ἄλλων ὅ τι ἂν τις εἴποι [2], γένεσίς ἐστιν. αὐτός τε γὰρ ὁ κόσμος οὗτος, καὶ τῶν μερῶν ἕκαστον αὐτοῦ συνέστηκεν ἔκ τε σωματικῆς οὐσίας καὶ νοητῆς· ὧν ἡ μὲν ὕλην καὶ ὑποκείμενον, ἡ δὲ μορφὴν καὶ εἶδος τῷ γενομένῳ παρέχει· καὶ τῆς μὲν ὕλης τὸ μετοχῇ καὶ εἰκασίᾳ τοῦ νοητοῦ μορφωθὲν εὐθὺς ἁπτὸν καὶ [3] ὁρατόν ἐστιν, ἡ ψυχὴ δὲ πᾶσαν αἴσθησιν ἐκπέφευγεν. ἀριθμόν γε μὴν [4] ὁ Πλάτων οὐδέποτε τὴν ψυχὴν προσεῖπεν, ἀλλὰ φύσιν [5] αὐτοκίνητον ἀεὶ, καὶ κινήσεως πηγὴν καὶ ἀρχήν· ἀριθμῷ δὲ καὶ λόγῳ καὶ ἁρμονίᾳ διακεκόσμηκε τὴν οὐσίαν αὐτῆς ὑποκειμένην καὶ δεχομένην τὸ κάλλιστον εἶδος ὑπὸ τούτων ἐγγινόμενον. οἶμαι δὲ, μὴ ταυτὸν εἶναι τῷ κατὰ ἀριθμὸν συνεστάναι τὴν ψυχὴν τὸ τὴν οὐσίαν αὐτῆς ἀριθμὸν ὑπάρχειν· ἐπεὶ καθ' ἁρμονίαν συνέστηκεν, ἁρμονία δ' οὐκ ἔστιν, ὡς αὐτὸς ἐν τῷ περὶ Ψυχῆς ἀπέδειξεν. ἐκφανῶς δὲ τούτοις ἠγνόηται τὸ περὶ ταυτοῦ καὶ τοῦ ἑτέρου. λέγουσι γὰρ, ὡς τὸ μὲν στάσεως, τὸ δὲ κινήσεως συμβάλλεται δύναμιν εἰς τὴν τῆς ψυχῆς γένεσιν· αὐτοῦ Πλάτωνος ἐν τῷ Σοφιστῇ, τὸ ὂν καὶ τὸ ταυτὸν καὶ τὸ ἕτερον, πρὸς δὲ τούτοις, στάσιν καὶ κίνησιν, ὡς ἕκαστον ἑκάστου διαφέρον, καὶ πέντε ὄντα, χωρὶς ἀλλήλων τιθεμένου καὶ διορίζοντος.

IV.

1 W. corrigendum putat νοητῆς καὶ τῆς αἰσθητῆς.

2 Ita W. dedit ex B. E. Oxon. ut melius vulgato εἴπῃ.

3 Abeſt καὶ ab Ald. & Baſ. inſeruit Xyl. cum Turn.

4 ab Ald. & Baſ. μὴν abeſt; Turn. ἀριθμόν γε καὶ.

5 Ald. Baſ. Xyl. B. E. Oxon. Venet. item verss. Turn. Amiot. Xyl. magno conſenſu tuentur κίνησιν. Steph. ex Schott. Leonic. Anon. dedit φύσιν. W. judice plus auctoritatis habet prius recepto, neque ei diſplicet ad ſententiam. Pol. & φύσιν habet, & aliam lectionem κινητικὸν καὶ; Jannot. κινητικήν.

IV. Ὅ γε μὴν ἔτοί τε κοινῇ καὶ οἱ πλεῖςοι τῶν χρωμένων Πλάτωνι, φοβέμενοι καὶ παραλυπέμενοι [1], πάντα μηχανῶνται, καὶ παραβιάζονται καὶ ςρέφεσιν, ὥς τι δεινὸν καὶ ἄῤῥητον οἰόμενοι δεῖν περικαλύπτειν καὶ ἀρνεῖσθαι, τήν τε τῦ κόσμυ τήν τε τῆς ψυχῆς αὐτῦ γένεσιν καὶ σύςασιν, ἐκ ἐξ ἀϊδίυ συνεςώτων, ὐδὲ τὸν ἄπειρον χρόνον ἔτως ἐχόντων, ἰδίᾳ τε λόγυ τέτευχε, καὶ νῦν ἀρκέσει ῥηθὲν, ὅτι τὸν περὶ [2] θεῶν ἀγῶνα καὶ λόγον, ᾧ Πλάτων ὁμολογεῖ φιλοτιμότατα καὶ παρ' ἡλικίαν πρὸς τὺς ἀθέυς κεχρῆσθαι, συγχέυσι, μᾶλλον δὲ ὅλως ἀναιρῦσιν. εἰ γὰρ ἀγέννητος ὁ κόσμος ἐςὶν, οἴχεται τῷ Πλάτωνι τὸ πρεσβύτερον τῦ σώματος τὴν ψυχὴν ὖσαν ἐξάρχειν μεταβολῆς καὶ κινήσεως πάσης, ἡγεμόνα καὶ πρωτυργὸν, ὡς αὐτὸς εἴρηκεν, ἐγκαθεςῶσαν. τίς δ' ὖσα καὶ τίνος ὄντος ἡ ψυχὴ τῦ σώματος προτέρα καὶ πρεσβυτέρα λέγεται γεγονέναι, προϊὼν ὁ λόγος ἐνδείξεται· τῦτο γὰρ ἠγνοημένον ἔοικε τὴν πλείςην ἀπορίαν καὶ ἀπιςίαν παρέχειν τῆς ἀληθῦς δόξης.

V. Πρῶτον ὖν, ἣν ἔχω περὶ τύτων διάνοιαν, ἐκθήσομαι, πιςέμενος τῷ εἰκότι, καὶ παραμυθέμενος, ὡς ἔνεςι, τὸ ἄηθες [3] τῦ λόγυ καὶ παράδοξον· ἔπειτα ταῖς λέξεσιν ἐπάξω, συνοικειῶν ἅμα τὴν ἐξήγησιν καὶ τὴν ἀπόδειξιν. ἔχει γὰρ ὕτω κατά γε τὴν ἐμὴν τὰ πράγματα δόξαν. κόσμον τόνδε, φησὶν Ἡράκλειτος, ὔτε τις θεῶν ὔτ' ἀνθρώπων ἐποίησεν, ὥσπερ φοβηθεὶς, μὴ θεῦ ἀπογνόν-

1 Ita W. teſte omnes libri exceptis Turn. V. Anon. qui habent παραμυθέμενοι. Praeferret hoc W. ſi majorem haberet auctoritatem. Mavult παραφυλαττόμενοι vel παραιτέμενοι.

2 Ita W. repoſuit ex Ald. Baſ. Xyl. B. E. Oxon. pro vulg. ἐπὶ θεῶν. Cf. Plat. opp. X. p. 112. ſq. & deinde p. 80. ſq. 89. ſq.

3 Vulgo τὸ ἀληθὲς τ. λ. Id plane repugnare ſenſui, & ἀλλόκοτον, aut aliquid tale, requiri, Xyl. monuit. W. ex conjectura, eaque certiſſima, dedit ἄηθες, Turn. jam ita vertente.

γνόντες, ἄνθρωπόν τινα γεγονέναι τȣ͂ κόσμȣ δημιȣργὸν ὑπονοήσωμεν. βέλτιον ȣ͂ν Πλάτωνι πειθομένȣς, τὸν μὲν κόσμον ὑπὸ θεȣ͂ γεγονέναι λέγειν καὶ ᾄδειν· ὁ μὲν γὰρ κάλλιςος τῶν γεγονότων, ὁ δ' ἄριςος τῶν αἰτιῶν· τὴν δ' ȣ̓σίαν καὶ ὕλην, ἐξ ἧς γέγονεν, ȣ̓ γενομένην, ἀλλὰ ὑποκειμένην ἀεὶ τῷ δημιȣργῷ, εἰς διάθεσιν καὶ τάξιν αὐτῆς [1], καὶ πρὸς αὐτὸν ἐξομοίωσιν, ὡς δυνατὸν ἦν, ἐμπαραχεῖν [2]. ȣ̓ γὰρ ἐκ τȣ͂ μὴ ὄντος ἡ γένεσις, ἀλλ' ἐκ τȣ͂ μὴ καλῶς μηδ' ἱκανῶς ἔχοντος, ὡς οἰκίας καὶ ἱματίȣ καὶ ἀνδριάντος. ἀκοσμία γὰρ ἦν τὰ πρὸ τῆς τȣ͂ κόσμȣ γενέσεως· ἀκοσμία δὲ ȣ̓κ ἀσώματος, ȣ̓δ' ἀκίνητος, ȣ̓δ' ἄψυχος· ἀλλ' ἄμορφον μὲν καὶ ἀσύςατον τὸ σωματικὸν, ἔμπληκτον δὲ καὶ ἄλογον τὸ κινητικὸν ἔχȣσα· τȣ͂το δ' ἦν ἀναρμοςία ψυχῆς ȣ̓κ ἐχȣ́σης λόγον. ὁ γὰρ θεὸς ȣ̓́τε σῶμα τὸ ἀσώματον, ȣ̓́τε ψυχὴν τὸ ἄψυχον ἐποίησεν· ἀλλ' ὥσπερ ἁρμονικὸν ἄνδρα καὶ ῥυθμικὸν ȣ̓ φωνὴν ποιεῖν ȣ̓δὲ κίνησιν, ἐμμελῆ δὲ φωνὴν καὶ κίνησιν εὔρυθμον ἀξιȣ͂μεν· ȣ̔́τως ὁ θεὸς ȣ̓́τε τȣ͂ σώματος τὸ ἁπτὸν καὶ ἀντίτυπον, ȣ̓́τε τῆς ψυχῆς τὸ φανταςικὸν καὶ κινητικὸν αὐτὸς ἐποίησεν· ἀμφοτέρας δὲ τὰς ἀρχὰς παραλαβὼν, τὴν μὲν, ἀμυδρὰν καὶ σκοτεινὴν, τὴν δὲ, ταραχώδη καὶ ἀνόητον, ἀτελεῖς δὲ τȣ͂ προσήκοντος ἀμφοτέρας καὶ ἀορίςȣς, ἔταξε καὶ διεκόσμησε καὶ συνήρμοσε, τὸ κάλλιςον ἀπεργασάμενος καὶ τελειότατον ἐξ αὐτῶν ζῶον. ἡ μὲν ȣ̓͂ν σώματος ȣ̓σία τῆς λεγομένης ὑπ' [3] αὐτȣ͂ πανδεχȣ͂ς φύσεως, ἕδρας τε καὶ τιθηνῆς τῶν γεννητῶν ȣ̓χ ἑτέρα τις ἐςίν.

VI. Τὴν δὲ τῆς ψυχῆς ἐν Φιλήβῳ μὲν, ἀπειρίαν κέκληκεν, ἀριθμȣ͂ καὶ λόγȣ ςέρησιν ȣ̓͂σαν, ἐλλεί-

 ψεὼς

1 W. susp. τάξιν αὐτήν.

2 Ita W. dedit ex B. E. Oxon. ut verbum Plutarchei coloris. Vulgo παρασχεῖν.

3 Ald. Bas. ἀπ' αὐτȣ͂. Xyl. se malle notat ὑπ' αὐτȣ͂. Dedit Steph.

ψεώς τε καὶ ὑπερβολῆς καὶ διαφορᾶς καὶ ἀνομοιότητος ἐν αὐτῇ πέρας οὐδὲν οὐδὲ μέτρον ἐχούσαν· ἐν δὲ Τιμαίῳ, τὴν τῇ ἀμερίστῳ συγκεραννυμένην φύσει, καὶ περὶ τὰ σώματα γίνεσθαι λεγομένην μεριστὴν, οὔτε πλῆθος ἐν μονάσι καὶ στιγμαῖς, οὔτε μήκη καὶ πλάτη [1] λέγεσθαι νομιστέον, ἃ σώμασι προσήκει, καὶ σωμάτων μᾶλλον ἢ τῆς ψυχῆς ἐστὶν, ἀλλὰ τὴν ἄτακτον καὶ ἀόριστον, αὐτοκίνητον δὲ καὶ κινητικὴν ἀρχὴν, ἐκείνην, ἣν πολλαχοῦ μὲν ἀνάγκην, ἐν δὲ τοῖς Νόμοις ἄντικρυς ψυχὴν ἄτακτον εἴρηκε καὶ κακοποιόν· αὕτη γὰρ ἦν ψυχὴ καθ' ἑαυτὴν, νοῦ δὲ καὶ λογισμοῦ καὶ ἁρμονίας ἔμφρονος μετέσχεν, ἵνα κόσμου ψυχὴ γένηται. καὶ γὰρ τὸ πανδεχὲς καὶ ὑλικὸν ἐκεῖνο, μέγεθος μὲν ἐκέκτητο καὶ διάστημα καὶ χώραν· κάλλους δὲ καὶ μορφῆς καὶ σχημάτων μετριότητος ἐνδεῶς εἶχεν· ἔλαχε δὲ τούτων, ἵνα γῆς καὶ θαλάττης καὶ οὐρανοῦ καὶ ἀστέρων, φυτῶν τε καὶ ζώων παντοδαπὰ σώματα καὶ ὄργανα γίνηται κοσμηθέν. οἱ δὲ τὴν ἐν Τιμαίῳ λεγομένην ἀνάγκην, ἐν δὲ Φιλήβῳ περὶ τὸ μᾶλλον καὶ ἧττον ἐλλείψεως καὶ ὑπερβολῆς ἀμετρίαν καὶ ἀπειρίαν τῇ ὕλῃ προστιθέντες, ἀλλὰ μὴ τῇ ψυχῇ, ποῦ θήσονται [2] το τὴν ὕλην ἀεὶ μὲν ἄμορφον καὶ ἀσχημάτιστον ὑπ' αὐτοῦ λέγεσθαι, καὶ πάσης ποιότητος καὶ δυνάμεως οἰκείας ἔρημον, εἰκάζεσθαι δ' ἀώδεσιν ἐλαίοις, ἃ πρὸς τὰς βαφὰς οἱ μυρεψοὶ λαμβάνουσιν; οὐ γὰρ οἷόν τε τὸ ἄποιον καὶ ἀργὸν ἐξ αὑτοῦ καὶ ἀρρεπὲς αἰτίαν κακοῦ καὶ ἀρχὴν ὑποτίθεσθαι τὸν Πλάτωνα, καὶ καλεῖν ἀπειρίαν, αἰσχρὰν καὶ κακοποιὸν, αὖθις δ' ἀνάγκην, πολλὰ τῷ θεῷ δυσμαχοῦσαν καὶ ἀφηνιάζουσαν. ἡ γὰρ ἀναστρέψασα τὸν

οὐρα-

1 Ita W. ex B. E. Venet. Oxon. dedit, pro vulg. *μήκει καὶ πλάτει.* Ald. Bas. Xyl. *μήκη καὶ πλάτει.*

2 Vulgo cum signo lacunae *ψυχῇ * γε οὐ θήσονται, τὸ τὴν ὕλην.* W. correxit, unum secutus Turn. cum ipsa ratio recipiendum suaderet. Idem Xyl. jam probaverat, nescius, num ex meliori lectione, an ex conjectura sumserit Turn.

ὐρανὸν, ὥσπερ ἐν Πολιτικῷ λέγεται, καὶ ἀνελίττουσα πρὸς τὐναντίον ἀνάγκη, καὶ σύμφυτος ἐπιθυμία, καὶ τὸ τῆς πάλαι ποτὲ φύσεως σύντροφον πολλῆς μετέχον ἀταξίας, πρὶν εἰς τὸν νῦν κόσμον ἀφικέσθαι, πόθεν ἐγγέγονε τοῖς πράγμασιν, εἰ τὸ μὲν ὑποκείμενον ἄποιος ἦν ὕλη καὶ ἄμοιρος [1] αἰτίας ἁπάσης, ὁ δὲ δημιουργὸς ἀγαθὸς καὶ πάντα βουλόμενος αὐτῷ κατὰ δύναμιν ἐξομοιῶσαι; τρίτον δὲ παρὰ ταῦτα μηθέν. αἱ γὰρ Στωϊκαὶ καταλαμβάνουσιν ἡμᾶς ἀπορίαι, τὸ κακὸν ἐκ τοῦ μὴ ὄντος ἀναιτίως καὶ ἀγεννήτως ἐπεισάγοντας· ἐπεὶ τῶν γ' ὄντων οὔτε τὸ ἀγαθὸν οὔτε τὸ ἄποιον εἰκός ἐστιν οὐσίαν κακοῦ καὶ γένεσιν παρασχεῖν· ἀλλὰ ταυτὸ Πλάτων οὐκ ἔπαθε τοῖς ὕστερον, οὐδὲ παριδὼν, ὡς ἐκεῖνοι, τὴν μεταξὺ τῆς ὕλης καὶ τοῦ θεοῦ τρίτην ἀρχὴν καὶ δύναμιν, ὑπέμεινε τῶν λόγων τὸν ἀτοπώτατον, ἐπεισόδιον οὐκ οἶδα ὅπως ποιοῦντα τὴν τῶν κακῶν φύσιν [2] ἀπ' αὐτομάτου κατὰ συμβεβηκός. Ἐπικούρῳ μὲν γὰρ οὐδ' ἀκαρὲς ἐγκλῖναι τὴν ἄτομον συγχωροῦσιν, ὡς ἀναίτιον ἐπεισάγοντι κίνησιν ἐκ τοῦ μὴ ὄντος· αὐτοὶ δὲ κακίαν καὶ κακοδαιμονίαν τοσαύτην, ἑτέρας τε περὶ σῶμα μυρίας ἀτοπίας καὶ δυσχερείας, αἰτίαν ἐν ταῖς ἀρχαῖς οὐκ ἐχούσας [3], κατ' ἐπακολούθησιν γεγονέναι λέγουσιν.

VII. Ὁ δὲ Πλάτων οὐχ οὕτως· ἀλλὰ τήν γε ὕλην διαφορᾶς ἁπάσης ἀπαλλάττων, καὶ τοῦ θεοῦ τὴν τῶν κακῶν αἰτίαν ἀπωτάτω τιθέμενος, ταῦτα περὶ τοῦ κόσμου γέγραφεν ἐν τῷ Πολιτικῷ· Παρὰ μὲν γὰρ τοῦ ξυνθέν-

T 3 το;

1 Vulgo ἄποιον & ἄμοιρον. W. prius correxit ex B. E. posterius de suo, utrumque re ipsa flagitante.

2 Vulgo τὸ ἀτοπώτατον, & abest articulus τήν. Utrumque W. ex B. E. Oxon. correxit, corrigendum tamen censens ὑπέμεινε, τῶν ἀλόγων τὸ ἀτοπώτατον, ἐπεισόδιον οὐκ οἶδα ὅπως ποιεῖν τὴν τ. κ. φ.

3 Turn. V. ἔχοντες.

τος [1] πάντα τὰ καλὰ κέκτηται· παρὰ δὲ τῆς ἔμπροσθεν [2] ἕξεως ὅσα χαλεπὰ καὶ ἄδικα ἐν ὀρανῷ γίνεται, ταῦτ' ἐξ ἐκείνης αὐτός τε ἔχει, καὶ τοῖς ζώοις ἐναπεργάζεται. καὶ μικρὸν ἔτι προελθών· Προϊόντος δὲ, φησὶ, τῷ χρόνῳ, καὶ λήθης ἐγγινομένης ἐν αὐτῷ, μᾶλλον δυναστεύει τὸ τῆς παλαιᾶς ἀναρμοστίας πάθος, καὶ κινδυνεύει διαλυθεὶς εἰς τὸν τῆς ἀνομοιότητος ἄπειρον ὄντα τόπον δῦναι πάλιν. ἀνομοιότης δὲ περὶ τὴν ὕλην, ἄποιον καὶ ἀδιάφορον ὖσαν, ὀκ ἔστιν. ἀλλὰ μετὰ πολλῶν ἄλλων καὶ Εὔδημος [3] ἀγνοήσας, κατειρωνεύεται τῷ Πλάτωνος, ὡς τὴν [4] πολλάκις ὑπ' αὐτῷ μητέρα καὶ τιθήνην προσαγορευομένην, αἰτίαν κακῶν, ῥίζαν, ἀρχὴν [5] ἀποφαίνοντος. ὁ γὰρ Πλάτων μητέρα μὲν καὶ τιθηνὴν καλεῖ τὴν ὕλην· αἰτίαν δὲ κακῷ, τὴν κινητικὴν τῆς ὕλης, καὶ περὶ τὰ σώματα γινομένην μεριστὴν, ἄτακτον καὶ ἄλογον, ὀκ ἄψυχον δὲ κίνησιν, ἣν ἐν Νόμοις, ὥσπερ εἴρηται, ψυχὴν ἐναντίαν καὶ ἀντίπαλον τῇ ἀγαθοεργῷ προσεῖπε. ψυχὴ γὰρ αἰτία κινήσεως καὶ ἀρχὴ, νῦς δὲ, τάξεως καὶ συμφωνίας περὶ κίνησιν. ὁ γὰρ θεὸς ὀκ ἀνέστησε [6] τὴν ὕλην ἀργῦσαν, ἀλλ' ἔστησεν ὑπὸ τῆς ἀνοήτου ταραττομένην αἰτίας· ὀδ' ἀρχὰς τῇ φύσει μεταβολῆς καὶ παθῶν παρέσχεν, ἀλλ' ὖσης ἐν πάθεσι παντοδαποῖς καὶ μεταβολαῖς ἀτάκτοις, ἐξεῖλε τὴν πολλὴν ἀοριστίαν καὶ πλημμέλειαν, ἁρμονίᾳ καὶ ἀναλογίᾳ καὶ ἀριθμῷ

1 Turn. V. ξυνελθόντος.

2 Ita ex ipso Platone, nec non B. E. Oxon. Turn. V. dedit W. pro vulg. ἔξωθεν.

3 Xyl. videndum monet, an is *Eudemus* sit, qui supra *Eudorus* legitur. De Eudemo cf. Fabric. B. Gr. T. III, p. 492.

4 Vulgo ὡς ὀκ αὐτὴν πολλάκις. B. E. ὡς τὴν π. relicto inter primam & proximam vocem spatio. W. dedit, ut nil deesse videtur, & sententia ipsa postulat.

5 W. ex B. & E. notat καὶ ἀρχὴν, & ita scribendum censet deleto commate.

6 Turn. V. ὀκ ἂν ἵστησε.

ριθμῷ χρώμενος ὀργάνοις· ὧν ἔργον ἐςὶν, ȣ̓ μεταβολῇ καὶ κινήσει ἑτερότητος πάθη καὶ διαφορὰς παρέχειν τοῖς πράγμασιν, ἀλλὰ μᾶλλον ἀπλανῆ καὶ ςάσιμα, καὶ τοῖς κατὰ τὰ αὐτὰ ὡσαύτως ἔχȣσιν ὅμοια ποιεῖν. ἡ μὲν ȣ̓͂ν διάνοια τοιαύτη, κατά γε τὴν ἐμὴν δόξαν, τȣ͂ Πλάτωνος.

VIII. Ἀπόδειξις δὲ πρώτη μὲν, ἡ τῆς λεγομένης καὶ δοκȣ́σης αὐτȣ͂ πρὸς ἑαυτὸν ἀσυμφωνίας καὶ διαφορᾶς λύσις. ȣ̓δὲ γὰρ σοφιςῇ κραιπαλȣ͂ντι, πόθεν γε δὴ Πλάτωνι, τοιαύτην ἄν τις ἀναθείη, περὶ ȣ̔͂ς ἐσπȣδάκει μάλιςα τῶν λόγων, ταραχὴν καὶ ἀνωμαλίαν, ὥςε τὴν αὐτὴν φύσιν ὁμȣ͂ καὶ ἀγέννητον ἀποφαίνειν καὶ γενομένην· ἀγέννητον μὲν ἐν Φαίδρῳ τὴν ψυχήν· ἐν δὲ Τιμαίῳ, γινομένην [1]. ἡ μὲν ȣ̓͂ν ἐν Φαίδρῳ διάλεκτος ὀλίγȣ δεῖν ἅπασι διὰ ςόματός ἐςι, τῷ ἀγεννήτῳ τὸ ἀνώλεθρον, τῷ δ' αὐτοκινήτῳ πιςȣμένη τὸ ἀγέννητον αὐτῆς· ἐν δὲ Τιμαίῳ· Τὴν δὲ ψυχὴν, φησὶν, ȣ̓χ ὡς νῦν ὑςέραν ἐπιχειρȣ͂μεν λέγειν, ȣ̔́τως ἐμηχανήσατο καὶ ὁ θεὸς νεωτέραν· ȣ̓ γὰρ ἂν ἄρχεσθαι πρεσβύτερον ὑπὸ νεωτέρȣ συνέρξας [2], εἴασεν· ἀλλά πως ἡμεῖς πολὺ μετέχοντες τȣ͂ προστυχόντος τε καὶ εἰκῇ, ταύτῃ πῃ καὶ λέγομεν· ὁ δὲ καὶ γενέσει καὶ ἀρετῇ προτέραν τὴν ψυχὴν [3] σώματος, ὡς δεσπότιν καὶ ἄρξȣσαν ἀρξομένȣ, συνεςήσατο. καὶ πάλιν, εἰπὼν, ὡς αὐτὴ ἐν ἑαυτῇ ςρεφομένη, θείαν ἀρχὴν ἤρξατο ἀπαύςȣ καὶ ἔμφρονος βίȣ· Τὸ μὲν δὴ σῶμα, φησὶν, ὁρατὸν ȣ̓ρανȣ͂ γέγονεν, αὕτη δ' ἀόρατος μὲν, λογισμȣ͂ δὲ μετέχȣσα καὶ ἁρμονίας ψυχὴ, τῶν νοητῶν ἀεί τ' ὄντων ὑπὸ τȣ͂ ἀρίςȣ ἀρίςη γενομένη τῶν γεννηθέντων. ἐνταῦθα γὰρ τὸν μὲν θεὸν ἄριςον εἰπὼν τῶν ἀεὶ ὄντων,



1 Malim cum W. γενομένην.

2 Ald. Bas. συνῆρξεν.

3 Post ψυχὴν Turn. & V. addunt καὶ πρεσβυτέραν: id quod est in Plat. IX, p. 312.

των, τὴν δὲ ψυχὴν ἀρίςην τῶν γεννηθέντων, σαφεςάτη ταύτη τῇ διαφορᾷ καὶ ἀντιθέσει τὸ ἀΐδιον αὐτῆς καὶ τὸ ἀγέννητον ἀφήρηται.

IX. Τίς τέτων ἐπανόρθωσις ἑτέρα, πλὴν ἧς αὐτὸς δίδωσι τοῖς δέχεσθαι βελομένοις; ἀγέννητον μὲν γὰρ ἀποφαίνει ψυχὴν τὴν πρὸ τῆς κόσμε γενέσεως πλημμελῶς πάντα καὶ ἀτάκτως κινᾶσαν· γενομένην δὲ καὶ γεννητὴν πάλιν, ἣν ὁ θεὸς ἔκ τε ταύτης καὶ τῆς μονίμε τε καὶ ἀρίςης ἐσίας ἐκείνης ἔμφρονα καὶ τεταγμένην ἀπεργασάμενος, καὶ καθάπερ εἶδος [1] καὶ τῷ αἰσθητικῷ τὸ νοερὸν, καὶ τῷ κινητικῷ τὸ τεταγμένον ἀπ' αὐτῆ παραχὼν, ἡγεμόνα τῆ παντὸς ἐγκατέςησεν. ὅτω γὰρ καὶ τὸ σῶμα τῆ κόσμε, πῆ μὲν ἀγέννητον ἀποφαίνει, πῆ δὲ γεννητόν. ὅταν μὲν γὰρ εἴπῃ, πᾶν, ὅσον ἦν ὁρατὸν, ἐχ ἡσυχίαν ἄγον, ἀλλὰ κινέμενον ἀτάκτως, τὸν θεὸν παραλαβόντα διακοσμεῖν· καὶ πάλιν, τὰ τέτταρα γένη, πῦρ, καὶ ὕδωρ, καὶ γῆν, καὶ ἀέρα, πρὶν ἢ τὸ πᾶν ὑπ' αὐτῶν διακοσμηθὲν γενέσθαι, σεισμὸν ἐμποιεῖν [2] τῇ ὕλῃ, καὶ ὑπ' ἐκείνης τινάσσεσθαι διὰ τὴν ἀνωμαλίαν· ὄντα πε ποιεῖ καὶ ὑποκείμενα τὰ σώματα πρὸ τῆς τῆ κόσμε γενέσεως. ὅταν δὲ πάλιν λέγῃ, τῆς ψυχῆς νεώτερον γεγονέναι τὸ σῶμα, καὶ τὸν κόσμον εἶναι γεννητὸν, ὅτι ὁρατὸς καὶ ἁπτὸς καὶ σῶμα ἔχων ἐςὶ, τὰ δὲ τοιαῦτα γιγνόμενα καὶ γεννητὰ ἐφάνη, παντὶ δῆλον, ὡς γένεσιν τῇ φύσει τῆ σώματος ἀποδίδωσιν. ἀλλὰ πολλῆ δεῖ τἀναντία λέγειν καὶ διαφέρεσθαι πρὸς αὐτὸν ὅτως ἐκφανῶς ἐν τοῖς μεγίςοις. ὁ γὰρ ὡσαύτως ἐδὲ ταυτὸ σῶμα γίνεσθαί τε φησὶν ὑπὸ τῆ θεῆ, καὶ εἶναι, πρὶν ἢ γενέσθαι· ταῦτα γὰρ ἄντικρυς φαρμακῶντός ἐςιν· ἀλλὰ τί δεῖ νοεῖν γένεσιν, αὐτὸς διδάσκει. Τὸ μὲν γὰρ πρὸ τῆ, φησὶ, ταῦτα πάντα εἶχεν ἀλόγως καὶ ἀμέτρως·

ὅτε

1 B. κατ' εἶδος. Nec hoc nec vulgatum sanum videtur W.
2 Ald. Bas. ἐμποιεῖν.

ὅτε δ' ἐπεχειρεῖτο κοσμεῖσθαι τὸ πᾶν, πῦρ πρῶτον καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα, ἴχνη μὲν ἔχοντα αὐτὰ αὑτῶν παντάπασιν ἦν διακείμενα [1], ὥσπερ εἰκὸς ἔχειν ἅπαν, ὅταν ἀπῇ τινὸς θεός· οὕτω δὴ τότε πεφυκότα ταῦτα, πρῶτον διεσχηματίσατο εἴδεσι καὶ ἀριθμοῖς. ἔτι δὲ πρότερον εἰπὼν, ὡς οὐ μιᾶς ἔργον ἦν ἀναλογίας, ἀλλὰ δυεῖν, τὸ συνδῆσαι στερεὸν ὄντα καὶ βάθος ἔχοντα τὸν τοῦ παντὸς ὄγκον, καὶ διελθὼν, ὅτι πυρὸς καὶ γῆς ὕδωρ ἀέρα τε ὁ θεὸς ἐν μέσῳ θεὶς, συνέδησε καὶ συνεστήσατο τὸν οὐρανόν· Ἔκ τε δὴ τούτων, φησὶ, τοιούτων καὶ τὸν ἀριθμὸν τεττάρων, τὸ τοῦ κόσμου σῶμα ἐγεννήθη, δι' ἀναλογίας ὁμολογῆσαν· φιλίαν τ' ἔσχεν ἐκ τούτων, ὥστ' εἰς ταυτὸ αὑτῷ συνελθὸν, ἄλυτον ὑπὸ τῶν ἄλλων, πλὴν ὑπὸ τοῦ συνδήσαντος, γενέσθαι· σαφέστατα διδάσκων, ὡς οὐχὶ σώματος ἁπλῶς, οὐδ' ὄγκου καὶ ὕλης, ἀλλὰ συμμετρίας περὶ σῶμα καὶ κάλλους καὶ ὁμοιότητος ἦν ὁ θεὸς πατὴρ καὶ δημιουργός. ταῦτα δεῖ [2] διανοεῖσθαι καὶ περὶ ψυχῆς, ὡς τὴν μὲν οὔτε ὑπὸ τοῦ θεοῦ γενομένην, οὔτε κόσμου ψυχὴν οὖσαν, ἀλλά τινα φανταστικῆς καὶ δοξαστικῆς, ἀλόγου δὲ καὶ ἀτάκτου φορᾶς καὶ ὁρμῆς δύναμιν αὐτοκίνητον καὶ ἀεικίνητον· τὴν δ' αὐτὸς ὁ θεὸς διαρμοσάμενος τοῖς προσήκουσιν ἀριθμοῖς καὶ λόγοις ἐγκατέστησεν ἡγεμόνα τοῦ κόσμου γεγονότος γεννητὴν οὖσαν.

X. Ὅτι δὲ περὶ τούτων διενοεῖτο ταῦτα, καὶ οὐ θεωρίας ἕνεκα, τοῦ τε κόσμου μὴ γενομένου [3] καὶ τῆς ψυ-

 χῆς

1 Ald. Baf. ἔχον τὰ αὐτὰ αὐτῷ. E Turn. & V. affertur οὕτω fine dubio pro αὐτῶν. In editis Platonis libris eft, ἔχοντα αὐτῶν ἄττα, παντάπασι μὴν διακείμενα· itaque edidit Xyl. recte, W. judice, & monente, vulgatam effe a Stephano, non quidem optimam, nec tamen, ut nunc eft, loco movendam.

2 Ald. Baf. δή.

3 Vulgo τοῦ τε κόσμου γενομένου. W. addidit μὴ ex Veneto, & ὁμοίως mutandum cenfet in ὅμως, itaque vertit, cum fenfus aliter non conftet, & locus nunc fanatus fit. Addit fimul, in

B.

χῆς ὁμοίως ὑπετίθετο σύςασιν καὶ γένεσιν, ἐκεῖνο πρὸς πολλοῖς τεκμήριόν ἐςι, τὸ τὴν μὲν ψυχὴν ὑπ' αὐτȣ̃ καὶ ἀγέννητον, ὥσπερ εἴρηται, καὶ γεννητὴν λέγεσθαι· τὸν δὲ κόσμον, ἀεὶ μὲν γεγονότα καὶ γεννητὸν, ἀγέννητον δὲ μηδέποτε, μηδ' ἀΐδιον. τὰ μὲν ȣ̃ν ἐν Τιμαίῳ τί δεῖ προφέρειν [1]; ὅλον γὰρ καὶ πᾶν τὸ σύγγραμμα περὶ κόσμȣ γενέσεως ἄχρι τέλȣς ἀπ' ἀρχῆς ἐςι. τῶν δ' ἄλλων, ἐν μὲν Ἀτλαντικῷ προσευχόμενος [2] ὁ Τίμαιος ὀνομάζει τὸν πάλαι μὲν ἔργῳ γεγονοτα, νῦν δὲ λόγῳ θεόν· ἐν Πολιτικῷ δὲ ὁ Παρμενίδειος ξένος, τὸν κόσμον ὑπὸ τȣ̃ θεȣ̃ συντεθέντα, φησὶ, πολλῶν ἀγαθῶν μεταλαβεῖν, εἰ δέ τι φλαῦρόν ἐςιν ἢ χαλεπὸν, ἐκ τῆς προτέρας ἕξεως ἀναρμόςȣ καὶ ἀλόγȣ συμμεμιγμένον ἔχειν· ἐν δὲ τῇ Πολιτείᾳ περὶ τȣ̃ ἀριθμȣ̃, ὃν γάμον ἔνιοι καλȣ̃σιν, ὁ Σωκράτης ἀρχόμενος λέγειν· Ἔςι δὲ, φησὶ, θείῳ μὲν γεννητῷ περίοδος, ἣν ἀριθμὸς περιλαμβάνει τέλειος· ȣ̓κ ἄλλο καλῶν θεῖον γεννητὸν, ἢ τὸν κόσμον.

XI. Ἐνθάδε * ἡ τῶν τριῶν [3] καὶ μιᾶς. τρίτη δὲ, ἡ

B. E. post τεκμήριον esse lacunulam, ut jam antiquitus aliquid desideratum fuisse appareat. *Haec illum sensisse, & non contemplationis causa cum ipsius mundi, tum animae, quanquam non generatorum, tamen generationem et ortum finxisse* —.

1 Ita W. ex B. dedit pro vulg. προσφέρειν.

2 Ita W. ex B. E. Oxon. Anon. Turn. V. Xyl. & ipso Plat. dedit pro vulg. προσεχόμενος. Cf. Opp. Plat. X. p. 34. & deinde VI. p. 38. nec non VII. p. 188. 189.

3 Prolixe Xyl. notat, magnam hic de libro factam esse jacturam, agi autem de variis tetractyos Pythagoricae (numeri 36) combinationibus. Eo judice, primae syzygiae mentio excidit, & secundae nomen; pro μιᾶς legendum τετράδος, & deinde τετάρτη μὲν ἐςὶ ζ' καὶ ή. Turn. ἔνθα δέη τῶν τριῶν καὶ μιᾶς. W. nota haec est: ,,Multa excidisse res ipsa arguit. In Ald. Bas. Xyl. continua sunt, sine vacuo spatio. In B. E. κόσμον δὲ ἡ τριῶν. Oxon. κόσμον ἐν δὲ τριῶν. Venet. κόσμον ἐν ῥα δὲ τριῶν. Jannot. Turn. Anon. λείπει τι. Proxima ante ἡ τριῶν ejusmodi fuisse videntur: Τῆς μὲν ȣ̃ν Πυθαγορικῆς τετρακ-

ἡ τῶν ἑ καὶ ϛ'· ὧν ἐδεμία ποιεῖ τετράγωνον, ἔτ' αὐτὴ καθ' ἑαυτὴν, ἔτε μετὰ τῶν ἄλλων. τετάρτη μέν ἐςι, συντιθεμένη δὲ ταῖς πρώταις τριακονταὲξ, τετράγωνον παρέχεν. ἡ δὲ τῶν ὑπὸ Πλάτωνος ἐκκειμένων ἀριθμῶν τετρακτὺς ἐντελεςέραν ἔχηκε τὴν γένεσιν, τῶν μὲν ἀρτίων, ἀρτίοις διαςήμασι, τῶν δὲ περιττῶν, περιττοῖς πολλαπλασιαθέντων· περιέχει δὲ τὴν μὲν μονάδα, κοινὴν ἔσαν ἀρχὴν ἀρτίων καὶ περιττῶν, τῶν δ' ὑπ' αὐτῇ τὰ μὲν δύο καὶ τρία πρώτες ἐπιπέδες, τὰ δὲ τέτταρα καὶ ἐννέα πρώτες τετραγώνες, τὰ δ' ὀκτὼ καὶ εἰκοσιεπτὰ πρώτες κύβες ἐν ἀριθμοῖς, ἔξω λόγε τῆς μονάδος θεμένης. ἧ καὶ δῆλός ἐςι βελόμενος ἐκ ἐπὶ μιᾶς εὐθείας ἅπαντας, ἀλλ' ἐναλλὰξ καὶ ἰδίᾳ, τάσσεσθαι τὲς ἀρτίες μετ' ἀλλήλων, καὶ πάλιν τὲς περισσὲς, καὶ ὑπογέγραπται [1]. ἔτως καὶ αἱ συζυγίαι τῶν ὁμοίων ἔσονται πρὸς τὲς ὁμοίες, καὶ ποιήσεσιν ἀριθμὲς ἐπιφανεῖς κατά τε σύνθεσιν καὶ πολλαπλασιασμὸν ἐξ ἀλλήλων.

XII. Κατὰ σύνθεσιν ἔτως· τὰ δύο καὶ τὰ τρία, πέντε γίνεται· τὰ τέσσαρα καὶ ἐννέα, τριακαίδεκα· τὰ δ' ὀκτὼ καὶ εἰκοσιεπτὰ, πέντε καὶ τριάκοντα. τέτων γὰρ τῶν ἀριθμῶν οἱ Πυθαγορικοὶ, τὰ μὲν ἑ τροφὸν, ὅπερ ἐςὶ φθόγγον, ἐκάλεν· οἰόμενοι, τῶν τε τόνε διαςημάτων πρῶτον εἶναι φθεγκτὸν τὸ πέμπτον· τὰ δὲ τρισκαίδεκα, λεῖμμα, καθάπερ Πλάτων, τὴν εἰς ἴσα

τρακτύος ἡ πρώτη συζυγία ἐςὶ μονάδος καὶ δυάδος· δευτέρα δὲ ἡ τριῶν καὶ τεττάρων· τρίτη δὲ ἡ τῶν ἑ καὶ ϛ'. Sic partim verti. Haec omnia & ſequentia referuntur ad locum Timaei ſuperiori loco p. 1012. D. (c. 1.) & infra p. 1027. B. (c. 29.) exhibitum: quem hic excidiſſe manifeſtum eſt. Quam confuſionem fuiſſe dicam? paginarumne, an duorum diverſorum libellorum, an duarum ejusdem libelli editionum? Confuſionem, certe." Idem deinde locum ſic integrandum cenſet ἐςιν ἡ τῶν ζ' καὶ ή, συντιθεμένη, [addens, ſic vertiſſe Amiot. & Xyl. rectius quam Turn.

1 Xyl. legendum ſuſp. ὡς ὑπογέγρ. uti infra c. 16.

ἴσα τȣ͂ τόνȣ διανομὴν ἀπογινώσκοντες· τὰ δὲ πέντε καὶ τριάκοντα, ἁρμονίαν, ὅτι συνέστηκεν ἐκ δυοῖν κύβων πρώτων ἀπ' ἀρτίȣ καὶ περιττȣ͂ γεγονότων, ἐκ τεσσάρων δ' ἀριθμῶν, τȣ͂ ϛ', καὶ τȣ͂ η' καὶ τȣ͂ θ', καὶ ιβ', τὴν ἀριθμητικὴν καὶ τὴν ἁρμονικὴν ἀναλογίαν περιεχόντων. ἔσαι δὲ μᾶλλον ἡ δύναμις ἐκφανὴς ἐπὶ διαγράμματος. ἔσω τὸ α', β', γ', δ', παραλληλόγραμμον ὀρθογώνιον, ἔχον τῶν πλευρῶν τὴν α', β', πέντε· τὴν δὲ α', δ', ἑπτά· καὶ τμηθείσης τῆς μὲν ἐλάττονος εἰς δύο καὶ τρία, κατὰ τὸ κ', τῆς δὲ μείζονος εἰς τρία καὶ τέτταρα κατὰ τὸ λ'. διήχθωσαν ἀπὸ τῶν τομῶν εὐθεῖαι τέμνȣσαι ἀλλήλας κατὰ τὸ κ', μ', ν', καὶ κατὰ τὸ λ', μ', ξ'· Καὶ τὸ μὲν α', κ', μ', λ', ἕξ· τὸ δὲ κ', β', ξ', μ', ἐννέα[1]· τὸ δὲ λ', μ', ν', δ', ὀκτώ· τὸ δὲ μ', ξ', γ', ν', δώδεκα· τὸ δὲ ὅλον παραλληλόγραμμον τριάκοντα καὶ πέντε τȣ̀ς τῶν συμφωνιῶν τῶν πρώτων λόγȣς ἐν τοῖς τῶν χωρίων ἀριθμοῖς, εἰς ἃ διῄρηται, περιέχον. τὰ μὲν ȣ͂ν ἓξ καὶ ὀκτὼ τὸν ἐπίτριτον ἔχει λόγον, ἐν ᾧ τὸ διὰ τεσσάρων· τὰ δὲ ἓξ καὶ ἐννέα, τὸν ἡμιόλιον, ἐν ᾧ τὸ διὰ πέντε· τὰ δὲ ἓξ καὶ τὰ ιβ', τὸν διπλάσιον, ἐν ᾧ τὸ διὰ πασῶν· ἔνεσι δὲ καὶ ὁ τȣ͂ τόνȣ λόγος ἐπόγδοος ὢν ἐν τοῖς ἐννέα καὶ ὀκτώ· διὰ τȣ͂το καὶ ἁρμονίαν τὸν περιέχοντα τȣ̀ς λόγȣς τȣ́τȣς ἀριθμὸν ἐκάλεσαν. ἑξάκις δὲ γενόμενος τὸν τῶν δέκα ποιεῖ καὶ διακοσίων ἀριθμὸν, ἐν ὅσαις λέγεται ἡμέραις [2] τὰ ἑπτάμηνα τῶν βρεφῶν τελεογονεῖσθαι.

XIII. Πάλιν δ' ἀφ' [3] ἑτέρας ἀρχῆς κατὰ πολλαπλα-

[1] Quae praecedunt καὶ τὸ μὲν α', κ' — ξ', μ', addidit W. ex Oxon. & Jannot.

[2] Ald. ἐν ὅσεσι; Baſ. ὅσαισι; Utraque μοίραις pro ἡμέραις. Xyl. correxit.

[3] Ald. Baſ. ἐφ' ἑτ. ἀ. Xyl. correxit.

λαπλασιασμὸν, ὁ μὲν δὶς γ', τὸν ϛ' ποιεῖ [1]. ὁ δὲ τετράκις ἐννέα, τὸν τριακονταέξ· ὁ δ' ὀκτάκις κζ', τὸν σιϛ'. καὶ ἔστιν ὁ μὲν ϛ', τέλειος, ἴσος ὢν τοῖς ἑαυτοῦ μέρεσι· καὶ γάμος καλεῖται, διὰ τὴν τοῦ πρώτου ἀρτίου καὶ περιττοῦ σύμμιξιν· ἔτι δὲ συνέστηκεν ἔκ τε τῆς ἀρχῆς, καὶ τοῦ ἀρτίου, καὶ τοῦ πρώτου περιττοῦ [2]. ὁ δὲ λϛ', πρῶτός ἐστι τετράγωνος ἅμα καὶ τρίγωνος· τετράγωνος μὲν ἀπὸ τῆς ἑξάδος, τρίγωνος δ' ἀπὸ τῆς ὀγδοάδος· καὶ γέγονε πολλαπλασιασμῷ μὲν τετραγώνων δυοῖν, τοῦ τέτταρα τὸν ἐννέα πολλαπλασιάσαντος· συνθέσει δὲ τριῶν κύβων· τὸ γὰρ ἓν καὶ τὰ ὀκτὼ καὶ τὰ εἰκοσιεπτὰ συντεθέντα ποιεῖ τὸν προγεγραμμένον ἀριθμόν· ἔτι δὲ ἑτερομήκης ἀπὸ δυεῖν πλευρῶν, τῶν μὲν δώδεκα τρὶς γινομένων, τῶν δ' ἐννέα τετράκις. ἂν οὖν ἐκτεθῶσιν αἱ τῶν σχημάτων πλευραὶ, τοῦ τετραγώνου τὰ ϛ', καὶ τοῦ τριγώνου τὰ ὀκτὼ, καὶ παραλληλογράμμων [3], τοῦ μὲν ἑτέρου τὰ ἐννέα, τοῦ δὲ ἑτέρου τὰ ιβ', τοὺς τῶν συμφωνιῶν ποιήσουσι λόγους. ἔσται γὰρ τὰ δώδεκα πρὸς μὲν τὰ ἐννέα, διὰ τεσσάρων, ὡς νήτη πρὸς μέσην· πρὸς δὲ τὰ ὀκτὼ, διὰ πέντε, ὡς νήτη πρὸς παραμέσην [4], πρὸς δὲ τὰ ϛ', διὰ πασῶν, ὡς νήτη πρὸς ὑπάτην. ὁ δὲ σιϛ', κύβος ἐστὶν, ἀπὸ ἑξάδος ἴσος τῇ ἑαυτοῦ περιμέτρῳ.

XIV. Τοιαύτας δὲ δυνάμεις τῶν ἐκκειμένων ἀριθμῶν ἐχόντων, ἴδιον τῷ τελευταίῳ συμβέβηκε τῷ κζ', τὸ

1 Ita in R. correctum legitur, quod W. ex Ald. Bas. Xyl. B. E. revocavit pro vulg. ποιεῖν.

2 Legendum, W. monente, ut modo καὶ τοῦ πρώτου ἀρτίου καὶ περιττοῦ.

3 In Ald. Bas. Xyl. iterata leguntur καὶ τοῦ τριγώνου τὰ ὀκτὼ, καὶ παραλληλογράμμων: perperam, W. monente.

4 Vulgo ὡς νήτη πρὸς μέσην. Xyl. legendum censuit vertitque ὡς μέση πρὸς ὑπάτην. W. dedit παραμέσην ex Venet. Jannot. versionibus Turn. & Amiot. eodem ducentibus B. E. ὡς νήτη παρὰ μέσην.

τὸ τοῖς πρὸ αὐτοῦ συντιθέμενον ἴσον εἶναι πᾶσιν· ἔστι δὲ καὶ περιοδικὸς σελήνης· καὶ τῶν ἐμμελῶν διαστημάτων οἱ Πυθαγορικοὶ τὸν τόνον ἐν τούτῳ τῷ ἀριθμῷ τάττουσι· διὸ καὶ τὰ τρισκαίδεκα λεῖμμα καλοῦσιν· ἀπολείπει γὰρ μονάδι τοῦ ἡμίσεως. ὅτι δὲ οὗτοι καὶ τοὺς τῶν συμφωνιῶν λόγους περιέχουσι, ῥᾴδιον καταμαθεῖν. καὶ γὰρ διπλάσιος λόγος ἐστὶν ὁ τῶν δύο πρὸς τὸ ἕν, ἐν ᾧ τὸ διὰ πασῶν· καὶ ἡμιόλιος ὁ πρὸς τὰ δύο τῶν τριῶν [1], ἐν ᾧ τὸ διὰ πέντε· καὶ ἐπίτριτος, ὁ πρὸς τὰ τρία τῶν τεσσάρων, ἐν ᾧ τὸ διὰ τεσσάρων· καὶ τριπλάσιος, ὁ πρὸς τὰ τρία τῶν ἐννέα, ἐν ᾧ τὸ διὰ πασῶν καὶ διὰ πέντε· καὶ τετραπλάσιος ὁ πρὸς τὰ δύο τῶν ή, ἐν ᾧ τὸ δὶς διὰ πασῶν· ἔνεστι δὲ καὶ ἐπόγδοος τῶν ὀκτὼ πρὸς τὰ ἐννέα, ἐν ᾧ τὸ τονιαῖον. οὖν τοίνυν ἡ μονὰς, ἐπίκοινος οὖσα, καὶ τοῖς ἀρτίοις συναριθμῆται καὶ τοῖς περιττοῖς, ὁ μὲν ἅπας ἀριθμὸς τὸ τῆς δεκάδος παρέχεται πλῆθος· οἱ γὰρ ἀπὸ μονάδος μέχρι τῶν δέκα συντιθέμενοι [2] πεντεκαίδεκα, τρίγωνον ἀπὸ πεντάδος· ὁ δὲ περιττὸς τὸν τετταράκοντα κατὰ σύνθεσιν μὲν, ἐκ τῶν δεκατριῶν καὶ τῶν κζ' γενόμενον, οἷς τὰ μελῳδούμενα μετροῦσιν εὐσήμως οἱ μαθηματικοὶ διαστήματα, τὸ μὲν δίεσιν, τὸ δὲ τόνον καλοῦντες· κατὰ τὸν πολλαπλασιασμὸν δὲ, τῇ τῆς τετρακτύος δυνάμει γινόμενον· τῶν γὰρ πρώτων τεσσάρων καθ' αὐτὸν ἑκάστου τετράκις λαμβανομένου, γίνεται τέσσαρα [3], καὶ ή, καὶ ιβ', καὶ ις'· ταῦτα τὸν μ' συν-

1 Hunc Genitivum, nec non deinde τεσσάρων dedit W. ex B. & E. Vulgo τῶν τρία, & τῶν τέσσαρα.

2 W. notat, in B. & E. spatium esse unius versus inter συντιθέμενοι & πεντεκαίδεκα, & locum ita supplendum videri συντιθέμενοί εἰσι πεντήκοντα καὶ πέντε· καὶ ὁ μὲν ἄρτιος παρέχεται τὰ πεντεκαίδεκα. Ita quoque in Latinis reddidit.

3 In R. legitur γίνεται ἑ τέσσαρα, quod e vitiosa Frft. lectione ετέσσαρα ortum est.

συντίθησι, περιέχοντα τὰς τῶν συμφωνιῶν λόγους· τὰ μὲν γὰρ ις', ἐπίτριτα τῶν δεκαδύο ἐστὶν, τῶν δὲ ή διπλάσια, τῶν δὲ τεσσάρων τετραπλάσια· τὰ ιβ', τῶν ὀκτὼ ἡμιόλια, τῶν δὲ τεσσάρων τριπλάσια· οὗτοι δὲ οἱ λόγοι, τὸ διὰ τεσσάρων, καὶ τὸ διὰ πέντε, καὶ τὸ διὰ πασῶν, καὶ τὸ δὶς διὰ πασῶν περιέχουσιν. ἴσος γε μήν ἐστιν ὁ τῶν τεσσαράκοντα δυεῖν τετραγώνοις καὶ δυσὶ κύβοις ὁμοῦ λαμβανομένοις· τὸ γὰρ ἓν καὶ τὰ τέσσαρα καὶ τὰ ὀκτὼ καὶ τὰ κζ' κύβοι καὶ τετράγωνοι γίνονται συντεθέντες. ὥστε πολὺ τῆς Πυθαγορικῆς τὴν Πλατωνικὴν τετρακτὺν ποικιλωτέραν εἶναι τῇ διαθέσει καὶ τελειοτέραν.

XV. Ἀλλὰ ταῖς εἰσαγομέναις μεσότησι τῶν ὑποκειμένων ἀριθμῶν χώρας οὐ διδόντων, ἐδέησε μείζονας ὅρους λαβεῖν ἐν τοῖς αὐτοῖς λόγοις· καὶ λεκτέον, τίνες εἰσὶν οὗτοι. πρότερον δὲ περὶ τῶν μεσοτήτων· ὧν τὴν μὲν ἴσῳ κατ' ἀριθμὸν ὑπερέχουσαν, ἴσῳ δὲ ὑπερεχομένην, ἀριθμητικὴν οἱ νῦν καλοῦσι· τὴν δὲ ταυτῷ μέρει τῶν ἄκρων αὐτῶν ὑπερέχουσαν καὶ ὑπερεχομένην, ὑπεναντίαν. ὅροι δέ εἰσι τῆς μὲν ἀριθμητικῆς, ς', καὶ θ', καὶ ιβ'· τὰ γὰρ ἐννέα τῷ ἴσῳ κατ' ἀριθμὸν τῶν ἓξ ὑπερέχει, καὶ τῶν ιβ' λείπεται· τῆς δὲ ὑπεναντίας, ς', ή, ιβ'· τὰ γὰρ ὀκτὼ δυσὶ [1] μὲν τῶν ς' ὑπερέχει, τέτταρσι δὲ τῶν ιβ' λείπεται, ὧν τὰ μὲν δύο τῶν ἓξ, τὰ δὲ τέτταρα τῶν δώδεκα τριτημόριόν ἐστι. συμβέβηκεν οὖν ἐν μὲν τῇ ἀριθμητικῇ τῷ αὐτῷ μέρει τὸ μέσον [2] ὑπερέχεσθαι καὶ ὑπερέχειν, ἐν δὲ τῇ ὑπεναντίᾳ τῷ αὐτῷ μέρει τῶν ἄκρων, τοῦ μὲν [3] ἀποδεῖν, τὸ δὲ ὑπερβάλλειν· ἐκεῖ μὲν γὰρ τὰ τρία τοῦ μέσου τρίτον ἐστὶ μέρος, ἐνταῦθα δὲ τὰ δ' καὶ τὰ β', τῶν ἄκρων ἑκάτερον ἑκατέρου· ὅθεν ὑπεναντία κέκληται. ταύ-

1 Sic W. ex F. sumsit pro vulg. ὀκτὼ δύο.

2 Pro μέσον Ald. Bas. ἴσον.

3 Turn. τὸ μέν. Deinde Ald. & Bas. τὸν δέ; V. τοῦ δέ.

ταύτην δὲ ἁρμονικὴν ὀνομάζουσιν, ὅτι τοῖς ὅροις τὰ πρῶτα σύμφωνα παρέχεται, τῷ μὲν μεγίστῳ πρὸς τὸν ἐλάχιστον τὸ διὰ πασῶν· τῷ δὲ μεγίστῳ πρὸς τὸν μέσον τὸ διὰ πέντε, τῷ δὲ μέσῳ πρὸς τὸν ἐλάχιστον τὸ διὰ τεσσάρων· ὅτι τοῦ μεγίστου τῶν ὅρων κατὰ νήτην τιθεμένου, τοῦ δ' ἐλαχίστου καθ' ὑπάτην, ὁ μέσος γίνεται ὁ κατὰ μέσην, πρὸς μὲν τὸν μέγιστον τὸ διὰ πέντε ποιοῦσαν, πρὸς δὲ τὸν ἐλάχιστον τὸ διὰ [1] τεσσάρων· ὥστε γίνεσθαι τὰ ὀκτὼ κατὰ τὴν μέσην, τὰ δὲ δώδεκα κατὰ νήτην, τὰ δὲ ἓξ καθ' ὑπάτην.

XVI. Τὸν δὲ τρόπον, ᾧ λαμβάνουσι τὰς εἰρημένας μεσότητας, ἁπλῶς καὶ σαφῶς Εὔδωρος ἀποδείκνυσι. σκόπει δὲ πρότερον ἐπὶ τῆς ἀριθμητικῆς. ἂν γὰρ ἐκθεὶς τοὺς ἄκρους λάβῃς ἑκατέρου τὸ ἥμισυ μέρος, καὶ συνθῇς, ὁ συντεθεὶς ἔσται μέσος ἔν τε τοῖς διπλασίοις καὶ τοῖς τριπλασίοις ὁμοίως. ἐπὶ δὲ τῆς ὑπεναντίας, ἐν μὲν τοῖς διπλασίοις ἂν τοὺς ἄκρους ἐκθεὶς, τοῦ μὲν ἐλάττονος τὸ τρίτον, τοῦ δὲ μείζονος τὸ ἥμισυ λάβῃς, ὁ συντεθεὶς γίνεται μέσος· ἐν δὲ τοῖς τριπλασίοις ἀνάπαλιν, τοῦ μὲν ἐλάττονος ἥμισυ δεῖ λαβεῖν, τοῦ δὲ μείζονος τρίτον· ὁ γὰρ συντεθεὶς οὕτω, γίνεται μέσος· ἔστω γὰρ ἐν τριπλασίῳ λόγῳ τὰ ϛ' ἐλάχιστος ὅρος, τὰ δὲ ιή μέγιστος· ἂν οὖν τῶν ϛ' τὸ ἥμισυ λαβὼν τὰ τρία, καὶ τῶν ὀκτὼ καὶ δέκα τὸ τρίτον τὰ ϛ', συνθῇς, ἕξεις τὰ ἐννέα τῷ αὐτῷ μέρει τῶν ἄκρων ὑπερέχοντα καὶ ὑπερεχόμενα. οὕτως μὲν αἱ μεσότητες λαμβάνονται. δεῖ δ' αὐτὰς ἐκεῖ παρεντάξαι, καὶ ἀναπληρῶσαι τὰ διπλάσια καὶ τριπλάσια διαστήματα. τῶν δ' ἐκκειμένων ἀριθμῶν οἱ μὲν οὐδὲ ὅλως μεταξὺ χώραν ἔχουσιν, οἱ δ' οὐχ ἱκανήν· αὔξοντες οὖν αὐτοὺς, τῶν αὐτῶν λόγων διαμενόντων,

[1] Vulgo τὸν διὰ πέντε ποιοῦσα, πρὸς δὲ τὸν ἐλάχιστον, διὰ τεσσάρων. Secutus sum W. primum τὸ ex E. sumentem, ποιοῦσαν ex B. E. Venet. Oxon. & postremum τὸ addentem ex E. & Oxon.

νόντων, ὑποδοχὰς ποιῦσιν ἀρκέσας ταῖς εἰρημέναις μεσότησι. καὶ πρῶτον μὲν ἐλάχισον ἀντὶ [1] τῦ ἑνὸς τὰ ἓξ θέντες, ἐπεὶ πρῶτος ἥμισύ τε καὶ τρίτον ἔχει μέρος, ἅπαντας ἑξαπλασίυς τὺς ὑποτεταγμένυς ἐποίησαν, ὡς ὑπογέγραπται, δεχομένυς τὰς μεσότητας ἀμφοτέρας καὶ τοῖς διπλασίοις [2] διαςήμασιν. εἰρηκότος δὲ τῦ Πλάτωνος· Ἡμιολίων δὲ διαςάσεων καὶ ἐπιτρίτων καὶ ἐπογδόων γενομένων, ἐκ τύτων τῶν δεσμῶν ἐν ταῖς πρόσθεν διαςάσεσι τῷ τῦ ἐπογδόυ διαςήματι τὰ ἐπίτριτα πάντα συνεπλήρυ, λείπων αὐτῶν ἑκάςυ μόριον· τῆς δὲ [3] τῦ μορίυ ταύτης διαςάσεως λειφθείσης ἀριθμῦ πρὸς ἀριθμὸν ἐχύσης τὺς ὅρυς ς΄ καὶ ν΄ καὶ σ΄, πρὸς γ΄ καὶ μ΄ καὶ σ΄· διὰ ταύτην τὴν λέξιν ἠναγκάζοντο πάλιν τὺς ἀριθμὺς ἐπανάγειν καὶ μείζονας ποιεῖν. ἔδει μὲν γὰρ ἐφεξῆς ἐπόγδοα γίνεσθαι δύο· τῆς δὲ ἑξάδος ὔτ' αὐτόθεν ἐπόγδοον ἐχύσης, εἴτε τέμνοιτο, κερματιζομένων εἰς μόρια τῶν μονάδων, δυσθεωρήτυ τῆς μαθήσεως ἐσομένης, αὐτὸ τὸ πρᾶγμα τὸν πολυπλασιασμὸν ὑπηγόρευσεν, ὥσπερ ἐν ἁρμονικῇ μεταβολῇ τῦ διαγράμματος ὅλυ συνεπιτεινομένυ τῷ πρώτῳ τῶν ἀριθμῶν. ὁ μὲν ὖν Εὔδωρος ἐπακολυθήσας Κράντορι, πρῶτον ἔλαβε τὸν τπδ΄, ὃς γίνεται τῦ ἓξ ἐπὶ τὰ ξδ΄ πολλαπλασιασθέντος· ἐπηγάγετο δ' αὐτὺς ὁ τῶν ξδ΄ ἀριθμὸς, ἐπόγδοον ἔχων τὸν ή, πρὸς

1 Ald. Bas. ὄντι. Xyl. correxit.

2 W. monente, apparet supplendum esse ἀμφοτέρας τοῖς τε τριπλασίοις καὶ τοῖς διπλασίοις —, ac tale quid voluit Jannot. addens τριπλασίυ. Ad eundem sensum sese accommodat Interpres Germau. Amioto duce.

3 Ald. Bas. B. E. συνεπλήρυ τὸ λεῖπον αὐτῶν ἑκασομόριον τῆς τῦ μ. item Xyl. nisi quod συνεπληρῦτο habet. Vulgo συνεπληρῦτο, λείπων αὐτῶν ἑκάςυ μόριον τῆς τῦ μ. quod Steph. ex editis Platonis sumsit libris. W. e Turn. dedit συνεπλήρυ, ex eodem autem & Oxon. addidit δὲ, notans, deteriorem esse vulgatam hac lectione, licet ne eam quidem sanam omnino pronunciare ausit.

πρὸς τὸν οβʹ [1]. τοῖς δὲ ὑπὸ τȣ͂ Πλάτωνος λεγομένοις συμφωνότερόν ἐςιν ὑποθέσθαι τὸ ἥμισυ· τȣ́τȣ γὰρ τὸ λεῖμμα τὸν τῶν ἐπογδόων ἕξει λόγον ἐν ἀριθμοῖς, ȣ͂ς ὁ Πλάτων εἴρηκεν ςʹ καὶ νʹ καὶ σʹ, πρὸς τρία καὶ μʹ καὶ σʹ· τῶν ἑκατὸν ἐνενήκοντα δύο πρώτων τιθεμένων. ἂν δὲ ὁ τȣ́τȣ διπλάσιος τεθῇ πρῶτος, ἔςαι τὸ λεῖμμα λόγον μὲν ἔχον τὸν αὐτὸν, ἀριθμὸν δὲ τὸν διπλάσιον, ὃν ἔχει τὰ φιβʹ πρὸς υπδʹ· γίνεται γὰρ ἐπίτριτα, τῶν μὲν ἑκατὸν ἐνενήκοντα δύο, τὰ σνςʹ· τῶν δὲ τπδʹ, τὰ φιβʹ. καὶ κκ ἄλογος ἡ ἐπὶ τȣ͂τον ἀναγωγὴ τὸν ἀριθμὸν, ἀλλὰ καὶ τοῖς περὶ τὸν Κράντορα παραςχȣ͂σα τὸ εὔλογον· τὰ γὰρ ξδʹ, καὶ κύβος ἐςὶν ἀπὸ πρώτȣ τετραγώνȣ, καὶ τετράγωνος ἀπὸ πρώτȣ κύβȣ· γενόμενος δ ἐπὶ τὸν γʹ πρῶτον ὄντα περισσὸν, καὶ πρῶτον τρίγωνον, καὶ πρῶτον τέλειον ὄντα καὶ ἡμιόλιον, ἑκατὸν ἐνενήκοντα δύο πεποίηκεν, ἔχοντα καὶ αὐτὸν ἐπόγδοον, ὡς δείξομεν.

XVII. Πρότερον δὲ τί τὸ λεῖμμά ἐςι, καὶ τίς ἡ διάνοια τȣ͂ Πλάτωνος, μᾶλλον κατόψεσθε, τῶν εἰωθότων ἐν ταῖς Πυθαγορικαῖς σχολαῖς λέγεσθαι βραχέως ὑπομνησθέντες. ἔςι [2] γὰρ διάςημα ἐν μελῳδίᾳ πᾶν τὸ περιεχόμενον ὑπὸ δυοῖν φθόγγων ἀνομοίων τῇ τάσει· τῶν δὲ διαςημάτων ἓν ὁ καλȣ́μενος τόνος, ᾧ τὸ διὰ πέντε μεῖζόν ἐςι τȣ͂ διὰ τεσσάρων. τȣ͂τον οἱ μὲν ἁρμονικοὶ δίχα τεμνόμενον οἴονται δύο διαςήματα ποιεῖν, ὧν ἑκάτερον ἡμιτόνιον καλȣ͂σιν· οἱ δὲ Πυθαγορικοὶ τὴν μὲν εἰς ἴσα τομὴν ἀπέγνωσαν αὐτȣ͂, τῶν δὲ τμημάτων ἀνίσων ὄντων, λεῖμμα τὸ ἔλαττον ὀνομάζȣσιν, ὅτι τȣ͂ ἡμίσεως ἀπολείπει· διὸ καὶ τῶν συμφωνιῶν

1 Insigni menda foedatum esse hunc locum, & obscura reliqua, Xyl notat, legendum suspicans vertensque: ἐπόγδοον ἔχων τὸν οβʹ, καὶ ȣ͂τος τὸν παʹ W. notante idem facit Turn. & in Jannot additur καὶ ὁ οβʹ πρὸς τὸν παʹ.

2 Ald. Bas. ἔςαι.

φωνιῶν τὴν διὰ τεσσάρων, οἱ μὲν δυοῖν τόνων καὶ ἡμιτονίϩ ποιϩ̃σιν, οἱ δὲ δυοῖν καὶ λείμματος. μαρτυρεῖν δὲ δοκεῖ τοῖς μὲν ἁρμονικοῖς ἡ αἴσθησις, τοῖς δὲ μαθηματικοῖς ἡ ἀπόδειξις, ἧς τοιϩ̃τος ὁ τρόπος ἐςίν· ἐλήφθη διὰ τῶν ὀργάνων θεωρηθὲν, ὅτι τὸ μὲν διὰ πασῶν τὸν διπλάσιον λόγον ἔχει, τὸ δὲ διὰ πέντε τὸν ἡμιόλιον, τὸ δὲ διὰ τεσσάρων τὸν ἐπίτριτον, ὁ δὲ τόνος τὸν ἐπόγδοον. ἔξεςι δὲ καὶ νῦν βασανίσαι τὸ ἀληθὲς, ἢ βάρη δυοῖν ἄνισα χορδῶν ἐξαρτήσαντας, ἢ δυοῖν ἰσοκοίλων αὐλῶν τὸν ἕτερον μήκει διπλάσιον τϩ̃ ἑτέρϩ ποιήσαντας· τῶν μὲν γὰρ αὐλῶν ὁ μείζων βαρύτερον φθέγξεται, ὡς ὑπάτη πρὸς νήτην· τῶν δὲ χορδῶν ἡ τῷ διπλασίῳ κατατεινομένη βάρει, τῆς ἑτέρας ὀξύτερον, ὡς νήτη πρὸς ὑπάτην· τϩ̃το δ' ἐςὶ διὰ πασῶν. ὁμοίως δὲ καὶ τρία πρὸς δύο ληφθέντα μήκη καὶ βάρη, τὰ διὰ πέντε ποιήσει· καὶ τέσσαρα πρὸς τρία, τὸ διὰ τεσσάρων· ὧν τϩ̃το μὲν ἐπίτριτον ἔχει λόγον, ἐκεῖνο δὲ ἡμιόλιον. ἐὰν δὲ ὡς ἐννέα πρὸς ὀκτὼ γίνηται τῶν βαρῶν ἢ τῶν μηκῶν ἡ ἀνισότης, ποιήσει διάςημα τονιαῖον ϩ̓ σύμφωνον, ἀλλ' ἐμμελὲς, ὡς εἰπεῖν, ἔμβραχυ· τῷ [1] τϩ̀ς φθόγγϩς, ἂν ἀνὰ μέρος κρϩσθῶσι, παρέχειν ἡδὺ φωνϩ̃ντας καὶ προσηνές· ἂν δὲ ὁμϩ̃, τραχὺ [2] καὶ λυπηρόν· ἐν δὲ ταῖς συμφωνίαις κἂν ὁμϩ̃ κρϩ́ωνται, κἂν ἐναλλὰξ, ἡδέως προσίεται τὴν συνήχησιν ἡ αἴσθησις. ϩ̓ μὴν ἀλλὰ καὶ διὰ λόγϩ τϩ̃το δεικνύϩσιν. ἐν μὲν γὰρ ἁρμονίᾳ, τὸ διὰ πασῶν ἔκ τε τϩ̃ διὰ πέντε σύγκειται καὶ τϩ̃ διὰ τεσσάρων· ἐν δ' ἀριθμοῖς, τὸ διπλάσιον ἔκ τε τϩ̃ ἡμιολίϩ καὶ τϩ̃ ἐπιτρίτϩ· τὰ γὰρ δώδεκα, τῶν μὲν ἐννέα ἐςὶν ἐπίτριτα, τῶν δ' ὀκτὼ ἡμιόλια, τῶν δὲ ϛ' διπλάσια· σύνθετος ϩ̓̃ν ὁ τϩ̃ διπλασίϩ λόγος ἐςὶν ἐκ τϩ̃ ἡμιολίϩ καὶ τϩ̃ ἐπιτρίτϩ, καθάπερ ὁ τϩ̃ διὰ πασῶν, ἐκ τϩ̃ διὰ πέντε καὶ τϩ̃

 διὰ

1 Ald. Bas. habent τὸ.

2 Sic W. ex B. E. Venet. versione Xyl. accedente dedit pro vulg. παχὺ.

διὰ τεσσάρων· ἀλλὰ κἀκεῖ τὸ διὰ πέντε τȣ̃ διὰ τεσσάρων τόνῳ, κἀνταῦθα τὸ ἡμιόλιον τȣ̃ ἐπιτρίτȣ τῷ ἐπογδόῳ μεῖζόν ἐςι. Φαίνεται τοίνυν, ὅτι τὸ διὰ πασῶν τὸν διπλασιον λόγον ἔχει, καὶ τὸ διὰ πέντε τὸν ἡμιόλιον, καὶ τὸ διὰ τεσσάρων τὸν ἐπίτριτον, καὶ ὁ τόνος τὸν ἐπογδοον.

XVIII. Ἀποδεδειγμένȣ δὲ τȣ́τȣ, σκοπῶμεν, εἰ δίχα τέμνεσθαι πέφυκε τὸ ἐπόγδοον· εἰ γὰρ μὴ πέφυκεν, ȣ̓δὲ ὁ τόνος. ἐπεὶ δὲ πρῶτον τὸν ἐπόγδοον λόγον ὁ θ' καὶ ὁ η ποιȣ̃ντες, ȣ̓θὲν διάςημα μέσον ἔχȣσι, διπλασιασθέντων δ' ἀμφοτέρων, ὁ παρεμπίπτων μεταξὺ, δύο ποιεῖ διαςήματα· δῆλον, ὅτι, τȣ́των μὲν ἴσων ὄντων, δίχα τέμνεται τὸ ἐπόγδοον. ἀλλὰ μὴν διπλάσια γίνεται, τῶν μὲν θ' τὰ ιη καὶ ι, τῶν δ' ὀκτὼ τὰ ις' καὶ δέκα· δέχονται δὲ ȣ̃τοι μεταξὺ τὰ ιζ', καὶ γίνεται τῶν διαςημάτων τὸ μὲν μεῖζον, τὸ δ' ἔλαττον· ἔςι γὰρ τὸ μὲν πρότερον ἐφεπτακαιδέκατον, τὸ δὲ δεύτερον ἐφεκκαιδέκατον. εἰς ἄνισα τοίνυν τέμνεται τὸ ἐπόγδοον εἰ δὲ τȣ̃το, καὶ ὁ τόνος· ȣ̓δέτερον ἄρα γίνεται διαιρεθέντος αὐτȣ̃ τῶν τμημάτων ἡμιτόνιον, ἀλλ' ὀρθῶς ὑπὸ τῶν μαθηματικῶν λεῖμμα προσηγόρευται. καὶ τȣ̃τό ἐςιν, ὅ φησιν ὁ Πλάτων, τὰ ἐπίτριτα [1] τοῖς ἐπογδόοις συμπληρȣ̃ντα τὸν θεὸν, λείπειν ἑκάςȣ μόριον αὐτῶν· ȣ̃ λόγος ἐςὶν, ὃν ἔχει τὰ ς' καὶ ν' καὶ σ', πρὸς τὰ γ' καὶ μ' καὶ σ'. εἰλήφθω γὰρ τὸ διὰ τεσσάρων ἐν ἀριθμοῖς δυσὶ τὸν ἐπίτριτον λόγον περιέχȣσι, τοῖς σνς', καὶ τοῖς ἑκατὸν ἐνενήκοντα δύο· ὧν ὁ μὲν ἐλάττων, τα ἑκατὸν ἐνενήκοντα δύο, κείσθω κατὰ τὸν βαρύτατον [2] τȣ̃ τετραχόρδȣ φθόγγον· ὁ δὲ μείζων, τὰ σνς', κατὰ τὸν ὀξύτατον. ἀποδεικτέον, ὅτι, τȣ́τȣ συμπληρȣμένȣ δυσὶν ἐπογδόοις, λείπεται διάςημα τηλικȣ̃τον, ἡλίκον ὡς ἂν

1 Ald. Bas. τὰ τρίτα.
2 Ald. Bas. κατὰ τὸν βαρύτονον.

ἐν ἀριθμοῖς τὰ ϛ' καὶ γ' καὶ σ' ἔχει [1] πρὸς τὰ γ' καὶ μ' καὶ σ'. τοῦ γὰρ βαρυτέρου τόνῳ ἐπιταθέντος, ὅπερ ἐστὶν ἐπόγδοον, γίνεται σιϛ'· τούτου πάλιν τόνῳ ἄλλῳ [2] ἐπιταθέντος, γίνεται σμγ'· ταῦτα μὲν γὰρ ὑπερέχει τῶν σιϛ', τοῖς κζ'· τὰ δὲ σιϛ' τῶν ἑκατὸν ἐνενήκοντα δύο, τοῖς εἴκοσι καὶ τέσσαρσιν· ὧν τὰ μὲν κζ' τῶν σιϛ' ἐπόγδοά [3] ἐστι, τὰ δὲ κδ' τῶν ἑκατὸν ἐνενήκοντα δύο. διὸ γίνεται τῶν τριῶν τούτων ἀριθμῶν, ὅ τε μέγιστος ἐπόγδοος τοῦ μέσου, καὶ ὁ μέσος τοῦ ἐλαχίστου· τὸ δ' ἀπὸ τοῦ ἐλαχίστου διάστημα μέχρι τοῦ μεγίστου, τουτέστι τὸ ἀπὸ τῶν ἑκατὸν ἐνενήκοντα δύο μέχρι τῶν σμγ', δίτονον ἐκ δυοῖν συμπληρούμενον ἐπογδόων· ἀφαιρουμένου δὲ τούτου, περίεστι τοῦ ὅλου διάστημα λοιπὸν τὸ μεταξὺ τῶν σμγ', καὶ τῶν σνϛ', τὰ τρισκαίδεκα· διὸ καὶ λεῖμμα τοῦτον τὸν ἀριθμὸν ὠνόμαζον. ἐγὼ μὲν οὖν εὐσημότατα δηλοῦσθαι τὴν Πλάτωνος οἶμαι γνώμην ἐν τούτοις τοῖς ἀριθμοῖς.

XIX. Ἕτεροι δὲ τοὺς διὰ τεσσάρων ὅρους θέμενοι, τὸν μὲν ὀξὺν, ἐν τοῖς σπη', τὸν δὲ βαρὺν, ἐν τοῖς σιϛ', ἀναλόγως ἤδη [4] τοῖς ἑξῆς περαίνουσιν· πλὴν ὅτι τὸ λεῖμμα τῶν [5] δυοῖν τῶν μεταξὺ λαμβάνουσι· τοῦ γὰρ βαρυτέρου τόνῳ ἐπιταθέντος, γίνεται σμγ'· τοῦ δ' ὀξυτέρου τόνῳ ἀνεθέντος [6], γίνεται σνϛ'· ἐστι γὰρ ἐπόγδοα τὰ μὲν σμγ' τῶν σιϛ', τὰ δὲ σπη' τῶν σνϛ'· ὥστε τονιαῖον

 εἶναι

1 Vulgo absunt ἔχει πρὸς τὰ γ' καὶ μ' καὶ σ'. Hinc Xyl. notat, ὑπερέχουσι τῶν σμγ, aut aliquid tale excidisse. Addidit W. ex Turn. V. Jannot. Oxon. & suppleverant jam vertendo Turn & Xy.

2 Ald. Bas. τόνον ἄλλως.

3 Xyl. judice ἐπόγδοα pro octava parte a librario potius, quam auctore positum videtur pro ὄγδοα aut ὑπόγδ.

4 Sic W. dedit ex B. E. pro vulg. τοίνυν.

5 Pro τὸ λεῖμμα τῶν Ald. & Bas. dant τῶν λειμμάτων; & ita W teste, reliqui omnes. Vulgatam recte Steph. dedit secundum Jannot. Turneb. Xyl version.

6 Ald. Bas. τόνον ἀναταθέντος.

εἶναι τῶν διαστημάτων ἑκάτερον, λείπεσθαι δὲ τὸν μεταξὺ τῶν σμγʹ καὶ τῶν σνϛʹ, ὅπερ οὐκ ἔστιν ἡμιτόνιον, ἀλλ' ἔλαττον· τὰ μὲν γὰρ σπηʹ, τῶν σνϛʹ ὑπερέχει τοῖς λʹ καὶ δυσὶ, τὰ δὲ σμγʹ τῶν σιϛʹ ὑπερέχει τοῖς κζʹ, τὰ δὲ σνϛʹ τῶν σμγʹ ὑπερέχει τοῖς ιγʹ· ταῦτα δ' ἀμφοτέρων [1] τῶν ὑπεροχῶν ἐλάττω ἢ ἡμίσεά ἐστι. διὸ δυοῖν τόνων καὶ λείμματος, οὐ δυοῖν καὶ ἡμίσεως, εὕρηται τὸ διὰ τεσσάρων. καὶ ταῦτα μὲν ἔχει τοιαύτην ἀπόδειξιν. ἐκεῖνο δ' οὐ πάνυ χαλεπὸν ἐκ τῶν προειρημένων συνιδεῖν, τί δή ποτε φήσας ὁ Πλάτων ἡμιολίας καὶ ἐπιτρίτας καὶ ἐπογδόους γίνεσθαι διαστάσεις ἐν τῷ συμπληροῦσθαι τὰς ἐπιτρίτους ταῖς ἐπογδόοις, οὐκ ἐμνήσθη τῶν ἡμιολίων, ἀλλὰ παρέλιπε. τὸ γὰρ ἡμιόλιον, τοῦ ἐπιτρίτου τῷ ἐπογδόῳ, ἢ τοῦ ἐπογδόου τῷ ἐπιτρίτῳ προστιθεμένου, συμπληροῦται [2].

XX. Ὑποδεδειγμένων [3] δὲ τούτων, τὸ μὲν συμπληροῦν τὰ διαστήματα, καὶ παρεντάττειν τὰς μεσότητας, εἰ καὶ μηδεὶς ἐτύγχανε πεποιηκὼς πρότερον, ὑμῖν [4] ἂν αὐτοῖς ἕνεκα γυμνασίας παρῆκα· νῦν δὲ πολλοῖς κἀγαθοῖς ἀνδράσιν ἐξειργασμένου τούτου, μάλιστα δὲ Κράντορι καὶ Κλεάρχῳ καὶ Θεοδώρῳ τοῖς Σωλεῦσι, μικρὰ περὶ τῆς τούτων

1 Ita e codice innominato exhibetur, deditque W. ex Anon. & Turn. pro vulg. ἀμφότερα.

2 Ald. Bas. Xyl. τὸ γὰρ ἡμιόλιον τοῦ ἐπιτρίτου τῷ ἐπογδόῳ τῷ ἐπιτρίτῳ προστιθεμένου συμπληροῦσθαι καὶ τὸ ἡμιόλιον, ceteris nitre va ianibus Hinc verba depravata esse, notat Xyl. & legendum iudicatur: γὰρ ἐπιτρίτου τῷ ἐπογδόῳ προστιθεμένου, συμπληροῦται καὶ τὸ ἡμιόλιον. Vulgatam dedit Steph. post Turn. & Amiot. Iudice W. praestat recepta lectio, modo putida iteratio tollatur, deletis ve bis ἢ τοῦ ἐπογδόου τῷ ἐπιτρίτῳ. Subiungit idem hanc coniecturam: τὸ γὰρ ἡμιόλιον τοῦ ἐπιτρίτου τῷ ἐπογδόῳ, ὡς τὸ ἐπίτριτον τῷ ἐπογδόῳ. τοῦ ἡμιολίου προστιθεμένου, συμπληροῦται Pro tribus vocabulis ἢ τοῦ ἐπογδόου Turn. & V. unam dabt voculam καὶ.

3 Steph. & Frft. ὑπ. δεδειγμένων, vitiose: omnes rell. recte ὑποδεδειγμένων.

4 Ald. Bas. ἡμῖν. Xyl. correxit cum Turn.

τούτων διαφορᾶς εἰπεῖν οὐκ ἄχρηστόν ἐστιν. ὁ γὰρ Θεόδωρος, οὐχ ὡς ἐκεῖνοι, δύο στίχους ποιῶν, ἀλλ' ἐπὶ μιᾶς εὐθείας ἐφεξῆς τάς τε διπλασίους ἐντάττων καὶ τοὺς τριπλασίους, πρῶτον μὲν ἰσχυρίζεται τῇ λεγομένῃ κατὰ μῆκος σχίσει [1] τῆς οὐσίας, δύο ποιούσῃ μοίρας, ὡς ἐκ μιᾶς, οὐ τέσσαρας ἐκ δυεῖν· ἔπειτά φησι τὰς τῶν μεσοτήτων παρεντάξεις, οὕτω λαμβάνειν προσήκειν χώραν· εἰ δὲ μὴ, ταραχὴν καὶ σύγχυσιν ἔσεσθαι, καὶ μεταστὰς εἰς τὸ πρῶτον, εὐθυς τριπλάσιον ἐκ τοῦ πρώτου διπλασίου τῶν συμπληρούντων ἑκάτερον ὀφειλόντων [2]. τοῖς δὲ περὶ τὸν Κράντορα βοηθοῦσιν αἵ τε θέσεις τῶν ἀριθμῶν [3], ἐπιπέδων ἐπιπέδοις, καὶ τετραγώνων τετραγώνοις, καὶ κύβων κύβοις ἀντιθέτως συζυγούντων, τῇ τε μὴ κατὰ τάξιν αὐτῶν λήψει, ἀλλ' ἐναλλὰξ ἀρτίων καὶ ἐπὶ * [4].

XXI. Κατὰ τὰ αὐτὰ ἔχων ὡς μορφὴν καὶ εἶδος· τὸ δὲ περὶ τὰ σώματα γινόμενον μεριστὸν, ὡς ὑποδοχὴν καὶ ὕλην· τὸ δὲ μίγμα κοινὸν ἐξ ἀμφοῖν ἀποτετελεσμένον. ἡ μὲν οὖν ἀμέριστος οὐσία καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσα, μὴ μικρότητι, καθάπερ τὰ ἐλάχιστα τῶν σωμάτων, νοείσθω φεύγουσα τὸν μερισμόν· τὸ γὰρ ἁπλοῦν καὶ ἀπαθὲς καὶ καθαρὸν αὐτῆς καὶ μονοειδὲς, ἀμε-



1 Ita Xyl. cum Turn. legit pro vulg. σχέσει, deditque W. ex Turn. V. Amiot. & Xyl. verss. ipſoque denique Plat. addens, Turn. vertendo retinuiſſe σχίσει. Cum Turn. ſimul Xyl. legit ποιούσῃ pro ποιήσῃ, quod eſt in Ald. & Bas.

2 W. adnotat: „ Haec & ipſa ſunt corrupta, & carere videntur proximis ſuis partibus, quippe perditis. In margine E. adſcriptum eſt ὅρα, ſignum corruptelae: & hic unus codex habet levem varietatem, συμπληροῦν: ceteri cum vulgata conſentiunt."

3 Vulgo περὶ τῶν ἀριθμῶν. W. delevit περὶ ex E. Venet. Oxon.

4 Xyl. monente multa deſunt, quae haud dubie de numerorum elegantem habuerunt progreſſionibus & harum comparationibus commentationem. W. teſte, omnes libri ſpatium vacuum habent. E. quidem quatuor verſuum ac dimidii quorum in medio eſt litera π.

ἀμερὲς εἴρηται, καὶ ἀμέριςον· ᾧ καὶ τῶν συνθέτων καὶ μεριςῶν καὶ διαφερομένων ἀμωσγέπως θίγεσα, παύει τὸ πλῆθος, καὶ καθίςησιν εἰς μίαν δι' ὁμοιότητος ἕξιν. την δὲ περὶ τὰ σώματα γενομένην, μεριςὴν εἰ μέν τις ἐθέλοι καλεῖν ὕλην, ὡς καὶ ὑποκειμένην ἐκείνῃ καὶ μεταληπτικὴν ἐκείνης φύσιν, ὁμωνυμίᾳ χρώμενος, ἐ διαφέρει πρὸς τὸν λόγον· οἱ δὲ σωματικὴν ἀξιῦντες ὕλην συμμίγνυθαι τῇ ἀμερίςῳ, διαμαρτάνυσι. πρῶτον μὲν, ὅτι τῶν ἐκείνης ὀνομάτων ἐδενὶ νῦν ὁ Πλάτων κέχρηται· δεξαμενὴν γὰρ εἴωθε καὶ πανδεχῆ καὶ τιθηνὴν ἀεὶ καλεῖν ἐκείνην, ἐ περὶ τὰ σώματα μεριςὴν, μᾶλλον δὲ σῶμα μεριζόμενον εἰς τὸ καθ' ἕκαςον. ἔπειτα τί διοίσει τῆς τῦ κόσμυ γενέσεως ἡ τῆς ψυχῆς, εἴπερ αμφοτέροις ἔκ τε τῆς ὕλης καὶ τῶν νοητῶν γέγονεν ἡ σύςασις; αὐτός γε μὴν ὁ Πλάτων, ὥσπερ ἀπωθέμενος [1] τῆς ψυχῆς τὴν ἐκ σώματος γένεσιν, ἐντὸς αὐτῆς φησὶν ὑπὸ τῦ θεῦ τεθῆναι τὸ σωματικὸν, εἶτ' ἔξωθεν ὑπ' ἐκείνης περικαλυφθῆναι· καὶ ὅλως ἀπεργασάμενος τῷ λόγῳ τὴν ψυχὴν, ὕςερον ἐπεισάγει τὴν περὶ τῆς ὕλης ὑπόθεσιν, μηθὲν αὐτῆς πρότερον, ὅτε τὴν ψυχὴν ἐγέννα, δεηθεὶς, ὡς χωρὶς ὕλης γενομένην.

XXII. Ὅμοια δὲ τύτοις ἐςὶν ἀντειπεῖν καὶ τοῖς περὶ Ποσειδώνιον· ἐ γὰρ μακρὰν τῆς ὕλης ἀπέςησαν· ἀλλὰ δεξάμενοι, τὴν τῶν περάτων ἐσίαν περὶ τὰ σώματα λέγεσθαι μεριςὴν, καὶ ταῦτα τῷ νοητῷ μίξαντες, ἀπεφήναντο, τὴν ψυχὴν ἰδέαν εἶναι τῦ πάντη διαςατῦ κατ' ἀριθμὸν συνεςῶσαν, ἁρμονίαν [2] περιέχοντα· τά τε γὰρ μαθηματικὰ τῶν πρώτων νοητῶν μεταξὺ καὶ τῶν αἰσθητῶν τετάχθαι, τῆς τε ψυχῆς τῶν νοητῶν

1 Ita W. ex B. & E. recepit. Valgo ἀποθέμενος.

2 Pro ἁρμονίαν Ald. & Bas. ἁμαρτίαν. Hinc Xyl. haec Turn. vertendo omisisse suspicatur, & mendum corrigit.

τῶν τὸ ἀΐδιον, καὶ τῶν αἰσθητῶν [1] τὸ παθητικὸν ἐχέσης, προσῆκον ἐν μέσῳ τὴν ὀσίαν ὑπάρχειν. ἔλαθε γὰρ καὶ τοῦτον [2] ὁ θεὸς τοῖς τῶν σωμάτων πέρασιν ὕστερον, ἀπειργασμένης ἤδη τῆς ψυχῆς, χρώμενος ἐπὶ τὴν τῆς ὕλης διαμόρφωσιν, τὸ σκεδαστὸν αὐτῆς καὶ ἀσύνδετον ὁρίζων καὶ περιλαμβάνων ταῖς ἐκ τῶν τριγώνων συναρμοττομένων ἐπιφανείαις· ἀτοπώτερον δὲ τὸ τὴν ψυχὴν ἰδέαν ποιεῖν· ἡ μὲν γὰρ εὐκίνητος [3], ἡ δὲ ἀκίνητος, καὶ ἡ μὲν ἀμιγὴς πρὸς τὸ αἰσθητὸν, ἡ δὲ τῷ σώματι συνειργμένη· πρὸς δὲ τούτοις ὁ θεὸς, τῆς μὲν ἰδέας ὡς παραδείγματος γέγονε μιμητὴς, τῆς δὲ ψυχῆς ὥσπερ ἀποτελέσματος δημιουργός. ὅτι δ' οὐδ' ἀριθμὸν ὁ Πλάτων τὴν οὐσίαν τίθεται τῆς ψυχῆς, ἀλλὰ ταττομένην ὑπ' ἀριθμοῦ, προείρηται.

XXIII. Πρὸς δ' ἀμφοτέρους τούτους κοινόν ἐστι, τὸ μήτε τοῖς πέρασι μήτε τοῖς ἀριθμοῖς μηδὲν ἴχνος ἐνυπάρχειν ἐκείνης τῆς δυνάμεως, ᾗ τὸ αἰσθητὸν ἡ ψυχὴ πέφυκε κρίνειν· νοῦν μὲν γὰρ αὐτῇ καὶ νοητὸν [4] ἡ της νοητῆς μέθεξις ἀρχῆς ἐμπεποίηκε· δόξας δὲ καὶ πίστεις, τὸ φανταστικὸν καὶ τὸ παθητικὸν ὑπὸ τῶν περὶ τὸ σῶμα ποιοτήτων, ὃ οὐκ ἄν τις ἐκ μονάδων, οὐδὲ γραμμῶν, οὐδ' ἐπιφανειῶν, ἁπλῶς νοήσειεν ἐγγινόμενον. καὶ μὴν οὐ μόνον αἱ τῶν θνητῶν ψυχαὶ γνωστικὴν τοῦ αἰσθητοῦ [5] δύναμιν ἔχουσιν, ἀλλὰ καὶ τὴν τοῦ κόσμου,

 φησὶν,

1 Ita W. dedit ex B. & E. Vulgo αἰσθητικῶν. Aliter Epitome: τῷ νοητῷ τὸ ἀΐδιον, καὶ τῷ αἰσθητικῷ τὸ παθητικον —.

2 Pro τοῦτον Ald. Baſ. τὴν τοῦτου.

3 W. judice forte rectius fit ἀεικίνητος, ut Epitome.

4 Tu n. V. Anon. καὶ νοητικὸν, quod W. aliquanto melius eſſe cenſet, his additis: „recepiſſem, ſi lectio, potius quam correctio videretur: hactenus placet, quod habet activam vim, quam locus requirit: ſed item articulum requirit uſus, καὶ τὸ νοητικόν. Itaque malim καὶ νόητιν."

5 Ita e Turn. & V. notatur, deditque W. ſententiae nexu flagitante ex E. Epitom. & Anon. pro vulg. αἰσθητικοῦ.

φησὶν, ἀνακυκλεμένην αὐτὴν πρὸς ἑαυτὴν, ὅταν ἐσίαν σκεδασὴν ἔχοντός τινος ἐφάπτηται, καὶ ὅταν ἀμέριςον, λέγη [1] κινεμένην διὰ πάσης ἑαυτῆς, ὅτῳ τ' ἂν τι [2] ταυτὸν ᾖ, καὶ ὅτῳ ἂν ἕτερον, πρὸς ὅ τι τε μάλιςα, καὶ ὅπη καὶ ὅπως συμβαίνει καταγινομενα πρὸς ἕκαςον εἶναι καὶ πάσχειν. ἐν τέτοις ἅμα καὶ των δέκα κατηγοριῶν ποιέμενος ὑπογραφὴν, ἔτι μᾶλλον τοῖς ἐφεξῆς διασαφεῖ. Λόγος γὰρ, φησὶν, αληθης [3], ὅταν μὲν περὶ τὸ αἰσθητὸν γίνηται, καὶ ὁ τῦ θατέρε κύκλος ὀρθὸς ἰὼν εἰς πᾶσαν αυτε τὴν ψυχὴν διαγγείλῃ, δόξαι καὶ πίςεις γίνονται βέβαιοι και ἀληθεῖς· ὅταν δ' αὖ περὶ τὸ λογιςικὸν ᾖ, καὶ ὁ τε ταυτε κύκλος εὔτροχος ὢν αυτὰ μηνύσῃ, ἐπιςήμη ἐξ ἀνάγκης ἀποτελεῖται· τέτω δ' ἐν ᾧ τὰν ὄνταν ἐγγίνεσθον, ἐάν ποτέ τις αὐτὸ ἄλλο πλὴν ψυχὴν προσείπῃ, πᾶν μᾶλλον ἢ τὸ ἀληθὲς ἐρεῖ· πόθεν ἂν ἔχεν ἡ ψυχὴ τὴν ἀντιληπτικὴν τε αἰσθητε καὶ δοξαςικὴν ταύτην κίνησιν ἑτέραν τῆς νοητικῆς ἐκείνης καὶ τελευτώσης εἰς ἐπιςήμην, ἔργον εἰπεῖν, μὴ θεμένες βεβαίως, ὅτι νῦν ἐχ ἁπλῶς ψυχὴν, ἀλλὰ κόσμε ψυχὴν συνίςησιν ἐξ ὑποκειμένων, τῆς τε κρείττονος ἐσίας καὶ ἀμερίςε. καὶ τῆς χείρονος [4], ἣν περὶ τὰ σώματα μεριςὴν κέκληκεν, ἐχ ἑτέραν ἔσαν ἢ τὴν δοξαςικὴν καὶ φανταςικὴν καὶ συμπαθη τῶ αἰσθητῶ κίνησιν, ἐ γενομένην, ἀλλ' ὑφεςῶσαν ἀΐδιον, ὥσπερ ἡ ἑτέρα. τὸ γὰρ νοερὸν ἡ φύσις ἔχεσα, και τὸ δοξαςικὸν εἶχεν· ἀλλ' ἐκεῖνο μὲν, ἀκίνητον, ἀπαθὲς, καὶ περὶ

1 Conſtructionem obliquam requirere λέγειν, notat W. monens ſimul, apud Platonem eſſe λέγει, ibique locum nonnihil rectius legi.

2 Ita ex Platone ſumſit W. Vulgo ἄν τι.

3 W. notante, plenius apud Platonem: Λόγος δὲ ὁ κατὰ ταυτὸν ἀληθὴς γιγνόμενος, περί τε θάτερον ὤν, καὶ περὶ τὸ ταυτὸν ἐν τῷ κινεμένῳ ὑφ' αὐτε φερόμενος ἄνευ φθόγγε καὶ ἠχῆς, ὅταν μὲν περὶ τὸ αἰσθητὸν γίγνηται —.

4 Articulum τῆς, qui vulgo deeſt, W. addidit ex E. Venet. Epitom.

περὶ τὴν ἀεὶ μένουσαν ἱδρυμένον οὐσίαν [1]. τοῦτο δὲ, μεριστὸν καὶ πλανητὸν, οὔτε δὴ φερομένης καὶ σκεδαννυμένης ἐφαπτόμενον ὕλης. οὔτε γὰρ τὸ αἰσθητὸν εἰλήχει τάξεως, ἀλλ' ἦν ἄμορφον καὶ ἀόριστον· ἥ τε περὶ τοῦτο τεταγμένη [2] δύναμις, οὔτε δόξας ἐνάρθρους [3], οὔτε κινήσεις ἁπάσας εἶχε [4] τεταγμένας, ἀλλὰ τὰς πολλὰς ἐνυπνιώδεις καὶ παραφόρους καὶ ταράττουσας τὸ [5] σωματοειδὲς, ὅσα μὴ κατὰ τύχην τῷ βελτίονι περιέπιπτεν· ἐν μέσῳ γὰρ ἦν ἀμφοῖν, καὶ πρὸς ἀμφότερα συμπαθῆ καὶ συγγενῆ φύσιν εἶχε, τῷ μὲν αἰσθητικῷ τῆς ὕλης ἀντεχομένη, τῷ δὲ κριτικῷ τῶν νοητῶν.

XXIV. Οὕτω δέ πως καὶ αὐτὸς διασαφεῖ τοῖς ὀνόμασι· Οὗτος γὰρ, φησὶ, παρὰ τῆς ἐμῆς ψήφου λογισθεὶς ἐν κεφαλαίῳ δεδόσθω λόγος, ὄν τε καὶ χώραν καὶ γένεσιν εἶναι, τρία τριχῇ καὶ πρὶν οὐρανὸν γενέσθαι. χώραν τε γὰρ καλεῖ τὴν ὕλην, ὥσπερ ἕδραν, ἔστιν ὅτε καὶ ὑποδοχήν· ὂν δὲ, τὸ νοητόν· γένεσιν δὲ τοῦ κόσμου μήπω γεγονότος, οὐδεμίαν ἄλλην ἢ τὴν ἐν μεταβολαῖς καὶ κινήσεσιν οὐσίαν, τοῦ τυποῦντος καὶ τοῦ τυπουμένου μεταξὺ τεταγμένην, διαδιδοῦσαν ἐνταῦθα τὰς ἐκεῖθεν εἰκόνας. διά τε δὴ ταῦτα μεριστὴ προσηγορεύθη, καὶ ὅτι τῷ αἰσθητῷ τὸ αἰσθανόμενον, καὶ τῷ φανταστῷ τὸ φανταζόμενον ἀνάγκη συνδιανέμεσθαι καὶ συμπαρήκειν· ἡ γὰρ αἰσθητικὴ κίνησις, ἰδία ψυχῆς οὖσα, κινεῖται πρὸς τὸ αἰσθητὸν ἐκτός· ὁ δὲ νοῦς, αὐτὸς μὲν ἀφ' ἑαυτοῦ μόνιμος ἦν καὶ ἀκίνητος, ἐγγενόμενος δὲ τῇ ψυχῇ καὶ κρατήσας, εἰς ἑαυτὸν ἐπιστρέφει, καὶ συμπεραίνει τὴν ἐγκύκλιον φορὰν περὶ

1 Vocem οὐσίαν, quae vulgo deest, W. ex B. E. Oxon. Jannot. Epitom. addidit.

2 Delendum censet W. τεταγμένη, quamvis sit in omnibus libris & in Epitome.

3 Ald. Bas. ἀνάρθρους. Xyl. correxit.

4 Sic W. dedit ex B. & marg. E. pro vulg. ἔχουσα.

5 Articulum τὸ, qui vulgo abest, addidit W. ex B. E. Oxon. Epitom.

περὶ τὸ μένον ἀεὶ μάλιϛα ψαύσαν τȣ̃ ὄντος. διο καὶ δυσανάκρατος ἡ κοινωνία γέγονεν αὐτῶν, τῷ ἀμερίϛῳ τὸ μεριϛόν, καὶ τῷ μηδαμῇ κινητῷ τὸ πάντη Φορητον μιγνύȣσα, καὶ καταβιαζομένη θατερον εἰς ταυτὸν συνελθεῖν. ἦν δὲ το θάτερον ȣ̓ κίνησις, ὥσπερ ȣ̓δὲ ταυτὸν ϛάσις [1], ἀλλ᾽ ἀρχὴ διαΦορᾶς καὶ ανομοιότητος. ἑκάτερον γὰρ ἀπὸ τῆς ἑτέρας ἀρχῆς κάτεισι, τὸ μὲν ταυτὸν ἀπὸ τȣ̃ ἑνὸς, τὸ δὲ θατερον ἀπὸ τῆς δυαδος· καὶ μέμικται πρῶτον ἐνταῦθα [2] περὶ τὴν ψυχὴν, ἀριθμοῖς καὶ λόγοις συνδεθέντα, καὶ μεσότησιν ἐναρμονίοις, καὶ ποιεῖ θατερον μὲν ἐγγενόμενον τῷ ταυτῷ διαΦοραν, τὸ δὲ ταυτὸν ἐν τῷ ἑτέρῳ τάξιν, ὡς δῆλον ἐϛιν ἐν ταῖς πρώταις τῆς ψυχῆς δυνάμεσιν· εἰσὶ δὲ αὗται, τὸ κριτικον καὶ τὸ κινητικόν. ἡ μὲν ȣ̓̃ν κίνησις ευθὺς ἐπιδείκνυται περὶ τὸν ȣ̓ρανὸν, ἐν μὲν [3] τῇ ταυτότητι τὴν ἑτερότητα τῇ περιΦορᾷ τῶν ἀπλανῶν [4], ἐν δὲ τῇ ἑτερότητι τὴν ταυτότητα τῇ τάξει τῶν πλανητῶν· ἐπικρατεῖ γὰρ ἐν ἐκείνοις τὸ ταυτὸν, ἐν δὲ τοῖς περὶ γῆν τἐναντίον. ἡ δὲ κρίσις [5] ἀρχὰς μὲν ἔχει δύο, τόν τε νȣ̃ν απὸ ταυτȣ̃ πρὸς τὰ καθολȣ, καὶ τὴν αἴσθησιν ἀπὸ τȣ̃ ἑτέρȣ πρὸς τὰ καθ᾽ ἕκαϛα. μέμικται δὲ λόγος ἐξ ἀμΦοῖν. νόησις ἐν τοῖς νοητοῖς, καὶ δόξα γινόμενος ἐν τοῖς αἰσθητοῖς· οργάνοις τε ταῖς [6] μεταξὺ Φαντασίαις τε καὶ μνήμαις χρώμενος, ὧν τὰ μὲν ἐν τῷ ταυτῷ τὸ ἕτερον, τα δ᾽ ἐν τῷ ἑτέρῳ ποιεῖ τὸ ταυτόν. ἔϛι γὰρ ἡ μὲν νόησις, τȣ̃ νοȣ̃ντος κίνησις περὶ τὸ μένον· ἡ δὲ

1 Ald Baſ. ἦν δὲ τὸ θάτερον ἡ κίνησις, ὥσπερ ȣ̓δὲ ταυτὸν ϛάσιν. Hinc Xyl. monet vitioſam eſſe lectionem, & legit ȣ̓δὲ ταυτὸν ϛάσις, addens, Turnebum legiſſe ἦν δὲ τὸ θάτερον ȣ̓ κίνησις, ὥσπερ ȣ̓δὲ ϛάσις, vel ἐν ταυτῷ ϛάσις.

2 Pro ἐνταῦθα Interpr. Germ. Kaltw. ſocius legit ταῦτα.

3 W. recepit μὲν ex B E. Venet. Epitom. pro vulg. δὲ,

4 Turn. V. ἐν διαΦορᾷ τῶν πλανητῶν.

5 Ald. Bas. ἡ δὲ κίνησις.

6 Pro ταῖς Ald. Bas καὶ.

δὲ δόξα, μονὴ τοῦ αἰσθανομένου περὶ τὸ κινούμενον· Φαντασίαν δὲ, συμπλοκὴν δόξης πρὸς αἴσθησιν οὖσαν, ἵστησιν ἐν μνήμῃ τὸ ταυτόν· τὸ δὲ θάτερον κινεῖ πάλιν ἐν διαφορᾷ τοῦ πρόσθεν καὶ νῦν, ἑτερότητος ἅμα καὶ ταυτότητος ἐφαπτόμενον.

XXV. Δεῖ δὲ τὴν περὶ τὸ σῶμα τοῦ κόσμου γενομένην σύνταξιν, εἰκόνα λαβεῖν τῆς ἀναλογίας, ἐν ᾗ διηρμόσατο ψυχήν. ἐκεῖ μὲν γὰρ ἦν ἄκρατον πῦρ [1], καὶ ἡ γῆ, χαλεπὴν πρὸς ἄλληλα κραθῆναι φύσιν ἔχοντα, μᾶλλον δὲ ὅλως ἄκρατον καὶ ἀσύστατον· ὅθεν ἐν μέσῳ θέμενος αὐτῶν, τὸν μὲν ἀέρα πρὸ τοῦ πυρὸς, τὸ δὲ ὕδωρ πρὸ τῆς [2] γῆς, ταῦτα πρῶτον ἀλλήλοις ἐκέρασεν, εἶτα διὰ τούτων ἐκεῖνα πρός τε ταῦτα καὶ πρὸς ἄλληλα συνέμιξε καὶ συνήρμοσεν. ἐνταῦθα δὲ πάλιν τὸ ταυτὸν καὶ τὸ θάτερον ἐναντίας δυνάμεις καὶ ἀκρότητας ἀντιπάλους συνήγαγεν, οὐ δι' αὐτῶν, ἀλλ' οὐσίας ἑτέρας μεταξὺ, τὴν μὲν ἀμέριστον πρὸ τοῦ ταυτοῦ [3], πρὸ δὲ τοῦ θατέρου τὴν μεριστὴν, ἔστιν ᾗ προσήκουσαν ἑκατέραν ἑκατέρᾳ, τάξας, εἶτα μιχθείσαις ἐκείναις ἐπεγκεραννύμενος, οὕτως τὸ πᾶν συνυφῆνεν ἓν [4] τῆς ψυχῆς εἶδος, ὡς ἦν ἄνυστον, ἐκ διαφόρων ὅμοιον, ἔκ τε πολλῶν ἓν ἀπειργασμένος. οὐκ εὖ δέ τινες εἰρῆσθαι λέγουσι δύσμικτον ὑπὸ τοῦ Πλάτωνος τὴν θατέρου φύσιν, οὐκ οὔδεκτον οὖσαν ἀλλὰ καὶ φίλην μεταβολῆς· μᾶλλον δὲ τὴν τῆς ταυτοῦ, μόνιμον καὶ δυσμετάβλητον οὖσαν, οὐ ῥᾳδίως προσίεσθαι μῖξιν, ἀλλὰ ἀπωθεῖσθαι καὶ φεύγειν, ὅπως ἁπλῆ διαμείνῃ καὶ εἰλικρινὴς καὶ ἀναλλοίωτος. οἱ δὲ ταῦτα [5] ἐγκαλοῦντες, ἀγνοοῦσιν, ὅτι τὸ

1 W. rectius susp. quod in Epitom. legitur ἄκρα τὸ πῦρ.

2 Sic in R. correctum legitur, quod W. ex Ald. Bas. Xyl. B. E. revocavit pro πρὸς τῆς γῆς, quod est in Steph. & Frft.

3 Ald. Bas. πρὸ τούτου.

4 Ald. συνῆφεν ἓν; Bas. συνύφηνεν absque ἓν.

5 Sic W. ex Turn. V. Xyl. Anon. dedit, proxime accedentibus B. & E. τ' αὐτὰ pro vulg. ταύτας.

τὸ μὲν ταυτὸν, ἰδέα τῶν ὡσαύτως ἐχόντων ἐςὶ, τὸ δὲ θάτερον, τῶν διαφόρως· καὶ τᾶτε μὲν ἔργον, ὧν ἂν ἅψηται, διϊςάναι [1] καὶ ἀλλοιᾶν, καὶ πολλὰ ποιεῖν· ἐκείνης δὲ, συνάγειν καὶ συνιςάναι δι' ὁμοιότητος ἐκ πολλῶν [2] μίαν ἀναλαμβανόντων μορφὴν καὶ δύναμιν.

XXVI. Αὗται μὲν ἂν δυνάμεις τῆς τᾶ παντὸς εἰσὶ ψυχῆς, εἰς δὲ θνητὰ καὶ παθητὰ παρεισιᾶσαι ὄργανα φθαρτῶν καὶ αὐτὰ σωμάτων, ἐν τάτοις τὸ τῆς δυαδικῆς καὶ ἀορίςε μερίδος ἐπιφαίνεται μᾶλλον εἶδος, δὲ [3] τῆς ἁπλῆς καὶ μοναδικῆς ἀμυδρότερον ὑποδέδυκεν. ὰ μὴν ῥᾳδίως ἄν τις ἔτε πάθος ἀνθρώπε παντάπασιν ἀπηλλαγμένον λογισμᾶ κατανοήσειεν, ἔτε διανοίας κίνησιν, ᾗ μηθὲν ἐπιθυμίας ἢ φιλοτιμίας ἢ τᾶ χαίροντος ἢ λυπεμένε πρόσεςι. διὸ τῶν φιλοσόφων οἱ μὲν τὰ πάθη λόγας ποιᾶσιν, ὡς πᾶσαν ἐπιθυμίαν καὶ λύπην καὶ ὀργὴν κρίσεις ἄσας· αἱ δὲ τὰς ἀρετὰς ἀποφαίνασι παθητικάς· καὶ γὰρ ἀνδρείᾳ [4] τὸ φοβέμενον, καὶ σωφροσύνῃ τὸ ἡδόμενον, καὶ δικαιοσύνῃ τὸ κερδαλέον εἶναι. καὶ μὲν θεωρητικῆς γε τῆς ψυχῆς ἄσης ἅμα καὶ πρακτικῆς, καὶ θεωράσης δὲ τὰ καθ' ὅλα καὶ τὰ καθ' ἕκαςα, καὶ νοεῖν μὲν ἐκεῖνα, ταῦτα δ' αἰσθάνεσθαι δοκάσης, ὁ κοινὸς λόγος ἀεὶ περί τε ταυτὸν ἐντυγχάνων τῷ θατέρῳ, καὶ ταυτῷ περὶ θάτερον, ἐπιχειρεῖ μὲν ὅροις καὶ διαιρέσεσι χωρίζειν τὸ ἓν καὶ τὰ πολλὰ, καὶ τὸ ἀμερὲς καὶ μεριςόν· ὰ δύναται δὲ καθαρῶς [5] ἐν

1 Sic W. dedit ex B. & E. pro vulg. διεςάναι.

2 Sic W. dedit ex B. & E. pro vulg. ἐκεῖ πολλῶν. Ald. & Bas. deinde ἀναλαμβάνοντα.

3 Ita W. distinxit, excidisse monens τὸ ante δὲ. Vulgo μᾶλλον· εἶδος δὲ.

4 Sic W. e Xyl. dedit, uti deinde σωφροσύνῃ & δικαιοσύνῃ, consentiente Venet. in ἀνδρείᾳ. Ald. Bas. B. E. Oxon. ἀνδρεία — σωφροσύνη — δικαιοσύνη. Hinc Steph. fecit ἀνδρείαν — σωφροσύνην — δικαιοσύνην. Ita & Graeco-lat. nisi quod ἀνδρείαν assumserant.

5 Turn. καθαρός.

ἐν ὀυδετέρῳ γενέϑαι, διὰ τὸ τὰς ἀρχὰς ἐναλλὰξ ἐμπεπλέχϑαι καὶ καταμεμίχϑαι δι' ἀλλήλων. καὶ διὰ τῦτο τῆς ὀυσίας τὴν ἐκ τῆς ἀμερίςȣ καὶ τῆς μεριςῆς ὁ ϑεὸς ὑποδοχὴν τῷ ταυτῷ [1] καὶ τῷ ἑτέρῳ συνέςησεν, ἵνα ἐν διαφορᾷ τάξις γένηται· τῦτο γὰρ ἦν γενέϑαι· ἐπεὶ χωρὶς τȣ́των, τὸ μὲν ταυτὸν ὀυκ εἶχε διαφορὰν, ὥςε ὀυδὲ κίνησιν, ὀυδὲ γένεσιν· ϑάτερον δὲ τάξιν ὀυκ εἶχεν, ὥςε ὀυδὲ σύςασιν, ὀυδὲ γένεσιν. καὶ γὰρ εἰ τῷ ταυτῷ συμβέβηκεν ἑτέρῳ εἶναι τῦ ἑτέρȣ, καὶ τῷ ἑτέρῳ πάλιν αὐτῷ ταυτὸν, ὀυϑὲν ἡ τοιαύτη μέϑεξις ἀλλήλων ποιεῖ γόνιμον, ἀλλὰ δεῖται τρίτης τινὸς, οἷον ὕλης, ὑποδεχομένης καὶ διατιϑεμένης ὑπ' ἀμφοτέρων. αὕτη δ' ἐςὶν, ἣν πρώτην συνέςησε τῷ περὶ τὰ νοητὰ μονίμῳ τῦ περὶ τὰ σώματα κινητικῦ τὸ ἄπειρον ὁρίσας.

XXVII. Ὡς δὲ φωνή τις ἐςὶν ἄλογος καὶ ἀσήμαντος, λόγος δὲ λέξις ἐν φωνῇ σημαντικῇ διανοίας, ἁρμονία δὲ τὸ ἐκ φϑόγγων καὶ διαςημάτων, καὶ φϑόγγος μὲν ἓν καὶ ταυτὸν, διάςημα δὲ φϑόγγων ἑτερότης καὶ διαφορὰ, μιχϑέντων δὲ τȣ́των ᾠδὴ γίνεται καὶ μέλος· ὅτω τὸ παϑητικὸν τῆς ψυχῆς ἀόριςον ἦν καὶ ἀςάϑμητον, εἶτα ὡρίϑη πέρατος ἐγγενομένȣ καὶ εἴδȣς τῷ μεριςῷ καὶ παντοδαπῷ τῆς κινήσεως· συλλαβῦσα δὲ τὸ ταυτὸν καὶ τὸ ἕτερον, ὁμοιότησι καὶ ἀνομοιότησιν ἀριϑμῶν ἐκ διαφορᾶς ὁμολογίαν ἀπεργασαμένων ζωή [2] τε τῦ παντός ἐςιν ἔμφρων καὶ ἁρμονία, καὶ λόγος ἄγων πειϑοῖ μεμιγμένην ἀνάγκην, ἣν εἱμαρμένην οἱ πολλοὶ καλῦσιν· Ἐμπεδοκλῆς δὲ φιλίαν ὁμῦ καὶ νεῖκος· Ἡράκλειτος δὲ, παλίντροπον [3] ἁρμονίην κόσμȣ, ὅκως π ρ λύρη;

1 Sic W. ex B. & E. dedit pro vulg. τῷ αὐτῷ.

2 Aliquid ad integritatem cum sententiae tum constructionis deesse monuit W qui cum Turn. ζῶν scripsit, vertitque probabilius: *vita exstitit Universi intelligens.* Ald. Bas. Xyl. Venet. ζῶν Steph. cum Anon. ζωὴ. Pro ἀπεργασ. Ald. Bas. ἐπεργασαμένων.

3 Turn. V. παλίντονον.

λύρης καὶ τόξυ· Παρμενίδης δὲ, Φῶς καὶ σκότος· Ἀναξαγόρας δὲ, νῦν καὶ ἀπειρίαν· Ζωροάςρης δὲ, θεὸν καὶ δαίμονα, τὸν μὲν, Ὠρομάσδην καλῶν, τὸν δ', Ἀριμάνιον· Εὐριπίδης δ' ὐκ ὀρθῶς ἀντὶ τῦ συμπλεκτικῦ τῶ διαζευκτικῶ κέχρηται·

Ζεὺς, εἴτ' ἀνάγκη φύσεως, εἴτε νῦς βροτῶν·

καὶ γὰρ ἀνάγκη καὶ νῦς ἐςιν ἡ διήκυσα διὰ πάντων δύναμις. Αἰγύπτιοι μὲν ὖν [1] μυθολογῦντες αἰνίττονται, τῦ Ὥρυ δίκην ὀφλοντος, τῶ μὲν πατρὶ τὸ πνεῦμα καὶ τὸ αἷμα, τῇ δὲ μητρὶ τὴν σάρκα καὶ τὴν πιμελὴν προσνεμηθῆναι. τῆς δὲ ψυχῆς ὐδὲν μὲν [2] εἰλικρινὲς ὐδ' ἄκρατον, ὐδὲ χωρὶς ἀπολείπεται τῶν ἄλλων· ἁρμονίη γὰρ ἀφανὴς φανερῆς κρείττων, καθ' Ἡράκλειτον, ἐν ᾗ τὰς διαφορὰς καὶ τὰς ἑτερότητας ὁ μιγνύων θεὸς ἔκρυψε καὶ κατέδυσεν. ἐμφαίνεται δὲ ὅμως αυτῆς [3], τῷ μὲν ἀλόγῳ τὸ ταραχῶδες, τῷ δὲ λογικῷ τὸ εὔτακτον, ταῖς δ' αἰσθήσεσι τὸ κατηναγκασμένον, τῷ δὲ νῷ τὸ αὐτοκρατές. ἡ δὲ ὁριςικὴ δύναμις τὸ καθόλυ καὶ τὸ ἀμερὲς διὰ συγγένειαν ἀγαπᾷ· καὶ τὐναντίον ἡ διαιρετικὴ πρὸς τὰ καθ' ἕκαςα φέρεται τῷ μεριςῷ· χαίρει δὲ ὅλον τῇ διὰ τὸ ταυτὸν [4] ἐφ' ᾃ δεῖται μεταβολῇ διὰ τὸ θἄτερον. ὐχ ἥκιςα δὲ ἥ τε πρὸς τὸ καλὸν διαφορὰ καὶ τὸ αἰχρὸν, ἥ τε πρὸς τὸ ἡδὺ καὶ τὸ ἀλγεινὸν αὖθις, οἵ τε τῶν ἐρώντων ἐνθυσιασμοὶ καὶ πτοήσεις καὶ διαμάχαι τῦ φιλοκάλυ πρὸς τὸ ἀκόλαςον ἐνδείκνυνται τὸ μικτὸν ἔκ τε τῆς θείας καὶ ἀπαθῦς, ἔκ τε τῆς θνητῆς καὶ περὶ τὰ σώ-

1 Non fatis expeditam effe hujus loci rationem, W. monet & quaerit, an legendum Αἰγύπτιοι μὲν νῦν αἰνίττονται, μυθολογῦντες.

2 W. pro μὲν corrigendum fufpicatur μένει aut μέρος.

3 Ita e Turn. & V. notatur, deditque W. accedentibus B. E. Oxon. pro vulg. αὐτοῖς.

4 Turn. V. τῦ ταυτῦ. W. notat, nec locum videri fanum, nec fe habere medicinam.

σώματα παθητῆς μερίδος ὧν καὶ αυτὸς ὀνομάζει τὸ μὲν ἐπιθυμίαν ἔμφυτον ἡδονῶν, τὸ δ' ἐπείσακτον δόξαν, ἐφιεμένην τȣ̃ ἀρίςȣ. τὸ γὰρ παθητικὸν ἀναδίδωσιν ἐξ ἑαυτῆς ἡ ψυχὴ, τȣ̃ δὲ νȣ̃ μετέχεν ἀπὸ τῆς κρείττονος ἀρχῆς ἐγγινομένȣ.

XXVIII. Τῆς δὲ διπλῆς κοινωνίας ταύτης ȣ̓δὲ ἡ περὶ τὸν ȣ̓ρανὸν ἀπήλλακται φύσις, ἀλλὰ ἑτεροῤῥεπȣ̃σα νῦν μὲν ὀρθȣ̃ται [1] τῇ ταυτȣ̃ περιόδῳ κράτος ἐχȣ́σῃ, καὶ διακυβερνᾶ τὸν κόσμον· ἔςαι δέ τις χρόνȣ μοῖρα, καὶ γέγοιεν ἤδη πολλάκις, ἐν ᾗ· τὸ μὲν φρόνιμον ἀμβλύνεται καὶ καταδαρθάνει λήθης ἐμπιπλάμενον τȣ̃ οἰκείȣ, τὸ δὲ σώματι σύνηθες ἐξ ἀρχῆς καὶ συμπαθὲς ἐφέλκεται καὶ βαρύνει καὶ ἀνελίσσει τὴν ἐν δεξιᾷ τȣ̃ παντὸς πορείαν, ἀναῤῥῆξαι δ' ȣ̓ δυναται παντάπασιν, ἀλλ' ἀνήνεγκεν αὖθις τὰ βελτίω καὶ ἀνέβλεψε προς τὸ παράδειγμα θεȣ̃ συνεπιςρέφοντος καὶ συνεπευθυνοντος. ȣ̔́τως ἐνδείκνυται πολλαχόθεν ἡμῖν τὸ μὴ πᾶν ἔργον εἶναι θεȣ̃ τὴν ψυχὴν, ἀλλὰ σύμφυτον ἔχȣσαν ἐν ἑαυτῇ τὴν τȣ̃ κακȣ̃ μοῖραν ὑπ' ἐκείνȣ διακεκοσμῆσθαι, τῷ μὲν ἑνὶ τὴν ἀπειρίαν ὁρίσαντος, ἵν' ȣ̓σία γένηται πέρατος μεταχȣ̃σα, τῇ δὲ ταυτȣ̃ καὶ τῇ ἑτέρȣ δυνάμει τάξιν καὶ μεταβολὴν καὶ διαφορὰν καὶ ὁμοιότητα συμμίξαντος, πᾶσι δὲ τȣ́τοις, ὡς ἀνυςὸν ἦν, κοινωνίαν πρὸς ἄλληλα καὶ φιλίαν ἐργασαμένȣ δι' ἀριθμῶν καὶ ἁρμονίας.

XXIX. Περὶ ὧν [2] εἰ καὶ πολλάκις ἀκηκόατε καὶ πολλοῖς ἐντετυχήκατε λόγοις καὶ γράμμασιν, ȣ̓ χεῖρόν ἐςι κἀμὲ βραχέως διελθεῖν, προεκθέμενον τὸ τȣ̃ Πλάτωνος· Μίαν ἀφείλετο πρῶτον ἀπὸ παντὸς μοῖραν· μετὰ δὲ ταύτην, ἀφῄρει διπλασίαν ταύτης· τὴν δ' αὖ τρί-

1 Sic W. dedit ex B. & E. pro vulg. ὁρᾶται.

2 W. ad haec notat: „Novum exordium ab hoc loco alienum, pars est confusionis notatæ supra (c. I & X.) Hic Platonis locus utrobi ponendus erat, quippe ibi explicitus."

τρίτην, ἡμιολίαν μὲν τῆς δευτέρας, τριπλασίαν δὲ τῆς πρώτης· τετάρτην δὲ, τῆς δευτέρας διπλῆν· πέμπτην δὲ, τριπλῆν τῆς τρίτης· τὴν δὲ ἕκτην, τῆς πρώτης ὀκταπλασίαν· ἑβδόμην δὲ, ἑπτακαιεικοσαπλασίαν τῆς πρώτης. μετὰ δὲ ταῦτα συνεπληρȣ̃το τά τε διπλάσια καὶ τριπλάσια διαστήματα, μοίρας ἔτι ἐκεῖθεν ἀποτέμνων, καὶ τιθεὶς εἰς τὸ μεταξὺ τȣ́των· ὥστ' ἐν ἑκάστῳ διαστήματι δύο εἶναι μεσότητας, τὴν μὲν ταυτῷ μέρει τῶν ἄκρων αὐτῶν ὑπερέχȣσαν, καὶ ὑπερεχομένην, τὴν δ' ἴσῳ μὲν κατ' ἀριθμὸν ὑπερέχȣσαν, ἴσῳ δὲ ὑπερεχομένην· ἡμιολίων δὲ διαστάσεων καὶ ἐπιτρίτων καὶ ἐπογδόων γενομένων, ἐκ τȣ́των τῶν δεσμῶν, ἐν ταῖς πρόσθεν διαστάσεσι τῷ τȣ̃ ἐπογδόȣ διαστήματι τὰ ἐπίτριτα πάντα συνεπλήρȣ, λείπων [1] αὐτῶν ἑκάστȣ μόριον, τῆς τȣ̃ μορίȣ ταύτης διαστάσεως λειφθείσης ἀριθμȣ̃ πρὸς ἀριθμὸν, ἐχȣ́σης τȣ̀ς ὅρȣς ἓξ καὶ πεντήκοντα καὶ διακοσίων, πρὸς τρία καὶ τετταράκοντα καὶ διακόσια. ἐν τȣ́τοις ζητεῖται πρῶτον περὶ τῆς ποσότητος τῶν ἀριθμῶν· δεύτερον, περὶ τῆς τάξεως· τρίτον, περὶ τῆς δυνάμεως. περὶ μὲν τῆς ποσότητος, τίνες εἰσὶν, ȣ̀ς ἐν τοῖς διπλασίοις καὶ τριπλασίοις [2] διαστήμασι λαμβάνει· περὶ δὲ τῆς τάξεως, πότερον ἐφ' ἑνὸς στίχȣ πάντας [3] ἐκθετέον, ὡς Θεόδωρος· ἢ μᾶλλον, ὡς Κράντωρ, ἐν τῷ Λ σχήματι, τȣ̃ πρώτȣ κατὰ κορυφὴν τιθεμένȣ, καὶ χωρὶς μὲν τῶν διπλασίων, χωρὶς δὲ τῶν τριπλασίων ἐν δυσὶ στίχοις ὑποταττομένων· περὶ δὲ τῆς χρείας καὶ τῆς δυνάμεως, τί ποιȣ̃σι παραλαμβανόμενοι πρὸς τὴν σύστασιν τῆς ψυχῆς.

XXX.

1 Vulgo συνεπληρȣ̃το, τὸ λείπων. Ald. Baf. Xyl. B. E. συνεπλήρȣ τὸ λεῖπον. Hoc τὸ λεῖπον etiam R. exhibet. W. correxit ex Oxon. Cf. fupra cap. XVI. pag. 305. not. 3. Locus Plat. eft. Vol. IX. opp. pag. 313. fq. Ibidem legitur ξυνεπληρȣ̃το. λείπων.

2 Voces καὶ τριπλασίοις, quae vulgo abfunt, addidit W. ex B. & E.

3 Ita W. dedit ex E. pro vulg. πάντα.

XXX. Πρῶτον ἦν περὶ τῆ πρώτε παραιτησόμεθα [1] τὲς λέγοντας, ὡς ἐπὶ τῶν λόγων αὐτῶν ἀπόχρη θεωρεῖν, ἣν ἔχει τά τε διαςήματα Φύσιν αἵ τε ταῦτα συμπληρῶσαι μεσότητες, ἐν οἷς ἄν τις ἀριθμοῖς ὑποθῆται χώρας ἔχεσι δεκτικὰς μεταξὺ τῶν εἰρημένων ἀναλογιῶν, ὁμοίως περαινομένης τῆς διδασκαλίας. καὶ γὰρ ἂν ἀληθὲς ᾖ τὸ λεγόμενον, ἀμυδρὰν ποιεῖ τὴν μάθησιν ἄνευ παραδειγμάτων, ἄλλης [2] τε θεωρίας ἀπείργει χάριν ἐχέσης ἐκ ἀΦιλόσοΦον. ἂν ἦν ἀπὸ τῆς μονάδος ἀρξάμενοι, τὰς διπλασίες καὶ τριπλασίες ἐν μέρει τιθῶμεν, ὡς αὐτὸς ὑΦηγεῖται [3], γενησονται κατὰ τὸν [4] ἑξῆς, ὅπε μὲν τὸ δεύτερον καὶ τὸ τέταρτον καὶ ὄγδοον, ὅπε δὲ τρίτον, καὶ ἔννατον καὶ εἰκοσοέβδομον· συνάπαντες μὲν ἑπτὰ, κοινῆς δὲ λαμβανομένης τῆς μονάδος, ἄχρι τεσσαρων τῷ πολλαπλασιασμῷ προϊόντων [5]. ἐ γὰρ ἐνταῦθα μόνον, ἀλλὰ πολλαχόθι τῆς τετράδος ἡ πρὸς τὴν ἑβδομάδα συμπάθεια γίνεται κατάδηλος. ἡ μὲν ἦν ὑπὸ τῶν Πυθαγορικῶν ὑμνεμένη τετρακτὺς, τὰ ἓξ καὶ τὰ τριάκοντα, θαυμαςὸν ἔχειν δοκεῖ, τὸ συγκεῖσθαι μὲν ἐκ πρώτων ἀρτίων τεσσάρων, καὶ πρώτων περισσῶν τεσσάρων, γίνεσθαι [6] δὲ συζυγία τεταρτη τῶν ἐΦεξῆς συντεθειμένων· πρωτη μὲν γὰρ ἐςι συζυγία, ἡ τε ἑνὸς καὶ τῶν δυοῖν· δευτέρα



1 Ita jam in R. nefcio quo correctore legitur, quod W. ex B. E. Oxon. Anon. Exempl. Turn. recepit, notandum quoque in ind. Frft. litera T. Idem jam legit Xyl. & probavit Lennep. ad Phalar. p. 169. Vulgo ἀπαρτησόμεθα.

2 Interpr. Germ. fufp. ἄλλως.

3 Sic W. dedit ex B. & E. Vulgo ἀΦηγεῖται.

4 W. monente τὸν videtur mutandum in τό. Oxon. τὲς.

5 W. monente defideratur quid ad fententiae abfolutionem, & forte excidit δὶς τέτταρες, aut fimile. Oxon. pro τεσσάρων in margine habet τεσσαράκοντα.

6 Vulgo τεσσάρων· γίνεται δέ. Hinc Xyl. lacunam pofuit. W. correxit dando γίνεσθαι ex B. & E.

τέρα τῶν [1] περιττῶν· τὴν γὰρ μονάδα κοινὴν ἔσαν ἀμφοῖν προτάξας, λαμβάνει τὰ ὀκτὼ, καὶ ἐφεξῆς τὰ κζ'. μονονεχὶ δεικνύων [2] ἡμῖν, ἣν ἑκατέρῳ γένει χώραν ἀποδίδωσι. ταῦτα μὲν ἔν ἑτέροις προσήκει [3] μᾶλλον ἐξακριβὲν· τὸ δ' ἀπολειπόμενον, οἰκεῖον ἐςι τῆς ὑποκειμένης ἡμῖν πραγματείας.

XXXI. Οὐ γὰρ ἐπίδειξιν ὁ Πλάτων θεωρίας μαθηματικῆς ποιέμενος εἰς φυσικὴν ὑπόθεσιν μὴ δεομένην μεσότητας ἀριθμητικὰς καὶ ἁρμονικὰς παρεισηγαγεν, ἀλλὰ ὡς μάλιςα δὴ τῇ συςάσει τῆς ψυχῆς τε λόγε τέτε προσήκοντος. καίτοι τινὲς μὲν ἐν τοῖς τάχεσι τῶν πλανωμένων σφαιρῶν, τινὲς δὲ μᾶλλον ἐν τοῖς ἀποςήμασιν, ἔνιοι δὲ, ἐν τοῖς μεγέθεσι τῶν ἀςέρων, οἱ δ ἄγαν ἀκριβὲν δοκἕντες, ἐν ταῖς τῶν ἐπικύκλων διαμέτροις ζητἕσι τὰς εἰρημένας ἀναλογίας, ὡς τὴν ψυχὴν ἕνεκα τέτων τε δημιεργε τοῖς ἐρανίοις ἐναρμόσαντος, εἰς ἑπτὰ μοίρας νενεμημένην. πολλοὶ δ καὶ τὰ Πυθαγορικὰ δεῦρο μεταφέρεσιν, ἀπὸ τε μέσε τὰς τῶν σωμάτων ἀποςάσεις τριπλασιάζοντες· γίνεται δὲ τἕτο κατὰ μὲν τὸ Πῦρ μονάδος τιθεμένης, κατὰ δ Ἀντίχθονα τριῶν, κατὰ δὲ Γῆν ἐννέα, καὶ κατὰ Σελήνην εἰκοσιεπτὰ, καὶ κατὰ τὸν Ἑρμὲν [4] μιᾶς καὶ ογδοηκοντα, κατὰ δὲ Φωσφορον τριῶν καὶ μ' καὶ σ', κατ' αὐτὸν

1 W. notante inter δευτέρα & τῶν nonnulla exciderunt, partim fupplenda comparatione fuperioris loci c. XI. init. In omnibus lib is continua haec funt nullo cum figno defectus. Xyl. in verfione afterifcum recte pofuit: Turn. ut fanum & integrum vertit.

2 W. judice efficacius requiri videtur. Ald. Oxon. μονονεχὶ ἂν δεικνύων, unde idem quaerit, an fuerit ἀναδεικνύων. Jannot. ἀποδεικνύων.

3 W. adnotat his verbis: „atqui hoc ipfum argumentum fupra Mathematicis rationibus ἐξηκρίβωται. Unde rurfus confirmatur fufpicio de duobus ejusdem argumenti libellis in unum confufis."

4 Ita W. dedit ex B. E. Venet. ut rectius vulgato Ἑρμῆν.

αὐτὸν δὲ τὸν Ἥλιον θ′ καὶ κ′ καὶ ψ′, ὅϛις ἅμα τετράγωνός τε καὶ κύβος ἐϛί· διὸ καὶ τὸν ἥλιον ἔϛιν ὅτε τετράγωνον καὶ κύβον προσαγορεύȣσιν. ȣ̎τως δὲ καὶ τὰς ἄλλας ἐπανάγȣσι τοῖς τριπλασιασμοῖς [1]. πολὺ τȣ̃ κατὰ λόγον ȣ̃τοί γε παραπαίοντες, εἴ τι τῶν γεωμετρικῶν ὄφελός ἐϛιν ἀποδείξεων, καὶ μακρῷ πιθανωτέρȣς παραβαλεῖν αὐτοῖς [2] ἀποδεικνύοντες τȣ̀ς ὁρμωμένȣς ἐκεῖθεν, ȣ̓δ αὐτὰς παντάπασιν ἐξακριβȣ̃ντας, ἀλλ᾽ ὡς ἔγγιϛα λέγοντας, ὅτι τῆς μὲν ἡλίȣ διαμέτρȣ πρὸς τὴν διάμετρον τῆς γῆς λόγος ἐϛὶ δωδεκαπλάσιος· τῆς γῆς δ᾽ αὖ πάλιν διαμέτρȣ πρὸς τὴν σελήνης διάμετρον τριπλάσιος· ὁ δὲ φαινόμενος ἐλάχιϛος τῶν ἀπλανῶν ἀϛέρων ȣ̓κ ἐλάττονα τῆς διαμέτρȣ τῆς γῆς ἢ τριτημόριον ἔχει τὴν διάμετρον· τῇ δὲ ὅλῃ σφαίρᾳ τῆς γῆς πρὸς τὴν ὅλην σφαῖραν τῆς σελήνης ὡς ἑπτὰ καὶ εἴκοσι πρόσεσι [3]. φωσφόρȣ δὲ καὶ γῆς αἱ μὲν διάμετροι τὸν διπλάσιον, αἱ δὲ σφαῖραι τὸν ὀκταπλάσιον ἔχȣσι λόγον· τὸ δὲ διάϛημα τῆς ἐκλειπτικῆς σκιᾶς [4], τῆς διαμέτρȣ τῆς σελήνης τριπλάσιον· ὃ δ᾽ ἐκτρέπεται πλάτος ἡ σελήνη τȣ̃ διὰ μέσȣ τῶν ζώων ἐφ᾽ ἑκάτερα, δωδεκατημόριον· αἱ δὲ πρὸς ἥλιον σχέσεις αὐτῆς ἐν τριγώνοις καὶ τετραγώνοις ἀποϛήμασι, διχοτόμȣς καὶ ἀμφικύρτȣς σχηματισμȣ̀ς λαμβάνȣσιν· ἓξ δὲ ζώδια διελθȣ̃σα, τὴν πανσέληνον, ὥσπερ τινὰ συμφωνίαν, ἐν ἑξατόνῳ διὰ πασῶν ἀποδίδωσι· τȣ̃ δὲ ἡλίȣ περὶ τὰς τροπὰς ἐλάχιϛα, καὶ μέγιϛα περὶ τὰς ἰσημερίας, ἔχοντος κινήματα, δι᾽ ὧν ἀφαιρεῖ τῆς ἡμέρας καὶ τῇ νυκτὶ προστίθη-



1 Ita W. dedit ex Oxon. pro vulg. τριπλασμοῖς.

2 W. corrigendum fusp. παραλαβεῖν αὐτοὶ — *oſtenduntque ſuo ipſi exemplo multo probabilius ipſis dixiſſe, qui hinc orſi ſunt.*

3 W. corrigendum fusp. πρὸς ἕν ἐϛι: fubintellecto ὁ λόγος.

4 Vulgo ἐκλειπτικῆς καὶ σκιᾶς. W. καὶ delevit cum B. E. & vers. Turn. Pro feq. διαμέτρȣ e Turn. & V. citatur διὰ μέσȣ vel διὰ μέσων.

τίθησιν, ἢ τοὐναντίον, οὕτος ὁ λόγος ἐστὶν, ἐν ταῖς πρώταις[1] ἡμέραις λ' μετὰ τὰς χειμερινὰς τροπὰς τῇ ἡμέρᾳ προστίθησι τὸ ἕκτον τῆς ὑπεροχῆς, ἣν ἡ μεγίστη νὺξ πρὸς τὴν βραχυτάτην ἡμέραν ἐμποιεῖ[2], τὰς δ' ἐφεξῆς τριάκοντα τὸ τρίτον, τὸ δὲ ἥμισυ ταῖς λοιπαῖς ἄχρι τῆς ἰσημερίας, ἐν ἑξαπλασίοις καὶ τριπλασίοις διαστήμασι τοῦ χρόνου τὴν ἀνωμαλίαν ἐπανισοῦντος. Χαλδαῖοι δὲ λέγουσι, τὸ ἔαρ ἐν τῷ διὰ τεττάρων γίνεσθαι πρὸς τὸ μετόπωρον· ἐν δὲ τῷ διὰ πέντε, πρὸς τὸν χειμῶνα· πρὸς δὲ τὸ θέρος, ἐν τῷ διὰ πασῶν. εἰ δ' ὀρθῶς ὁ Εὐριπίδης διορίζεται, θέρους τέσσαρας μῆνας καὶ χειμῶνος ἴσους,

Φίλης τ' ὀπώρας διπτύχους, ἦρός τ' ἴσους,

ἐν τῷ διὰ πασῶν αἱ ὧραι μεταβάλλουσιν. ἔνιοι δὲ Γῇ μὲν τὴν[3] τοῦ προσλαμβανομένου χώραν ἀποδιδόντες, Σελήνῃ δὲ τὴν ὑπάτην, Στίλβωνα δὲ καὶ Φωσφόρον ἐν διατόνοις καὶ λιχανοῖς κινοῦντες, αὐτὸν τὸν Ἥλιον ὡς μέσην[4] συνέχειν τὸ διὰ πασῶν ἀξιοῦσιν, ἀπέχοντα τῆς μὲν γῆς, τὸ διὰ πέντε, τῆς δὲ τῶν ἀπλανῶν τὸ διὰ τεσσάρων.

XXXII. Ἀλλ' οὔτε τούτων τὸ κομψὸν ἅπτεταί τινος ἀληθείας, οὔτ' ἐκεῖνοι παντάπασι τοῦ ἀκριβοῦς ἔχονται. οἷς δ' οὖν οὐ δοκεῖ ταῦτα τῆς τοῦ Πλάτωνος ἀπηρτῆσθαι διανοίας, ἐκεῖνα κομιδῇ φανεῖται τῶν μουσικῶν λόγων ἔχεσθαι, τὸ ε' τετραχόρδων ὄντων τῶν ὑπάτων καὶ μέσων, καὶ συνημμένων καὶ διεζευγμένων καὶ ὑπερβολαίων, ἐν πέντε διαστήμασι τετάχθαι τοὺς πλάνητας·

1 W. legendum arbitratur ἐν γὰρ ταῖς πρώταις, & huc revocandam particulam quae in B. E. Oxon. proxime pro τὰς est, μετὰ γὰρ χειμερινάς. Sententiam idem interpunctione expedivit.

2 Sic W. dedit ex B. Vulgo ἐποίει.

3 Sic W. ex E. dedit, prope accedente B. γῆν μὲν τὴν τοῦ. Vulgo γῇ μὲν ἐν τῇ τοῦ.

4 Sic W. ex B. E. Oxon. dedit pro vulg. μέσης.

τας· ὧν τὸ μέν [1] ἐςι τὸ ἀπὸ Σελήνης ἐπὶ Ἥλιον, καὶ τὲς ὁμοδρόμες Ἡλίῳ, Στίλβωνα καὶ ΦωσΦόρον· ἕτερον, τὸ ἀπὸ τέτων ἐπὶ τὸν Ἄρεως [2] Πυρόεντα· τρίτον δὲ, τὸ μεταξὺ τέτε καὶ Φαέθοντος· εἶτα ἑξῆς, τὸ ἐπὶ Φαίνωνα, καὶ πέμπτον ἤδη τὸ ἀπὸ τετε πρὸς τὴν ἀπλανῆ σφαῖραν· ὥςε τὲς ὁρίζοντας Φθόγγες τὰ τετράχορδα, τὸν τῶν πλανωμένων λόγον ἔχει ἀςέρων. ἔτι τοίνυν τὲς παλαιὲς ἴσμεν ὑπάτας μὲν δύο, τρεῖς δὲ νήτας, μίαν δὲ μέσην, καὶ μίαν παραμέσην τιθεμένες· ὥςε τοῖς πλάνησιν ἰσαρίθμες εἶναι τὲς ἑςῶτας. οἱ δὲ νεώτεροι τὸν προσλαμβανόμενον, τόνῳ διαΦέροντα τῆς ὑπάτης, ἐπὶ τὸ βαρὺ τάξαντες, τὸ μὲν ὅλον σύςημα δὶς διὰ πασῶν ἐποίησαν, τῶν δὲ συμΦωνιῶν τὴν κατὰ Φύσιν ἐκ ἐτήρησαν ταξιν· τὸ γὰρ διὰ πέντε πρότερον γίνεται τε διὰ τεσσάρων, ἐπὶ τὸ βαρὺ τῇ ὑπάτῃ [3] τε τόνε προσληΦθέντος. ὁ δὲ Πλάτων δῆλός ἐςιν ἐπὶ τὸ ὀξὺ προσλαμβάνων· λέγει γὰρ ἐν τῇ Πολιτείᾳ, τῶν ὀκτὼ σΦαιρῶν ἑκάςην περιΦέρειν τὴν [4] ἐπ' αὐτῇ σειρῆνα βεβηκυῖαν· ᾄδειν δὲ πάσας ἕνα τόνον [5] ἱείσας, ἐκ δὲ πασῶν κεράννυσθαι μίαν ἁρμονίαν. αὗται δ' ἀνιέμεναι τὰ θεῖα εἴρεσι, καὶ κατᾴδεσι τῆς ἱερᾶς προόδε [6] καὶ χορείας ὀκτάχορδον ἐμμέλειαν· ὀκτὼ γὰρ

 ἦσαν

1 Sic est in Ald. & Bas. deditque W. ex Oxon. & Venet. pro vulg. τὰ μὲν ἐςι, quod e Steph. in rell. transiit.

2 Vulgo ἀέροι. Xyl. legendum censuit Ἀρεος. W. dedit Ἄρεως ex B.

3 Ita jam in R. legitur, quod W. dedit pro vulg. ἀπάτῃ, consentientibus B. E. Oxon. Anon. Schott. Turn. V.

4 Pro τὴν Ald. Bas. εἶτα.

5 W. ex Plat. Rep. X (ed. Bip. Vol. VIII. p. 329.) legi notat — σειρῆνα συμπεριΦερομένην, Φωνὴν μίαν ἱεῖσαν ἀνά τονον — & inde corrigendum susp. ἀνὰ τόνον, ad loci sanitatem nil desiderari ultra monens.

6 Hanc vocem W. revocavit ex Ald. Bas. Xyl. Oxon. quibuscum plerique alii consentiunt. B. E. περιόδε, item probabile. Vulgo προσόδε, quod Steph. a Turn. sumsit. Paulo ante Ald. & Bas. εἴρεσαι καὶ κατᾴδεσαι.

ἦσαν καὶ οἱ πρῶτοι τῶν διπλασίων καὶ τριπλασίων ὅροι λόγων, ἑκατέρᾳ προσαριθμουμένης μερίδι τῆς μονάδος. οἱ δὲ πρεσβύτεροι Μούσας παρέδωκαν καὶ ἡμῖν εννέα· τὰς μὲν οκτὼ, καθάπερ ὁ Πλάτων, περὶ τὰ ουράνια· τὴν δ' ἐννάτην, τὰ περίγεια κηλεῖν ἀνακαλουμένην, καὶ καθιστᾶσαν ἐκ πλάνης καὶ διαφορᾶς ἀνωμαλίαν καὶ ταραχὴν ἐχούσης [1].

XXXIII. Σκοπεῖτε δὲ, μὴ τὸν μὲν οὐρανὸν ἄγει καὶ τὰ οὐράνια ταῖς περὶ αὐτὴν ἐμμελείαις καὶ κινήσεσιν ἡ ψυχὴ, φρονιμωτάτη καὶ δικαιοτάτη γεγονυῖα· γέγονε δὲ τοιαύτη τοῖς καθ' ἁρμονίαν λόγοις, ὧν εἰκόνες μὲν ὑπάρχουσιν εἰς τὰ ἀσώματα [2] ἐν τοῖς ὁρατοῖς καὶ ὁρωμένοις μέρεσι τοῦ κόσμου καὶ σώμασιν· ἡ δὲ πρώτη καὶ κυριωτάτη δύναμις ὁρατῶς ἐγκέκραται τῇ ψυχῇ, καὶ παρέχει σύμφωνον αὐτὴν καὶ πειθήνιον, ἀεὶ τῷ κρατίστῳ καὶ θειοτάτῳ μέρει τῶν ἄλλων ἁπάντων ὁμονοούντων. παραλαβὼν γὰρ ὁ δημιουργὸς ἀταξίαν [3] καὶ πλημμέλειαν ἐν ταῖς κινήσεσι τῆς ἀναρμόστου καὶ ἀνοήτου ψυχῆς διαφερομένης πρὸς ἑαυτὴν, τὰ μὲν διώρισε καὶ διέστησε, τὰ δὲ συνήγαγε πρὸς ἄλληλα καὶ συνέταξεν, ἁρμονίαις καὶ ἀριθμοῖς χρησάμενος· οἷς καὶ τὰ κουφότατα [4] σώματα, λίθοι καὶ ξύλα, καὶ φλοιοὶ φυτῶν, καὶ θηρίων εἰσὶ καὶ πυτίαι [5], συγκεραννύμενα καὶ συναρμοττόμενα, θαυμαστὰς μὲν ἀγαλμάτων ὄψεις, θαυμαστὰς δὲ παρέχει

1 Ita W. ex B. E. Bas. Xyl. dedit pro vulg. ἐχούσας.

2 Ald. Bas. εἰς τὰ σώματα.

3 Ald. Bas. κατ' ἀξίαν. Hinc Xyl. notat, non obscurum esse quin ab ἀταξίᾳ promanarit.

4 W. judice legendum κωφότατα. Omnes libri in vulgata consentiunt.

5 Pro his, quae corrupta sunt, Xyl. legendum censuit εἰσὶν αἱ πυτίαι, ipse tamen monens, ne sic quidem cohaerere dictionem. W. teste omnes libri vulgatum exhibent, Xyl. excepto. Eodem judice vitium videtur esse in εἰσὶ καί: pro quo aliud ponere, facile est; probabile ponere, non facile.

ἔχει φαρμακων καὶ ὀργάνων δυνάμεις. ᾗ καὶ Ζήνων ὁ Κιττιεὺς ἐπὶ θέαν αὐλητῶν παρεκάλει τὰ μειράκια καταμανθάνειν, οἵαν κέρατα καὶ ξύλα καὶ κάλαμοι, καὶ ὀστᾶ [1], λόγου μετέχοντα καὶ συμφωνίας, φωνὴν ἀφίησι. τὸ μὲν [2] γὰρ, ἀριθμῷ πάντα ἐπεοικέναι, κατὰ τὴν Πυθαγορικὴν ἀπόφασιν, λόγου δεῖται. τὸ δὲ πᾶσιν, οἷς [3] ἐκ διαφορᾶς καὶ ἀνομοιότητος ἐγγέγονε κοινωνία τις πρὸς ἄλληλα καὶ συμφωνία, ταύτῃ αἰτίαν εἶναι μετριότητα καὶ τάξιν, ἀριθμοῦ καὶ ἁρμονίας μεταχοῦσιν, οὐδὲ τοὺς ποιητὰς λέληθεν, ἄρθμια μὲν τὰ φίλα καὶ προσηνῆ καλοῦντας, ἀναρτίους [4] δὲ τοὺς ἐχθροὺς καὶ τοὺς πολεμίους, ὡς ἀναρμοστίαν τὴν διαφορὰν οὖσαν. ὁ δὲ τῷ Πινδάρῳ ποιήσας τὸ ἐπικήδειον·

Ἄρμενος ἦν ξείνοισιν ἀνὴρ ὅδε, καὶ φίλος ἀστοῖς·

εὐαρμοστίαν δῆλός ἐστι τὴν ἀρετὴν ἡγούμενος. ὥς που καὶ αὐτὸς ὁ Πίνδαρος

Τοῦ θεοῦ (φησιν) ἐπακούοντος οὐκ ἀνορέαν ἐπιδεικνύμενος τὸν Κάδμον [5].

οἵ τε πάλαι θεολόγοι, πρεσβύτατοι φιλοσόφων ὄντες, ὄργανα μουσικὰ θεῶν ἐνεχείριζον ἀγάλμασιν· οὐχ ὡς λύραν που καὶ αὐλοῦσιν [6], ἀλλ' οὐθὲν ἔργον οἰόμενοι

X 5 θεῶν,

1 Ita W. ex B. & E. recepit pro vulg. ὅσα. Pro μετέχοντα, quod sequitur, Turn. V. Bong. μετέχει.

2 Ita exhibent Turn. & V. deditque W. ex iisdem & E. pro vulg. τῷ μὲν.

3 Ald. Bas. τὸ δὲ πᾶσι θεοῖς. Xyl. correxit.

4 Ald. Baſ. ἀναρτείους. Xyl. legit ἀναρσίους.

5 Locus corruptus, cui W. ex ſuis libris nil medicinae afferre potuit. Memoratur idem fragmentum Vol. IX. p. 257. & apud Ariſtid. Or. Plat. II. p. 296. Collatis his locis W. legendum ſuſp. τοῦ θεοῦ, φησὶν, ἐπακοῦειν μουσικὰν ὀρθὰν καὶ ἄρθμιον ἐπιδεικνυμένου τὸν Κάδμον. Cf. Schneideri fragm. Pindar. p 35. pro ἐπακούοντος legendum monentis ἐπακούοντα.

6 Ita W. ſumſit ex B. & E. ducente eodem Oxon. αὐλὸν σιν. Vulgo αὐλὸν. Idem λύραν mutandum cenſet in λυρίζουσιν, notans, lacunam habere B. & E. inter που & καὶ, Oxon. inter αὐλὸν & ἀλλά.

θεῶν, οἷον ἁρμονίαν εἶναι καὶ συμφωνίαν· ὥσπερ ἂν ὁ τὰς ἐπιτρίτας καὶ ἡμιολίας καὶ διπλασίας λόγας ζητῶν ἐν τῷ ζυγῷ τῆς λυρας, καὶ τῇ χελώνῃ καὶ τοῖς κολλαβοις, γελοῖός ἐςι· δεῖ μὲν γὰρ ἀμέλει καὶ ταῦτα συμμέτρως γεγονέναι πρὸς ἄλληλα μήκεσι καὶ πάχεσι, τὴν δὲ ἁρμονίαν ἐκείνην ἐπὶ τῶν φθογγων [1] θεωρεῖν· ὅτως εἰκὸς μέν ἐςι καὶ τὰ σώματα τῶν ἀςέρων, καὶ τὰ διαςήματα τῶν κύκλων, καὶ τὰ τάχη τῶν περιφορῶν, ὥσπερ ὄργανα ἐν τεταγμένοις [2] ἔχειν ἐμμέτρως πρὸς ἄλληλα καὶ πρός τὸ ὅλον, εἰ καὶ τὸ ποσὸν ἡμᾶς τὸ μετρίε διαπέφευγε· τῶν μέντοι λόγων ἐκείνων, οἷς ὁ δημιεργὸς ἐχρήσατο, καὶ τῶν ἀριθμῶν ἔργον ἡγεῖσθαι τὴν αὐτῆς τῆς ψυχῆς ἐμμέλειαν [3] καὶ ἁρμονίαν πρὸς αὐτὴν, ὑφ' ἧς [4] καὶ τὸν ὀρανὸν ἐγγενομένη μυρίων ἀγαθῶν ἐμπέπληκε, καὶ τὰ περὶ γῆν ὥραις καὶ μεταβολαῖς μέτρον ἐχέσαις, ἄριςα καὶ κάλλιςα πρός τε γένεσιν καὶ σωτηρίαν τῶν γινομένων διακεκόσμηκεν.

1 W. legi vult ἐπὶ τῶν λόγων, paulo ante autem φθόγγες ζητῶν, reſtituendo, quae ſuis locis mota videantur.

2 Ald. Bas. Xyl. ἐντεταγμένοις. Steph. dedit diviſim, non diſſentientibus B E. Oxon. Venet. Quare W. putat excidiſſe λόγοις. Leonic. Schott. ἐντεταγμένα. Anon. Turn. V. ἐντεταμένα, pro quo in ind. Frſt. vitioſee notatur ἐντεταγμένα.

3 Ita cum W. dedi ex Turn. V. conſentientibus B. E. Anon. Vulgo ἐπιμέλειαν.

4 Ita W. ex B. E. dedit. Vulgo ἐφ' οἷς.

ΠΛΟΥ-

# ΠΛΟΥΤΑΡΧΟΥ
# ʽΕΠΙΤΟΜΗ ΤΟΥ ΠΕΡΙ ΤΗΣ ΕΝ ΤΩ ΤΙΜΑΙΩ ΨΥΧΟΓΟΝΙΑΣ.

Ο περὶ τῆς ἐν τῷ Τιμαίῳ ψυχογονίας ἐπιγεγραμμένος λόγος, ὅσα Πλάτωνι καὶ τοῖς Πλατωνικοῖς πεφιλοτίμηται ἀπαγγέλλει [1]. εἰσάγει δὲ καὶ γεωμετρικάς τινας ἀναλογίας καὶ ὁμοιότητας, πρὸς τὴν τῆς ψυχῆς, ὡς οἴεται, θεωρίαν συντεινούσας αὐτῷ· καὶ δὴ καὶ μουσικὰ καὶ ἀριθμητικὰ θεωρήματα.

II. Λέγει δὲ, τὴν ὕλην διαμορφωθῆναι ὑπὸ τῆς ψυχῆς, καὶ δίδωσι μὲν τῷ παντὶ ψυχὴν, δίδωσι δὲ καὶ ἑκάστῳ ζώῳ τὴν διοικοῦσαν αὐτὸ, καὶ πῆ μὲν ἀγέννητον εἰσάγει ταύτην, πῆ δὲ γενέσει δουλεύουσαν· ἀΐδιον δὲ τὴν ὕλην καὶ ὑπὸ τοῦ θείου διὰ τῆς ψυχῆς μορφωθῆναι, καὶ τὴν κακίαν δὲ βλάστημα τῆς ὕλης γεγονέναι, ἵνα μὴ (φησὶ) τὸ θεῖον αἴτιον τῶν κακῶν νομισθείη.

III. Ὅτι οἱ περὶ τὸν Ποσειδώνιον οὐ μακρὰν τῆς ὕλης ἀπέστησαν τὴν ψυχὴν, ἀλλὰ δεξάμενοι, τὴν τῶν περάτων οὐσίαν περὶ τὰ σώματα λέγεσθαι μεριστὴν, καὶ ταῦτα τῷ νοητῷ μίξαντες, ἀπεφήναντο τὴν ψυχὴν ἰδέαν εἶναι τοῦ πάντῃ διαστατοῦ κατ' ἀριθμὸν συνεστῶσαν ἁρμονίαν περιέχοντα· τά τε γὰρ μαθηματικὰ [2] τῶν πρώτων νοητῶν μεταξὺ καὶ τῶν αἰσθητῶν τετάχθαι· τῆς τε ψυχῆς τῷ νοητῷ τὸ ἀΐδιον, καὶ τῷ αἰσθητικῷ τὸ

[1] Cum W. restitui lectionem Ald. Bas. Xyl. pro vulg. ἐπαγγέλλει.

[2] Ald. Bas. corrupte μαθητικὰ, quod Xyl. bene legit & vertit μαθηματικά. Ita e Petav. notatur, dedique cum W. adsentiente E. & ipso Plut. supra in Comment. de Animae Procreat. c. XXII. p. 312. Vol. h. Vulgo παθητικά.

τὸ παθητικὸν ἐχέσης, προσῆκον ἐν μέσῳ τὴν ἐσίαν ὑπάρχειν. ἔλαθε γὰρ καὶ τέτες ὁ θεὸς τοῖς τῶν σωμάτων πέρασιν ὕςερον, ἀπειργασμένης ἤδη τῆς ψυχῆς, χρώμενος ἐπὶ τὴν τῆς ὕλης διαμόρφωσιν, τὸ σκεδαςὸν αὐτῆς καὶ ἀσύνδετον ὁρίζων καὶ περιλαμβάνων ταῖς ἐκ τῶν τριγώνων συναρμοττομένων ἐπιφανείαις. ἀτοπώτερον δὲ τὸ τὴν ψυχὴν ἰδέαν ποιεῖν. ἡ μὲν γὰρ, ἀεικίνητος, ἡ δ', ἀκίνητος· καὶ ἡ μὲν, ἀμιγὴς πρὸς τὸ αἰσθητὸν, ἡ δὲ, τῷ σώματι συνειργμένη. πρὸς δὲ τέτοις, ὁ θεὸς τῆς μὲν ἰδέας, ὡς παραδείγματος, γέγονε μιμητὴς, τῆς δὲ ψυχῆς, ὥσπερ ἀποτελέσματος, δημιεργός. ὅτι δ' ἐδ' ἀριθμὸν ὁ Πλάτων τὴν ἐσίαν [1] τίθεται τῆς ψυχῆς, ἀλλὰ ταττομένην ὑπ' ἀριθμῦ, προείρηται.

IV. Πρὸς δ' ἀμφοτέροις τέτοις κοινόν ἐςι τὸ μήτε τοῖς πέρασι μήτε τοῖς ἀριθμοῖς μηθὲν ἴχνος ἐνυπάρχειν ἐκείνης τῆς δυνάμεως, ᾗ τὸ αἰσθητὸν ἡ ψυχὴ πέφυκε κρίνειν. νῦν μὲν γὰρ αὐτῇ καὶ νοητὸν [2] ἡ τῆς νοητῆς μέθεξις ἀρχῆς ἐμπεποίηκε, δόξας δὲ καὶ πίςεις καὶ τὸ φανταςικὸν καὶ τὸ παθητικὸν ὑπὸ τῶν περὶ τὸ σῶμα ποιοτήτων· ὃ ἐκ ἄν τις ἐκ μονάδων ἐδὲ γραμμῶν ἐδ' ἐπιφανειῶν ἁπλῶς νοήσειεν ἐγγινόμενον. καὶ μὴν ἐ μόνον αἱ τῶν θνητῶν ψυχαὶ γνωςικὴν τῦ αἰσθητῦ δύναμιν ἔχεσιν, ἀλλὰ καὶ τὴν τῦ κόσμε [3], φησὶν, ἀνακυκλεμένην αὐτὴν πρὸς ἑαυτὴν, ὅταν ἐσίαν σκεδαςὴν ἔχοντός τινος ἐφάπτηται, καὶ ὅταν ἀμέριςον λέγῃ [4] κινεμένην διὰ πάσης ἑαυτῆς, ὅτῳ ἄν τι ταὐτὸν ᾖ, καὶ ὅτῳ ἂν ἕτερον, πρὸς ὅ τι τε μάλιςα καὶ

ὅπῃ

1 absunt a Petav. τὴν ἐσίαν.

2 W. susp. νόησιν. Vid. supra l. c. c. XXIII. p. 313. not. 4.

3 Petav. Ald. Bas. τῦ κύκλε.

4 Ita in R. legitur, quod W. dedit ex E. B. Petav. Vulgo λέγει. Cum eodem dedi deinde ταὐτὸν ᾖ, καὶ pro vulg ταὐτον, ἢ καὶ, duce ipso Platone, & Plut. in utraque correctione. Cf. l. c. Cap. XXIII.

ἕπῃ καὶ ὅπως συμβαίνει, καὶ τὰ γινόμενα πρὸς ἕκαςον ἕκαςα εἶναι καὶ πάσχειν. ἐν τέτοις ἅμα καὶ τῶν δέκα κατηγοριῶν ποιέμενος ὑπογραφὴν, ἔτι μᾶλλον τοῖς ἐφεξῆς διασαφεῖ. λόγος γὰρ, φησὶν, ἀληθὴς, ὅταν μεν περὶ τὸ αἰθητὸν γένηται, καὶ ὁ τῦ θατέρε κύκλος ὀρθὸς [1] ἰὼν εἰς πᾶσαν αὐτῦ τὴν ψυχὴν διαγγείλῃ, δοξαι καὶ πίςεις γίνονται βέβαιοι καὶ ἀληθεῖς· ὅταν δ᾽ αὖ πάλιν περὶ τὸ λογιςικὸν ᾖ, καὶ ὁ τῦ ταυτῦ κύκλος εὔτροχος ὢν αὐτὰ μηνύσῃ, ἐπιςημη ἐξ ἀνάγκης ἀποτελειται. τέτω δὲ ἐν ᾧ τῶν ὄντων ἐγγίνεσθον, ἐὰν π τέ τις αὐτὸ ἄλλο πλὴν ψυχὴν προσείπῃ, πᾶν μᾶλλον ἢ τὸ ἀληθὲς ἐρεῖ. πόθεν ἒν ἔσχεν ἡ ψυχὴ τὴν ἀντιληπτικὴν τῦ αἰθητῦ καὶ δοξαςικὴν ταύτην κίνησιν, ἑτέραν της νοητῆς [2] ἐκείνης καὶ τελευτώσης εἰς ἐπιςήμην, ἔργον εἰπεῖν· μὴ θεμένες βεβαίως, ὅτι νῦν ἐχ ἁπλῶς ψυχὴν, ἀλλὰ κόσμε ψυχὴν συνίςησιν [3] ἐξ ὑποκειμένης τῆς τε κρείττονος ἐσίας καὶ ἀμερίςε καὶ τῆς χείρονος, ἣν περὶ τὰ σώματα μεριςὴν κέκληκεν, ἐχ ἑτέραν ἔσαν ἢ τὴν δοξαςικὴν καὶ φανταςικὴν, καὶ συμπαθῆ τῶν αἰθητῶν κίνησιν, ἐ γενομένην, ἀλλ᾽ ὑφεςῶσαν ἀΐδιον, ὥσπερ ἡ ἑτέρα. τὸ γὰρ νοερὸν ἡ φύσις ἔχεσα, καὶ τὸ δοξαςικὸν εἶχεν· ἀλλ᾽ ἐκεῖνο μὲν ἀκίνητον καὶ ἀπαθὲς, καὶ περὶ τὴν ἀεὶ μένεσαν ἱδρυμένον ἐσίαν· τῦτο δὲ, μεριςὸν καὶ πλανητὸν, ἅτε δὴ φερομένης καὶ σκεδαννυμένης ἐφαπτόμενον ὕλης. ἔτε γὰρ τὸ αἰθητὸν εἰλήχει τάξεως, ἀλλ᾽ ἦν ἄμορφον καὶ ἀόριςον· ἥ τε περὶ τῦτο τεταγμένη δύναμις, ἔτε δόξας ἐνάρθρες, ἔτε κινήσεις ἁπάσας εἶχε [4] τεταγμένας, ἀλλὰ τὰς πολλὰς ἐνυπνιώδεις καὶ παραφόρες καὶ ταραττέσας τὸ σωματοειδὲς,

1 Petav. ὀρθῶς.

2 W. e l. c. legendum monet νοητικῆς.

3 Jam in R. correctum legitur, quod W. ex B. E. & Plut. l. c. sumsit. Vulgo κίνησιν.

4 Ita W. dedit e Plut. l. c.

δὲς, ὅσα μὴ κατὰ τύχην τῷ βελτίονι περιέπιπτεν· ἐν μέσῳ γὰρ ἦν ἀμφοῖν, καὶ πρὸς ἀμφότερα συμπαθῆ καὶ συγγενῆ φύσιν εἶχε, τῷ μὲν αἰσθητικῷ τῆς ὕλης ἀντεχομένη, τῷ δὲ κριτικῷ τῶν νοητῶν.

V. Οὕτω δέ πως καὶ Πλάτων διασαφεῖ τοῖς ὀνόμασιν· Οὗτος γὰρ, φησὶν, παρὰ τῆς ἐμῆς ψήφȣ λογισθεὶς, ἐν κεφαλαίῳ δεδοσθω λογος, ὄν τε [1] καὶ χώραν καὶ γένεσιν εἶναι τρία τριχῆ, καὶ πρὶν ȣ̓ρανον γενέσθαι. χώραν τε [2] γὰρ καλεῖ τὴν ὕλην, ὥσπερ ἕδραν, ἐστιν ὅτε καὶ ὑποδοχήν· ὂν δὲ, τὸ νοητόν· γένεσιν δὲ, τȣ̃ κόσμȣ μήπω γεγονότος, ȣ̓δεμίαν ἄλλην ἢ τὴν ἐν μεταβολαῖς καὶ κινήσεσιν ȣ̓σίαν, τȣ̃ τυπȣ̃ντος καὶ τȣ̃ τυπȣμένȣ μεταξὺ τεταγμένην, διαδιδȣ̃σαν ἐνταῦθα τὰς ἐκεῖθεν εἰκονας. διά τε δὴ ταῦτα μεριστὴ προσηγορεύθη, καὶ ὅτι τῷ αἰσθητῷ τὸ αἰσθανόμενον, καὶ τῷ φανταστῷ τὸ φανταζόμενον ἀνάγκη συνδιανέμεσθαι καὶ συμπαρήκειν· ἡ γὰρ αἰσθητικὴ κίνησις ἰδία ψυχῆς ȣ̓̃σα, κινεῖται προς τὸ αἰσθητὸν ἐκτός· ὁ δὲ νȣ̃ς αὐτὸς μὲν ἐφ' ἑαυτȣ̃ μόνιμος ἦν καὶ ἀκίνητος, ἐγγενόμενος δὲ τῇ ψυχῇ καὶ κρατήσας, εἰς ἑαυτον ἐπιστρέφει καὶ συμπεραίνει τὴν ἐγκύκλιον φορὰν, περὶ τὸ μένον [3] ἀεὶ μάλιστα ψαύȣσαν τȣ̃ ὄντος. διὸ καὶ δυσανάκρατος ἡ κοινωνία γέγονεν αὐτῶν, τῷ αμερίστῳ [4] τὸ μεριστὸν, καὶ τῷ μηδαμῇ κινητῷ τὸ πάντη φορητὸν μιγνύȣσα, καὶ καταβιαζομένη θάτερον εἰς ταυτὸν συνελθεῖν. ἦν δὲ τὸ θάτερον ȣ̓ κίνησις, ὥσπερ ȣ̓δὲ ταυτὸν στάσις, ἀλλ' ἀρχὴ διαφορᾶς καὶ ἀνομοιότητος. ἑκάτερον γὰρ ἀπὸ τῆς ἑτέρας ἀρχῆς κάτεισι, τὸ μὲν ταυτὸν ἀπὸ τȣ̃ ἑνὸς, τὸ δὲ θάτερον ἀπὸ τῆς δυάδος· καὶ μέ-

1 Ita e Bas. reposui, & W. dedit e marg. E. ipso Plat. & Plut. l. c. Cap. XXIV. Vulgo ὄντος.

2 Vulgo καὶ χώραν τε. Delevi καὶ auctoritate Bas. Rectius abesse idem monuit W. e Plut. l. c.

3 Ita W. ex Plut. l. c. reposuit pro vulg. περὶ τὸ μέν.

4 Petav. τῶν ἀμερίστων, & deinde τῶν μηδαμῇ κινητῶν.

μέμικται πρῶτον ἐνταῦθα περὶ τὴν ψυχὴν, ἀριθμοῖς καὶ λόγοις συνδεθέντα, καὶ μεσότησιν ἐναρμονίοις, καὶ ποιεῖ θάτερον ἐγγενόμενον τῷ αὐτῷ διαφορὰν, τὸ δὲ ταυτὸν ἐν τῷ ἑτέρῳ τάξιν, ὡς δῆλόν ἐϛιν ἐν ταῖς πρώταις τῆς ψυχῆς δυνάμεσιν· εἰσὶ δὲ αὗται τὸ κριτικὸν καὶ τὸ κινητικόν. ἡ μὲν ὖν κίνησις εὐθυς ἐπιδείκνυται περὶ τὸν ᾿ὐρανὸν, ἐν μὲν τῇ ταυτότητι τὴν ἑτερότητα τῇ περιφορᾷ τῶν ἀπλανῶν, ἐν δὲ τῇ ἑτερότητι τὴν ταυτότητα τῇ τάξει τῶν πλανητῶν· ἐπικρατεῖ γὰρ ἐν ἐκείνοις τὸ ταυτὸν, ἐν δὲ τοῖς περὶ γῆν τ᾿ὐναντίον. ἡ δὲ κρίσις ἀρχὰς μὲν ἔχει δύο, τόν τε νῦν ἀπὸ τῦ ταυτῦ πρὸς τὰ καθόλυ, καὶ τὴν αἴθησιν ἀπὸ τῦ ἑτέρυ, πρὸς τὰ καθ᾿ ἕκαϛα. μέμικται δὲ λόγος ἐξ ἀμφοῖν, νόησις ἐν τοῖς νοητοῖς, καὶ δόξα γινόμενος ἐν τοῖς αἰϑητοῖς· ὀργάνοις τε μεταξὺ φαντασίαις τε καὶ μνήμαις χρώμενος, ὧν τὰ μὲν ἐν τῷ ταυτῷ [1] τὸ ἕτερον, τὰ δ᾿ ἐν τῷ ἑτέρῳ ποιεῖ τὸ ταυτόν. ἔϛι γὰρ ἡ μὲν νόησις κίνησις τῦ νοῦντος [2] περὶ τὸ μένον· ἡ δὲ δόξα, μονὴ τῦ αἰϑανομένυ περὶ τὸ κινύμενον· φαντασίαν δὲ, συμπλοκὴν δόξης πρὸς αἴϑησιν ὖσαν, ἵϛησιν ἐν μνήμῃ τὸ ταυτόν· τὸ δὲ θάτερον κινεῖ πάλιν ἐν διαφορᾷ τῦ πρόσθεν καὶ νῦν, ἑτερότητος ἅμα καὶ ταυτότητος ἐφαπτόμενον.

VI. Δεῖ δὲ τὴν περὶ τὸ σῶμα τῦ κόσμυ γενομένην σύνταξιν, εἰκόνα λαβεῖν τῆς ᾿ἀναλογίας, ἐν ᾗ διηρμόσατο τὴν ψυχήν. ἐκεῖ μὲν γὰρ ἦν ἄκρα, τὸ πῦρ καὶ ἡ γῆ, χαλεπὴν πρὸς ἄλληλα κραθῆναι φύσιν ἔχοντα, μᾶλλον δὲ ὅλως ἄκρατον καὶ ἀσύϛατον· ὅθεν ἐν μέσῳ θέμενος αὐτῶν, τὸν μὲν ἀέρα πρὸ τῦ πυρὸς, τὸ δὲ ὕδωρ πρὸ τῆς γῆς, ταῦτα πρῶτον ἀλλήλοις ἐκέρασεν·

1 Ita e Bas. reposui, deditque W. ex marg. E. & Plut. l. c. Vulgo ἐν τῷ αὐτῷ.

2 Ita W. dedit e Plut. l. c. consentientibus Jannot. Schott. Anon. pro vulg. τῦ κινῦντος. Receptum notatur quoque in ind. Frst. sed falso tribuitur Ald. & Bas.

ρασεν· εἶτα διὰ τέτων ἐκεῖνα πρός τε ταῦτα καὶ ἄλληλα συνέμιξε καὶ συνήρμοσεν. ἐνταῦθα δὲ πάλιν τὸ ταυτὸν καὶ τὸ θάτερον ἐναντίας δυνάμεις, καὶ ἀκρότητας ἀντιπάλες συνήγαγεν, ἐ δι᾽ αὐτῶν, ἀλλ᾽ ἐσίας ἑτέρας μεταξὺ, τὴν μὲν ἀμέριστον πρὸ τῦ ταυτῦ, πρὸ δὲ τῦ θατέρυ τὴν μεριστὴν, ἔστιν ᾗ προσήκυσαν ἑκατέραν ἑκατέρᾳ τάξας, εἶτα μιχθείσαις ἐκείναις ἐπεγκεραννύμενος, ὅτω τὸ πᾶν συνύφηνε τῆς ψυχῆς εἶδος, ὡς ἦν ἀνυστὸν, ἐκ διαφόρων ὅμοιον ἔκ τε πολλῶν ἓν [1] ἀπεργασάμενος.

1 Vulgo abest ἓν. Dedit W. ex B. E. & Plut. l. c.

ΠΛΟΥ-

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΠΕΡΙ

## ΣΤΩΙΚΩΝ ΕΝΑΝΤΙΩΜΑΤΩΝ.

Πρῶτον ἀξιῶ τὴν [1] τῶν δογμάτων ὁμολογίαν ἐν τοῖς βίοις θεωρεῖσθαι. δεῖ γὰρ οὐχ οὕτω τὸν ῥήτορα, κατ' Αἰσχίνην, τὸ αὐτὸ φθέγγεσθαι καὶ τὸν νόμον, ὡς τὸν βίον τοῦ φιλοσόφου τῷ λόγῳ σύμφωνον εἶναι. ὁ γὰρ λόγος τοῦ φιλοσόφου νόμος αὐθαίρετος καὶ ἴδιός ἐστιν· εἴγε δὴ μὴ παιδιὰν καὶ εὑρησιλογίαν οὕνεκα δόξης, ἀλλ' ἔργον ἄξιον σπουδῆς τῆς μεγίστης, ὥσπερ ἐστὶν, ἡγοῦνται φιλοσοφίαν.

II. Ἐπεὶ τοίνυν πολλὰ μὲν, ὡς ἐν λόγοις [2], αὐτῷ Ζήνωνι, πολλὰ δὲ Κλεάνθει, πλεῖστα δὲ Χρυσίππῳ γεγραμμένα τυγχάνει περὶ πολιτείας καὶ τοῦ ἄρχεσθαι καὶ ἄρχειν, καὶ δικάζειν καὶ ῥητορεύειν· ἐν δὲ τοῖς βίοις οὐδενός ἐστιν εὑρεῖν οὐ στρατηγίαν, οὐ νομοθεσίαν, οὐ πάροδον εἰς βουλὴν, οὐ συνηγορίαν ἐπὶ δικαστῶν, οὐ στρατείαν ὑπὲρ πατρίδος, οὐ πρεσβείαν, οὐκ ἐπίδοσιν· ἀλλ' ἐπὶ ξένης, ὥσπερ τινὸς λωτοῦ [3], γευσάμενοι σχολῆς, τὸν πάντα βίον, οὐ βραχὺν, ἀλλὰ παμμήκη γενόμενον, διήγαγον ἐν λόγοις καὶ βιβλίοις καὶ περιπάτοις· οὐκ [4] ἄδηλον, ὅτι τοῖς ὑφ' ἑτέρων γραφομένοις καὶ λεγομένοις,

1 Vulgo abest artic. τὴν. Eum exhibet Petav. deditque W. consensu B. E. Venet. 1.

2 R. explicante, *multa, ut in literis*, multa pro homine literato, qui remp. non attigit, de administratione reip. scripsit, a cujusmodi homine tractationem hujus argumenti non exspectes. Pro seq. αὐτῷ W. notat ex E. τῷ.

3 alluditur ad Hom. Odyss. IX. 94. sqq.

4 R. mavult περιπάτοις, οἷς (id est ἐν οἷς, δι' ὧν, ἐξ ὧν) οὐκ ἄδ. unde non obscurum est.

νοις, μᾶλλον ἢ τοῖς ὑφ' αὑτῶν ὁμολογȣμένως [1] ἔζησαν, ἣν Ἐπίκȣρος ἡσυχίαν ἐπαινεῖ καὶ Ἱερώνυμος [2], ἐν ταύτῃ τὸ παράπαν καταβιώσαντες. αὐτὸς γȣ̃ν Χρύσιππος ἐν τῷ τετάρτῳ περὶ Βίων, ȣ̓δὲν οἴεται τὸν σχολαστικὸν βίον τȣ̃ ἡδονικȣ̃ διαφέρειν· αὐτὰς δὲ παραθήσομαι τὰς λέξεις· Ὅσοι δὲ ὑπολαμβάνȣσι φιλοσόφοις ἐπιβάλλειν μάλιστα τὸν σχολαστικὸν [3] βίον ἀπ' ἀρχῆς, ȣ̔τοί μοι δοκȣ̃σι διαμαρτάνειν, ὑπονοȣ̃ντες, διαγωγῆς τινος ἕνεκεν δεῖν τȣ̃το ποιεῖν [4], ἢ ἄλλȣ τινὸς τȣ́τῳ παραπλησίȣ, καὶ τὸν ὅλον βίον ȣ̔́τω πως [5] διελκύσαι· τȣ̃το δ' ἐστιν, ἂν σαφῶς θεωρηθῇ, ἡδέως· ȣ̓ γὰρ δεῖ [6] λανθάνειν τὴν ὑπόνοιαν αὐτῶν, πολλῶν μὲν σαφῶς τȣ̃το λεγόντων, ȣ̓κ ὀλίγων δ' ἀδηλότερον [7]. τίς ȣ̓̃ν μᾶλλον ἐν [8] τῷ σχολαστικῷ βίῳ τȣ́τῳ κατεγήρασεν, ἢ Χρύσιππος, καὶ Κλεάνθης, καὶ Διογένης [9], καὶ Ζήνων, καὶ Ἀντίπατρος; οἵ γε καὶ τὰς αὑτῶν κατέλιπον πατρίδας, ȣ̓δὲν ἐγκαλȣ̃ντες, ἀλλ' ὅπως καθ' ἡσυχίαν ἐν τῷ ἡδίονι καὶ ἐπὶ ζαστῆρος

1 Ita in R. jam correctum legitur, quod e Turn. & V. notatur, & W. dedit ex iisdem & Mez. pro vulg. ὁμολογȣμένοις.

2 R. notat: „Hieronymum in Epicureis nullum reperio. Non habeo igitur, quod asseverem, aut corruptum hoc nomen esse, aut Hieronymum hunc soli Plutarcho notum & nominatum fuisse Epicureum, aut fuisse eundem cum Peripatetico."

3 R. monente, σχολαστικὸν arcte jungendum cum ἀρχῆς, i. e. τὸν ἀπ' ἀρχῆς σχολάζοντα βίον, ᾧ ἀρχῆς καὶ πολιτείας ȣ̓δὲν μέτεστι, *a magistratu gerendo ferianiem vitam*. Ald. deinde & Bas. ȣ̓ τί μοι, pro ȣ̔τοί μοι.

4 i. e. φιλοσοφεῖν. R.

5 Abest vulgo πως. Inserit Petav. deditque W. e consensu B. E. Venet. 1. 2.

6 Turn. Bong. δεῖν. R. monente sententia flagitat δυνατὸν, *nequit enim eorum falsa opinio* (ὑπόνοια) *latere*.

7 In hoc vocabulo desinunt recitata e Chrysippo verba. R.

8 abest ἐν a Petav.

9 Diogenes est Babylonius, & Antipater Tarsensis ejus discipulus.

ϛῆρος [1] σχολάζοντες καὶ φιλολογȣ̃ντες διάγουσιν. Ἀριϛοκρέων γȣ̃ν, ὁ Χρυσίππȣ μαθητὴς καὶ οἰκεῖος [2], εἰκόνα χαλκῆν ἀναϛηλώσας ἐπέγραψε τόδε τὸ ἐλεγεῖον·

Τόνδε νέον [3] Χρύσιππον Ἀριϛοκρέων ἀνέθηκε,
Τῶν Ἀκαδημιακῶν ϛραγγαλίδων κοπίδα.

τȣ̃το ἦν [4] ὁ Χρύσιππος, ὁ γέρων, ὁ φιλόσοφος, ὁ τὸν βασιλικὸν καὶ πολιτικὸν ἐπαινῶν βίον, τὸν δὲ σχολαϛικὸν ȣ̓θὲν οἰόμενος τȣ̃ ἡδονικȣ̃ διαφέρειν.

III. Ὅσοι δ' ἄλλοι αὐτῶν πολιτείᾳ προσίασιν, ἔτι [5] μᾶλλον ἐναντιȣ̃νται τοῖς αὐτῶν δόγμασι· καὶ γὰρ ἄρχȣσι, καὶ δικάζȣσι, καὶ συμβȣλεύȣσι, καὶ νομοθετȣ̃σι, καὶ κολάζȣσι, καὶ τιμῶσιν, ὡς πόλεων ȣ̓σῶν, ἐν αἷς πολιτεύονται, βȣλευτῶν δὲ καὶ δικαϛῶν ἀεὶ τῶν λαγχανόντων, ϛρατηγῶν δὲ τῶν χειροτονȣμένων, νό-



1 Pro ἐν τῷ ἡδίονι Salmas. leg. ſuſp. ἐν τῷ Διομείῳ vel ᾠδείῳ. Hanc poſteriorem vocem omnino commendare videtur Diog. Laërt. in vita Chryſippi, his verbis de eo referens: τȣ̃τον ἐν τῷ ᾠδείῳ σχολάζοντα —. Sequentia ἐπὶ ζωϛῆρος ſe non intelligere fatetur R. & contrarium potius a ſententia flagitari putat: πόῤῥω ζωϛῆρος, *procul a cingulo*, h. e. munere publico, coll. Wolf. in Indic. ad Libanii Epiſtolas v. ζώνη. Hunc ſenſum Kaltw. vertendo expreſſit: *fern von Geſchäften.* Judice W. locus difficilis ſive ad explicandum ſive ad emendandum, & ex variis utriusque rationibus, adhuc probabilior haec mutatio ἐν τῷ ἡδονικῷ Ἐπικȣρείως σχολάζοντες. Xyl. vertit *apud Zoſterem*, quas voces W. omiſit. Intellexiſſe videtur locum. Et eſt Ζωϛὴρ apud Heſych. τόπος, ἔνθα Λητὼ ἐλύσατο τὴν ζώνην: & in ſubjuncta nota: „τῆς Ἀττικῆς, addit Etymol.“ coll. Pauſan. L. I. c. 31. Idem locus memoratur a Cic. ad Attic. V, 12. & a Strab. L. IX. p. 275. An vero Stoicorum diſciplina aliquam ei attulerit celebritatem, qualem Plato attulit *Sunio*, adhuc me fugit.

2 Erat Chryſippi e ſorore nepos. R.

3 R. ſuſp. τόνδ' ἐνεὸν Χρύσ. *hunc mutum Chryſippum*, i. e. hanc Chryſippi ſtatuam.

4 Xyl τοιȣ̃τος ſcribendum conjecit, etſi τȣ̃το etiam legi poſſit ἀναφορικῶς. R. ſubintelligendum monet ἐποίει, *hoc itaque fecit*: mavult tamen τοιȣ̃τος ἦν, talis erat.

5 Ald. Baſ. Pet. ἐπὶ, quod Xyl. improbavit.

μων δὲ τῶν Κλειθένους καὶ Λυκούργου καὶ Σόλωνος, οὓς φαύλους καὶ ἀνοήτους γεγονέναι λέγουσιν. ὥστε καὶ πολιτευόμενοι μάχονται.

IV. Καὶ μὴν Ἀντίπατρος ἐν τῷ περὶ τῆς Κλεάνθους καὶ Χρυσίππου διαφορᾶς ἱστόρηκεν, ὅτι Ζήνων καὶ Κλεάνθης οὐκ ἠθέλησαν Ἀθηναῖοι γενέσθαι, μὴ δόξωσι τὰς αὑτῶν πατρίδας ἀδικεῖν. ὅτι μὲν, εἰ καλῶς οὗτοι, Χρύσιππος οὐκ ὀρθῶς ἐποίησεν, ἐγγραφεὶς εἰς τὴν πολιτείαν, παρείσθω. πολλὴν δὲ μάχην καὶ παράλογον ἔχει τὸ, τὰ σώματα καὶ τοὺς βίους οὕτω μακρὰν ἀποξενώσαντας, τὰ ὀνόματα ταῖς πατρίσι τηρεῖν· ὥσπερ εἴ τις τὴν γαμετὴν ἀπολιπὼν, ἑτέρᾳ [1] δὲ συζῶν καὶ συναναπαυόμενος, καὶ παιδοποιούμενος ἐξ ἑτέρας, μὴ συγγράφοιτο γάμον [2], ὅπως ἀδικεῖν μὴ δοκῇ τὴν προτέραν.

V. Χρύσιππος δὲ πάλιν ἐν τῷ περὶ Ῥητορικῆς γράφων, οὕτω ῥητορεύσειν καὶ πολιτεύσεσθαι τὸν σοφὸν, ὡς καὶ τοῦ πλούτου ὄντος ἀγαθοῦ, καὶ τῆς δόξης καὶ τῆς ὑγείας, ὁμολογεῖ, τοὺς λόγους αὐτοῦ καὶ ἀνεξόδους [3] εἶναι καὶ ἀπολιτεύτους, καὶ τὰ δόγματα ταῖς χρείαις ἀνάρμοστα καὶ ταῖς πράξεσιν.

VI. Ἔτι δόγμα Ζήνωνός ἐστιν, ἱερὰ θεῶν μὴ οἰκοδομεῖν· ἱερὸν γὰρ μὴ πολλοῦ ἄξιον καὶ ἅγιον οὐκ ἔστιν· οἰκοδόμων δ' ἔργον καὶ βαναύσων οὐδέν ἐστι πολλοῦ ἄξιον. οἱ δὲ ταῦτ' ἐπαινοῦντες, ὡς εὖ ἔχοντα, μυοῦνται μὲν ἐν ἱεροῖς, ἀναβαίνουσι δ' εἰς ἀκρόπολιν, προσκυνοῦσι δὲ τὰ ἕδη, καὶ στεφανοῦσι τοὺς ναοὺς, οἰκοδόμων ὄντας ἔργα

καὶ

1 Ad hanc vocem, nec non seq. ἑτέρας W. sic adnotat: „Leonic. Schott. Turn. V. Bong. magis proprie nec tamen ut vulgata repudietur". Quaenam autem hujus lectionis sit varietas, non notatur, neque ex ind. Frst. liquet, cum ἑτέρᾳ δὲ ibi exhibeatur, additis . is T. V. B. Num forte ἑταίρᾳ?

2 Pet. νόμον pro γάμ

3 R. docente, ἀνέξο λόγος est sermo, qui extra sermonem non excedit in effectum, viam ad effectum invenire nequit, sed semper sermo tantum manet & mera verba.

καὶ βαναύσων ἀνθρώπων. εἶτα τὰς Ἐπικουρείους ἐλέγχεσθαι δοκοῦσι θύοντας θεοῖς, αὐτοὶ δὲ μᾶλλον ἐλέγχονται θύοντες ἐπὶ τῶν βωμῶν καὶ τῶν ἱερῶν, ἃ μήτ' εἶναι, μήτ' οἰκοδομεῖσθαι δεῖν ἀξιοῦσιν.

VII. Ἀρετὰς ὁ Ζήνων ἀπολείπει πλείονας, κατὰ διαφορὰς, ὥσπερ ὁ Πλάτων [1], οἷον φρόνησιν, ἀνδρείαν, σωφροσύνην, δικαιοσύνην· ὡς ἀχωρίστους μὲν οὔσας, ἑτέρας δὲ καὶ διαφερούσας ἀλλήλων. πάλιν δὲ ὁριζόμενος αὐτῶν ἑκάστην, τὴν μὲν ἀνδρείαν, φησὶ, φρόνησιν εἶναι ἐν ἐνεργητέοις· τὴν δὲ δικαιοσύνην, φρόνησιν εἶναι ἐν ἐνεργητέοις· τὴν δὲ δικαιοσύνην, φρόνησιν ἐν ἀπονεμητέοις· ὡς μίαν οὖσαν ἀρετὴν, ταῖς δὲ πρὸς τὰ πράγματα σχέσεσι κατὰ τὰς ἐνεργείας διαφέρειν δοκοῦσαν. οὐ μόνον δὲ ὁ Ζήνων περὶ ταῦτα φαίνεται αὐτῷ μαχόμενος, ἀλλὰ καὶ Χρύσιππος, Ἀρίστωνι [2] μὲν ἐγκαλῶν, ὅτι μιᾶς ἀρετῆς σχέσεις ἔλεγε τὰς ἄλλας εἶναι, Ζήνωνι δὲ συνηγορῶν οὕτως ὁριζομένῳ τῶν ἀρετῶν ἑκάστην. ὁ δὲ Κλεάνθης ἐν Ὑπομνήμασι Φυσικοῖς [3] εἰπὼν, ὅτι πληγὴ πυρὸς ὁ τόνος ἐστὶ, κἂν ἱκανὸς ἐν τῇ ψυχῇ γένηται πρὸς τὸ ἐπιτελεῖν τὰ ἐπιβάλλοντα, ἰσχὺς καλεῖται καὶ κράτος· ἐπιφέρει κατὰ λέξιν [4]. Ἡ δ' ἰσχὺς αὕτη καὶ τὸ κράτος ὅταν μὲν ἐπὶ τοῖς ἐπιφανέσιν ἐμμενετέοις ἐγγένηται, ἐγκράτειά ἐστιν· ὅταν δ' ἐν τοῖς ὑπομενετέοις, ἀνδρεία· περὶ τὰς ἀξίας δὲ, δικαιοσύνη [5]· περὶ τὰς αἱρέσεις καὶ ἐκκλίσεις [6], σωφροσύνη.

 VIII.

1 Opp. Plat. V. III. p. 126. 166. sqq. ed. Bip.

2 Aristoni Chio, Zenonis Cittiei discipulo. R.

3 Hoc Cleanthis opus haud nominat Diog. Laërt. in ejus Vita. Pro seq. πληγὴ Turn. & V. πηγή.

4 Pro κατὰ λέξιν Pet. καὶ τάξιν.

5 Pet. περὶ τὰς ἀξίας δὲ καὶ δικαιοσύνης.

6 Vulgo ἐγκλίσεις. R. maluit περὶ δὲ τὰς αἱρέσεις καὶ ἐκκλίσεις, Salmasio quoque ἐκκλίσεις corrigente. Turn. περὶ τὰς αἱρέσεις δὲ καὶ ἐκκλίσεις. Dedi ἐκκλίσεις cum W. adsentientibus E. & Venet. 1.

VIII. Πρὸς τὸν εἰπόντα·

Μηδὲ δίκην δικάσῃς, πρὶν ἀμφοῖν μῦθον ἀκέσῃς [1]. ἀντέλεγεν ὁ Ζήνων, τοιέτῳ τινὶ λόγῳ χρώμενος· εἴτ' ἀπέδειξεν ὁ πρότερος εἰπὼν, ἐκ ἀκεςέον τε δευτέρε λέγοντος· πέρας γὰρ ἔχει τὸ ζητέμενον. εἴτ' ἐκ ἀπέδειξεν· ὅμοιον γὰρ, ὡς εἰ μηδὲ ὑπήκεσε κληθεὶς, ἢ ὑπακέσας ἐτερέτισεν [2]. ἤτοι δ' ἀπέδειξεν [3], ἢ ἐκ ἀπέδειξεν· ἐκ ἀκεςέον ἄρα τε δευτέρε λέγοντος. τέτον δὲ τὸν λόγον [4] ἐρωτήσας αὐτὸς, ἀντέγραψε μὲν πρὸς τὴν Πλάτωνος Πολιτείαν· ἔλυε δὲ σοφίσματα, καὶ τὴν διαλεκτικὴν, ὡς τέτο ποιεῖν δυναμένην, ἐκέλευε παραλαμβάνειν τὲς μαθητάς. καίτοι ἢ [5] ἀπέδειξε Πλάτων, ἢ ἐκ ἀπέδειξε τὰ ἐν τῇ Πολιτείᾳ· κατ' ἐδέτερον δ' [6] ἦν ἀναγκαῖον ἀντιγράφειν, ἀλλὰ πάντως [7] περιττὸν καὶ μάταιον. τὸ δ' αὐτὸ περὶ τῶν σοφισμάτων ἐςὶν εἰπεῖν.

IX. Ὁ Χρύσιππος οἴεται δεῖν τῶν λογικῶν πρῶτον ἀκροᾶσθαι τὲς νέες, δεύτερον δὲ τῶν ἠθικῶν, μετὰ δὲ ταῦτα τῶν φυσικῶν, ὡσαύτως δὲ τέτοις τὸν περὶ θεῶν λόγον ἔσχατον παραλαμβάνειν. πολλαχε δὲ τέτων ὑπ' αὐτε λεγομένων, ἀρκέσει παραθέσθαι τὰ ἐν τῷ τετάρτῳ περὶ Βίων ἔχοντα κατὰ λέξιν ἕτω· Πρῶτον μὲν ἐν δοκεῖ

1 Pro μηδὲ Ald. μηδενὶ. Ex Petav. affertur μηδενὶ δικάσῃς. Pro ἀμφοῖν Ald. Bas. Pet. ἀμφω. Mez. πρὶν ἂν ἀμφοῖν.

2 Ita Baf. Xyl. & Salmas. dedique cum W. accedentibus B. E. Venet. 1. pro vulg. ἐτερέττισεν. Verba ὅμοιον γὰρ usque ad ἤτοι δ' ἀπέδειξεν abſunt a Petav.

3 R. mavult ἢ τοίνυν ἀπέδειξεν.

4 R. ſuſp. τἕτον τὸν συλλογισμὸν, & tenendum monet, ἐρωτᾷν in ſermone dialecticorum eſſe argumentum aliquod diſceptationi obnoxium proponere, problematice agitare. Pro ſeq. ἀντέγραψε Petav. ἀντέγραφε.

5 Pro ἢ Turn. & V. εἰ. R. mavult καίτοι εἴτ' ἀπ. Π. εἴτ' ἐκ ἀπ.

6 W. addidit δ' ex Venet. 1. Vulgo abeſt.

7 Ita R. dandum monuit, & e Petav. notatur, dedique ex edd. prioribus pro παντὸς, quod e Frſt. in R. tranſiit.

δοκεῖ μοι, κατὰ τὰ ὀρθῶς ὑπὸ τῶν ἀρχαίων εἰρημένα, τρία γένη τῶν τȣ̃ Φιλοσόφȣ θεωρημάτων εἶναι· τὰ μὲν, λογικὰ, τὰ δὲ, ἠθικὰ, τὰ δὲ, Φυσικά· εἶτα τȣ́των δεῖν τάττεσθαι [1] πρῶτα μὲν, τὰ λογικὰ, δεύτερα δὲ, τὰ ἠθικὰ, τρίτα δὲ, τὰ Φυσικά· τῶν δὲ Φυσικῶν ἔσχατος εἶναι ὁ περὶ τῶν θεῶν λόγος· διὸ καὶ τελετὰς ἠγόρευσαν τὰς τȣ́των παραδόσεις. ἀλλὰ τȣ̃τόν γε τὸν λόγον, ὃν ἔσχατόν Φησι δεῖν τάττεσθαι, περὶ θεῶν [2], ἔθει προτάττει καὶ προεκτίθησι παντὸς ἠθικȣ̃ ζητήματος· ȣ̓́τε γὰρ περὶ τελῶν, ȣ̓́τε περὶ δικαιοσύνης, ȣ̓́τε περὶ ἀγαθῶν καὶ κακῶν, ȣ̓́τε περὶ γάμȣ καὶ παιδοτροΦίας, ȣ̓́τε περὶ νόμȣ καὶ πολιτείας Φαίνεται τοπαράπαν Φθεγγόμενος, εἰ μὴ, καθάπερ οἱ τὰ ψηΦίσματα ταῖς πόλεσιν εἰσΦέροντες προγράΦȣσιν Ἀγαθὴν Τύχην, ȣ̔́τω καὶ αὐτὸς προγράψειε τὸν Δία, τὴν Εἱμαρμένην, τὴν Πρόνοιαν, τὸ συνέχεσθαι μιᾷ δυνάμει τὸν κόσμον ἕνα ὄντα καὶ πεπερασμένον. ὧν ȣ̓θέν ἐστι πεισθῆναι, μὴ διὰ βάθȣς [3] ἐγκραθέντα τοῖς Φυσικοῖς λόγοις. ἄκȣε δὲ, ἃ λέγει περὶ τȣ́των ἐν τῷ τρίτῳ περὶ Θεῶν· Οὐ γάρ ἐστιν εὑρεῖν τῆς δικαιοσύνης ἄλλην ἀρχὴν, ȣ̓δ᾽ ἄλλην γένεσιν, ἢ τὴν ἐκ τȣ̃ Διὸς, καὶ τὴν ἐκ τῆς κοινῆς Φύσεως· ἐντεῦθεν γὰρ δεῖ πᾶν τὸ τοιȣ̃τον τὴν ἀρχὴν ἔχειν, εἰ μέλλομέν τι ἐρεῖν περὶ ἀγαθῶν καὶ κακῶν. πάλιν ἐν ταῖς Φυσικαῖς Θέσεσιν· Οὐ γάρ ἐστιν ἄλλως, ȣ̓δ᾽ οἰκειότερον ἐπελθεῖν ἐπὶ τὸν τῶν ἀγαθῶν καὶ κακῶν λόγον, ȣ̓δ᾽ ἐπὶ τὰς ἀρετὰς, ȣ̓δ᾽ ἐπὶ εὐδαιμονίαν, ἀλλ᾽ ἢ ἀπὸ [4]

Y 4 τῆς

1 Secutus sum W. ita e Venet. 1. sumentem. Vulgo δεῖ προτάττεσθαι. R. legi voluit δεῖν, cum pendeat a praemisso δοκεῖ μοι, & e Turn. & V. notatur, nec non προστάττεσθαι, uti paulo post προστάττει pro προτάττει. A Petav. absunt εἶτα τȣ́των δεῖ — τρίτα δὲ τὰ Φυσικά.

2 R. mavult τὸν περὶ θεῶν. Pro ἔθει Turn. V. Bong. ἀεὶ, melius, non item verius, vulgato, W. judice, qui hoc, addito τινὶ, verum censet.

3 Pet. βάθος; & infra εἰ μέλλωμεν ἔρωτι ἐρεῖν.

4 Ald. Bas. Pet. ἀλλὰ ἐπί.

τῆς κοινῆς Φύσεως, καὶ ἀπὸ τῆς τȣ̃ κόσμȣ διοικήσεως. προελθὼν δ᾽ αὖθις· Δεῖ γὰρ τέτοις συνάψαι τὸν περὶ ἀγαθῶν καὶ κακῶν λόγον, ἐκ ἔσης ἄλλης ἀρχῆς αὐτῶν ἀμείνονος, ἐδ᾽ ἀναφορᾶς, ἐδ᾽ ἄλλȣ τινὸς ἕνεκεν τῆς Φυσικῆς θεωρίας παραληπτῆς ἔσης, ἢ πρὸς τὴν περὶ ἀγαθῶν ἢ κακῶν διάςασιν. γίνεται τοίνυν ἅμα πρόσω καὶ ὀπίσω τῶν ἠθικῶν ὁ Φυσικὸς λόγος, κατὰ Χρύσιππον· μᾶλλον δὲ ὅλως ἄπορος ἡ περιτροπὴ τῆς τάξεως, εἰ μετὰ ταῦτα τακτέον ἐκεῖνον, ὧν καταλαβεῖν ἐθὲν ἐκείνȣ χωρίς ἐςιν· καὶ πρόδηλος ἡ μάχη τȣ̃ τὸν [1] Φυσικὸν λόγον ἀρχὴν μὲν εἶναι τȣ̃ περὶ ἀγαθῶν καὶ κακῶν τιθεμένȣ, κελεύοντος δὲ, μὴ πρότερον ἀλλ᾽ ὕςερον ἐκείνων [2] παραδίδοσθαι. εἰ δέ τις ἐρεῖ, γεγραφέναι τον Χρύσιππον ἐν τῷ περὶ Λόγȣ Χρήσεως, ὡς ἐ καθάπαξ ἀφεκτέον ἐςὶ τῶν ἄλλων, τῷ την λογικὴν ἀναλαμβάνοντι πρώτην, ἀλλὰ κἀκείνων μεταληπτέον κατα τὸ διδόμενον, ἀληθῆ μὲν ἐρεῖ, βεβαιώσει δὲ τὴν αἰτίαν· μαχεται γὰρ πρὸς ἑαυτὸν, ὅπȣ μὲν ἔσχατον τὸν περὶ θεῶν [3] λόγον ἀναλαμβάνειν κελεύων καὶ τελευταῖον, ὡς διὰ τȣ̃το καὶ τελετὴν προσαγορευόμενον, ὅπȣ δὲ πάλιν ἐν πρώτοις ἅμα καὶ τέτȣ μεταληπτέον εἶναι λέγων· οἴχεται γὰρ ἡ τάξις, εἰ πάντων ἐν πᾶσι μεταλαμβάνειν δεήσει. τὸ δὲ μεῖζον, ὅτι τȣ̃ περὶ ἀγαθων καὶ κακῶν λόγȣ τὸν περὶ [4] θεῶν ἀρχὴν πεποιημένος, ἐκ ἀπὸ τέτȣ κελεύει τὸν ἠθικὸν [5] ἀρξαμένȣς ἀναλαμβάνειν, ἀλλ᾽ ἐκεῖνον ἀναλαμβάνοντας τέτȣ μεταλαμβάνειν κατὰ τὸ διδόμενον, εἶτα μεταβαίνειν

1 Petav. uno vocabulo τȣ̃τον.

2 R. mavult ἐκείνȣ, ut redeat ad Φυσικὸν λόγον.

3 Secutus sum W. ita ex E. & Venet. 1. dantem pro vulg. θεȣ̃.

4 Vulgo abest τόν. Notatur e Turn. deditque W. ex eod. & Mez.

5 Ita R. dari voluit, subaud. τὸν λόγον, deditque W. adsentiente marg. Venet. 1, pro vulg. τῶν ἠθικῶν.

νειν ἐπὶ τȣ̃τον ἀπ' ἐκείνων [1], ȣ̓ χωρὶς ȣ̓δεμίαν ἀρχὴν ἀπ' [2] ἐκείνων, ȣ̓δ' ἔφοδον εἶναί φησι.

X. Τὸ πρὸς τὰ ἐναντία διαλέγεσθαι [3] καθόλȣ μὲν ȣ̓ φησιν ἀποδοκιμάζειν, χρῆσθαι δὲ ȣ̓́τω [4] παραινεῖ μετ' εὐλαβείας, ὥσπερ ἐν τοῖς δικαςηρίοις, μὴ μετὰ συνηγορίας, ἀλλὰ διαλυοντας αὐτῶν τὸ πιθανόν. τοῖς μὲν γὰρ ἐποχὴν ἄγȣσι περὶ πάντων ἐπιβάλλει, φησὶ, τȣ̃το ποιεῖν [5], καὶ συνεργόν ἐςι προς ὃ βȣ́λονται· τοῖς δ ἐπιςήμην ἐνεργαζομένοις [6], καθ' ἣν ὁμολογȣμένως βιωσόμεθα, τὰ ἐναντία [7] ςοιχειȣ̃ν, καὶ κατασοιχίζειν τȣ̀ς εἰσαγομένȣς [8] ἀπ' ἀρχῆς μέχρι τέλȣς· ἐφ' ὧν καιρός ἐςι μνησθῆναι καὶ τῶν ἐναντίων λόγων, διαλύοντας αὐτῶν τὸ πιθανὸν, καθάπερ καὶ ἐν τοῖς δικαςηρίοις. ταυτὶ γὰρ αὐταῖς [9] λέξεσιν εἴρηκεν.

Y 5 Ὅτι

1 Petav. ἐπὶ τȣ́των ἐπ' ἐκεῖνον.

2 R. monente aut delendum ἀπὸ, aut leg. ἐπ' ἐκείνων, *in illis*, scil. morum praeceptis. W. corrigendum censet ἀπ' ἐκείνȣ ἐπὶ τȣ̃τον ȣ̓ χωρὶς ȣ̓δεμίαν ἀρχὴν ἐπ' ἐκεῖνον ȣ̓δ' ἔφοδον — addens, una litera assentiri E. Venet. exhibentes postremo loco ἐπ' ἐκείνων. Idem hic loci dat Petav.

3 Haec vocabula Τὸ πρ. τὰ ἐν. διαλ. vulgo cum antecedentibus connectuntur. Ea separavit R. nec non W. cum Xyl. & Amiot. Pro seq. ȣ̓ Turn. dat ȣ̓̃ν.

4 R. susp. τȣ́τῳ pro ȣ̓́τω; W. mavult αὐτῷ. Venet. 1, a prima manu ȣ̓ τῷ.

5 scil. συνηγορεῖν καὶ κατηγορεῖν. R.

6 Petav. simpl. ἐργαζομένοις.

7 R. notat sententiam flagitare τὰ δόγματα, *tradere sancita sua, velut elementa*, & utrumque forte jungendum suspicatur: τὰ δόγματα, ȣ̓ τὰ ἐναντία ςοιχειȣ̃ν. Mez. mutare voluit in ἴδια. Propius ad vestigia veteris lectionis fore credit W. τὰ ἀναγκαῖα.

8 R. inserendum putat κανόνας, *et ab initio usque ad finem dispositos continua serie canones a se propositos stabilire*, vel legendum τὰ εἰσαγόμενα. W. ita vertendo sensum exhibet: *Qui vero scientiam constituere volunt secundum quam ex professo vivamus, certa & necessaria ponere discipulis elementa debent, eosque quasi sepimento munire ab initio ad exitum* —.

9 Pro αὐταῖς Pet. ἐκ ταῖς; & infra ποιȣμένȣς pro οἰομένȣς.

"Οτι μὲν ἦν ἄτοπόν ἐστι, τὰς φιλοσόφους τὸν ἐναντίον λόγον οἰομένους δεῖν τιθέναι, μὴ μετὰ συνηγορίας [1], ἀλλ' ὁμοίως τοῖς δικολόγοις κακοῦντας [2], ὥσπερ οὐ πρὸς τὴν ἀλήθειαν [3], ἀλλὰ περὶ νίκης ἀγωνιζομένους, εἴρηται πρὸς αὐτὸν δι' ἑτέρων [4]. ὅτι δ' αὐτὸς οὐκ ἐν ὀλίγοις [5], ἀλλὰ πολλαχοῦ, τοὺς ἐναντίους οἷς δοκιμάζει λόγους κατεσκεύακεν ἐῤῥωμένως καὶ μετὰ σπουδῆς καὶ φιλοτιμίας τοσαύτης, ὥστε μὴ παντὸς εἶναι καταμαθεῖν τὸ ἀρέσκον, αὐτοὶ [6] δήπου λέγουσι, τὴν δεινότητα θαυμάζοντες τοῦ ἀνδρός· καὶ τὸν Καρνεάδην οὐθὲν οἰόμενοι λέγειν ἴδιον, ἀλλ' ἐξ ὧν ἐπεχείρησε Χρύσιππος εἰς τοὐναντίον, ὁρμώμενον ἐπιτίθεσθαι τοῖς λόγοις αὐτοῦ, καὶ πολλάκις παραφθέγγεσθαι·

Δαιμόνιε, φθίσει σε τὸ σὸν μένος,

ὡς μεγάλας ἀφορμὰς καθ' ἑαυτοῦ διδόντα τοῖς κινεῖν τὰ δόγματα καὶ διαβάλλειν βουλομένοις. ἐπὶ δὲ τοῖς κατὰ Συνηθείας ἐκδοθεῖσιν οὕτω κομῶσι καὶ μεγαληγοροῦσιν, ὥστε τοὺς πάντων ὁμοῦ τῶν Ἀκαδημαϊκῶν λόγους εἰς

1 W. susp. excidisse τοῦτο ποιεῖν, quod ad fin. cap. hujus diserte additur.

2 Vulgo κακοῦντα, quod corruptum esse Xyl. monuit. R. susp. κατηγοροῦντας aut κακίζοντας. W. dedit κακοῦντας e Venet. 1. a secunda manu.

3 Cum πρὸς τὴν ἀλήθειαν ἀγωνίζεσθαι sit *pugnare adversus veritatem*, R. monet, hoc sententiae hujus loci adversari, & leg. susp. aut πρὸς, vel ὑπὲρ, τῆς ἀληθείας, aut πρὸς τὴν ἀλήθειαν ἀποβλέποντας vel ἀφορῶντας. Pro seq. περὶ Pet. πρίν.

4 R. monente, videtur Plutarchus hic loci libros quinque a se scriptos περὶ τῆς εἰς ἑκάτερον ἐπιχειρήσεως significare.

5 Vulgo οὐκ ἐν λόγοις, quod mutilum esse Xyl. notavit. R. susp. οὐκ ἐν τοῖς λογικοῖς μόνον, ἀλλὰ καὶ πολλαχοῦ, *non illis solummodo libris, qui ad artem ratiocinandi et argumentandi pertinent, sed etiam alibi*; vel οὐκ ἐν τούτοις μόνον λόγοις, ἀλλὰ καὶ πολλ. *non solum in verbis modo allatis.* Secutus sum W. ὀλίγοις dantem ab uno Mez. sua evidentia satis commendatum.

6 R. susp. τὸ ἀρέσκον αὐτῷ, αὐτοὶ δήπου.

εἰς ταυτὸ συμφορηθέντας, ἐκ ἀξίας εἶναι παραβαλεῖν, οἷς Χρύσιππος ἔγραψεν εἰς διαβολὴν τῶν αἰσθήσεων. καὶ τῦτο μὲν ἀπειρίας τῶν λεγόντων ἢ φιλαυτίας σημεῖόν ἐςιν· ἐκεῖνο δ' ἀληθὲς, ὅτι βυληθεὶς αὖθις συνειπεῖν τῇ Συνηθείᾳ καὶ ταῖς αἰσθήσεσιν, ἐνδεέςερος γέγονεν ἑαυτῦ. καὶ τὸ σύνταγμα τῦ συντάγματος μαλακώτερον. ὥς' αὐτὸν ἑαυτῷ μάχεσθαι, κελεύοντα μὲν ἀεὶ τὰ ἐναντία, μὴ μετὰ [1] συνηγορίας, ἀλλὰ μετ' ἐνδείξεως τῦ ὅτι ψευδῆ [2] ἐςι, παρατίθεσθαι· τῶν δ' αὐτῦ δογμάτων κατήγορον ὄντα δεινότερον ἢ συνήγορον· καὶ φυλάττεσθαι μὲν ἑτέροις παραινῦντα τὰς ἐναντίας λόγυς, ὡς περισπῶντας τὴν κατάληψιν, αὐτὸν [3] δὲ τῶν βεβαιύντων τὴν κατάληψιν λόγων [4] φιλοτιμότερον συντιθέντα τὰς ἀναιρῦντας. καίτοι ὅτι τῦτο αὐτὸ [5] φοβεῖται, σαφῶς ὑποδείκνυσιν ἐν τῷ τετάρτῳ περὶ Βίων, ταῦτα γράφων· Οὐχ ὡς ἔτυχε δὲ ὐδὲ [6] τὰς ἐναντίας ὑποδεικτέον [7] λόγυς, ὐδὲ πρὸς τὰ ἐναντία πιθανὰ [8], ἀλλ' εὐλαβυμένυς, μὴ καὶ περισπασθέντες ὑπ' αὐτῶν, τὰς καταλήψεις ἀφῶσιν [9], ὐδὲ τῶν λύσεων ἱκανῶς ἂν ἀκῦσαι δυνάμενοι, καταλαμβάνοντές τε εὐαποσείςως· ἐπεὶ καὶ οἱ κατὰ συνήθειαν καταλαμβάνοντες καὶ τὰ αἰσθητὰ, καὶ τὰ ἄλλα, ἐκ τῶν αἰσθήσεων ῥᾳδίως προΐενται ταῦτα, καὶ ὑπὸ

1 R. susp. μὴ μέντοι μετὰ συνηγ.

2 Sic W. dedit e marg. Venet. 1. & Mez. pro vulg. ψευδής ἐςι.

3 Sic R. dari voluit, dedique cum W. ex Bas. Xyl. marg. Venet. 1. Mez. Vulgo αὐτῶν.

4 Petav. cum artic. τῶν λόγων.

5 Mez. & R. legi malunt αὐτὸς pro αὐτὸ.

6 abest ὐδὲ a Petav.

7 W. susp. ὑποδεκτέον.

8 R. susp. post πιθανὰ deesse προσετέον, aut legendum ὐδὲ προσακτέον τὰ ἐναντία πιθανά. W. legendum censet προσετέα pro πρὸς τὰ ἐναντία.

9 scil. οἱ ἀκροώμενοι, quos Chrysippus in verbis superioribus a Nostro emissis nominasse videtur. R. Pro seq. ὐδὲ Idem mavult ὔτε ob inseq. τε.

ὑπὸ τῶν Μεγαρικῶν ἐρωτημάτων περισπώμενοι, καὶ ὑπ᾽ ἄλλων πλειόνων καὶ δυναμικωτέρων ἐρωτημάτων. ἡδέως ἂν ἂν [1] πυθοίμην τῶν Στωϊκῶν, εἰ τὰ Μεγαρικὰ ἐρωτήματα δυναμικώτερα νομίζουσιν εἶναι τῶν ὑπὸ Χρυσίππου κατὰ τῆς Συνηθείας ἐν ἓξ βιβλίοις γεγραμμένων. ἢ τοῦτο παρ᾽ αὐτοῦ Χρυσίππου δεῖ πυνθάνεσθαι· σκόπει γὰρ, οἷα περὶ τοῦ Μεγαρικοῦ λόγου γέγραφεν ἐν τῷ περὶ Λόγου Χρήσεως οὕτως· Οἷόν τι συμβέβηκε καὶ ἐπὶ τοῦ Στίλπωνος λόγου καὶ Μενεδήμου· σφόδρα γὰρ ἐπὶ σοφίᾳ γενομένων αὐτῶν ἐνδόξων, νῦν εἰς ὄνειδος αὐτῶν ὁ λόγος περιτέτραπται, ὡς τῶν μὲν παχύτερον, τῶν δ᾽ ἐκφανῶς σοφιζομένων ἔργα. τούτους [2] μὲν, ὦ βέλτιστε, τοὺς λόγους, ὧν καταγελᾷς, καὶ καλεῖς ὀνείδη τῶν ἐρωτώντων, ὡς ἐμφανῆ τὴν κακίαν ἔχοντας, ὅμως δέδιας, μή τινας περισπάσωσιν ἀπὸ τῆς καταλήψεως· αὐτὸς δὲ τοσαῦτα βιβλία γράφων κατὰ τῆς Συνηθείας, οἷς, ὅ τι [3] ἀνεῦρες, προσέθηκας, ὑπερβαλέσθαι φιλοτιμούμενος τὸν Ἀρκεσίλαον, οὐδένα τῶν ἐντυγχανόντων ἐπιταράξειν προσεδόκησας [4]; οὐδὲ γὰρ ψιλοῖς χρῆται τοῖς κατὰ Συνηθείας ἐπιχειρήμασιν, ἀλλ᾽ ὥσπερ ἐν δίκῃ μετὰ πάθους τινὸς συνεπιπάσχων, μωρολογεῖν τε πολλάκις λέγει [5] καὶ κενοκοπεῖν· ἵνα τοίνυν μηδ᾽ ἀντίρ-

1 abest οὖν a Petav.

2 R. susp. σοφιζομένων. Εἶτα τούτους μέν. Consentit W. simul antecedentia corrigenda monens: τὸ μὲν παχυτέρων, τὸ δὲ ἐκφανῶς σοφιζομένων.

3 Vulgo οἷς, τί ἄν. Turn. V. ὅτι, vel εἴ τι ἄ. Posterius R. maluit; & simul ex Anon. notatur. W. dedit ὅ τι ex E. nisi vere, certe melius vulgato, rectius tamen distingui monens ὅ τι ἂν εὕρες. Venet. 1. οἷς τινα νεῦρα a secunda manu, quod eidem speciem habere videtur, τι ἄνευρα a prima.

4 a Petav. absunt ὑπερβαλέσθαι — προσεδόκησας.

5 R. excidisse susp. τοὺς ἄλλους; W. autem ejusmodi quid οἷα τοὺς ῥήτορας μωρολογεῖν τ. π. λ. κ. κ. aut forte verum esse addit μωρολογεῖ τ. π. κ. κενοκοπεῖ: ut λέγει in margine notatum fuerit a quodam Infinitivos in tertiam Praesentis Indicativi mutante.

ἀντίῤῥησιν ἀπολίπῃ τȣ͂ τὰ ἐναντία λέγειν, ἐν μὲν ταῖς Φυσικαῖς Θέσεσι ταῦτα γέγραφεν· Ἔςαι δὲ καὶ καταλαμβάνοντάς τι, πρὸς [1] τὰ ἐναντία ἐπιχειρεῖν, τὴν ἐνȣ͂σαν συνηγορίαν ποιȣμένȣς. ποτὲ δ' ȣ᾽δέτερον καταλαμβάνοντας, εἰς ἑκάτερον τὰ ὄντα λέγειν. ἐν δὲ τῷ περὶ τῆς τȣ͂ Λόγȣ Χρήσεως εἰπὼν, ὡς ȣ δεῖ τῇ τȣ͂ λόγȣ δυνάμει πρὸς τὰ μὴ ἐπιβάλλοντα χρῆσθαι, καθάπερ ȣ᾽δὲ ὅπλοις, ταῦτ' ἐπείρηκε· Πρὸς μὲν γὰρ τὴν τῶν ἀληθῶν εὕρεσιν δεῖ χρῆσθαι αὐτῇ [2], καὶ πρὸς τὴν τȣ́των συγγένειαν, εἰς τἀναντία δ' ȣ, πολλῶν ποιȣ́ντων τȣ͂το· πολλȣ̀ς δὲ λέγων ἴσως [3] τȣ̀ς ἐπέχοντας. ἀλλ' ἐκεῖνοι μὲν ȣ᾽δέτερον καταλαμβάνοντες, εἰς ἑκάτερον ἐπιχειρȣ͂σιν· ὡς εἴ τι καταληπτόν ἐςιν, ȣ῞τως ἂν μόνως [4] ἢ μάλιςα κατάληψιν ἑαυτῆς τὴν ἀλήθειαν παρέχȣσαν. σὺ δ', ὁ κατηγορῶν ἐκείνων, αὐτός τε τἀναντία γράφων, οἷς καταλαμβάνεις περὶ τῆς Συνηθείας, ἑτέρȣς τε τȣ͂το ποιεῖν μετὰ συνηγορίας προτρεπόμενος [5], ἐν ἀχρήσοις καὶ βλαβεροῖς ὁμολογεῖς τῇ τȣ͂ λόγȣ δυνάμει χρώμενος ὑπὸ φιλοτιμίας νεανιεύεσθαι.

XI. Τὸ κατόρθωμά, φασι, νόμȣ πρόσταγμα εἶναι· τὸ δ' ἁμάρτημα, νόμȣ ἀπαγόρευμα· διὸ τὸν νόμον

1 R. legi vult εἰς, ut paulo infra cum ἐπιχειρεῖν jungitur, cum ἐπιχειρεῖν πρός τι fit *adverſus aliquid diſputare.*

2 Ita R. legi voluit, & e Turn. notatur, dedique cum W. accedente marg. Venet. 1. pro vulg. αὐταῖς.

3 R. ſuſp. ἴσως λέγει τȣ̀ς —.

4 Vulgo ἐπιχειρȣ͂σιν, ὡς ἔςι καταληπτόν· ἔςιν ȣ῞τως, ἂν μόνως. Pro ȣ῞τως, ἂν Turn. dat ȣ, ὡς ἄν. R. ſuſp. ἐπιχειρȣ͂σιν, ὡς εἴ τι καταληπτόν ἐςιν, ȣ῞τως ἂν μόνως, *tanquam ſi veritas, ſi unquam aliquid pevcipi queat, ſui perceptionem hac ſola ratione, aut ſane ea ratione prae aliis maxime, praeberet.* Ita quoque Xyl. jam vertendo correxit, monuitque Mez. & dedi cum W. notante ſimul, in E. deeſſe dictionem ἔςιν ȣ῞τως — παρέχȣσαν, ejusque loco lacunam adeſſe.

5 Mez. judice W. rectius ἀποτρεπόμενος. Vulgo haec perperam diſtincta leguntur, commate poſito poſt βλαβεροῖς, eoque omiſſo poſt προτρεπόμενος. R. corrigendum monuit.

νόμον πολλὰ τοῖς φαύλοις ἀπαγορεύειν, προστάττειν δὲ μηδέν· ȣ̓ γὰρ δύνανται κατορθȣ̃ν [1]. καὶ τίς ȣ̓κ οἶδεν, ὅτι τῷ μὴ δυναμένῳ κατορθȣ̃ν ἀδύνατόν ἐςι μὴ ἁμαρτάνειν; αὐτὸν ȣ̓̃ν αὐτῷ μαχόμενον ποιȣ̃σι τὸν νόμον, προστάττοντα μὲν, ἃ ποιεῖν ἀδυνατȣ̃σιν, ἀπαγορεύοντα δὲ, ὧν ἀπέχεσθαι μὴ δύνανται· ὁ γὰρ μὴ δυνάμενος σωφρονεῖν ἄνθρωπος, ȣ̓ δύναται μὴ ἀκολασταίνειν· καὶ ὁ μὴ δυνάμενος φρονεῖν, ȣ̓ δύναται μὴ ἀφραίνειν. αὐτοί γε μὴν λέγȣσι, τȣ̀ς ἀπαγορεύοντας ἄλλο μὲν λέγειν, ἄλλο δ' ἀπαγορεύειν, ἄλλο δὲ προστάσσειν· ὁ γὰρ λέγων· Μὴ κλέψῃς· λέγει μὲν αὐτὸ τȣ̃το μὴ κλέψῃς, ἀπαγορεύει δὲ μὴ κλέπτειν [2]. ȣ̓δὲν ȣ̓̃ν ἀπαγορεύσει τοῖς φαύλοις ὁ νόμος, εἰ δὲ [3] μὴ προστάξειέ τι. καὶ τὸν ἰατρὸν τῷ μαθητῇ προστάττειν, λέγȣσι, τεμεῖν καὶ καῦσαι, κατὰ παράλειψιν [4] τȣ̃ εὐκαίρως καὶ μετρίως· καὶ τὸν μȣσικὸν λυρίσαι καὶ ᾆσαι, κατὰ παράλειψιν τȣ̃ ἐμμελῶς καὶ συμφώνως· διὸ τȣ̀ς ταῦτα ποιήσαντας ἀτέχνως καὶ κακῶς κολάζȣσιν· ὡς [5] προσετάχθη γὰρ ὀρθῶς, οἱ δ' ȣ̓κ ὀρθῶς ἐποίησαν. ȣ̓κȣ̃ν καὶ ὁ σοφὸς τῷ θεράποντι προστάττων εἰπεῖν τι καὶ [6] πρᾶξαι, κἂν μὴ εὐκαίρως τȣ̃το πράξῃ, μηδὲ ὡς δεῖ, κολάζων, δῆλός ἐςι κατόρθωμα προσ-

1 W. susp. excidisse proxima his verba Chrysippi, ȣ̓δὲν δὲ τοῖς σοφοῖς ἀπαγορεύειν, ȣ̓ γὰρ δύνανται ἁμαρτάνειν.

2 R. susp. post κλέπτειν deesse προστάττει δὲ ȣ̓δέν. Probabilius corrigit Mez. ἀπαγορεύει δὲ κλέπτειν, προστάσσει δὲ μὴ κλέπτειν.

3 Xyl. legit εἰ μηδὲ. A Turn. abest δὲ; R. mavult καὶ, *etiamsi nihil imperarit.* W. legendum monet εἴ γε μή.

4 Hoc loco & paulo post Xyl. Mez. & R. reponendum censent παράληψιν — *quemadmodum e doctrina traditum atque coram demonstratum accepisset.* Addit R. posse quoque legi παράδειξιν. At W. vulgatum probat.

5 Omnino delendum videtur ὡς, cum Mez. R. & W.

6 R. mavult εἰπεῖν τι, ἢ καὶ πρᾶξαι.

προστάττων ἐ μέσον· εἰ δὲ μέσα [1] προστάττουσιν οἱ σοφοὶ τοῖς φαύλοις, τί κωλύει καὶ τὰ τοῦ νόμου προστάγματα τοιαῦτα εἶναι; καὶ μὴν ἡ ὁρμὴ, κατά γ' αὐτὸν, τοῦ ἀνθρώπου λόγος ἐστὶ προστακτικὸς αὐτῷ τοῦ ποιεῖν· ὡς ἐν τῷ περὶ Νόμου γέγραφεν. οὐκοῦν καὶ ἡ ἀφορμὴ λόγος ἀπαγορευτικὸς, καὶ ἡ ἔκκλισις, καὶ εὔλογος ἔκκλισις [2]. καὶ ἡ εὐλάβεια τοίνυν λόγος ἐστὶν ἀπαγορευτικὸς τῷ σοφῷ· τὸ γὰρ εὐλαβεῖσθαι, σοφῶν ἴδιον, οὐ φαύλων ἐστίν. εἰ μὲν οὖν ἕτερόν ἐστιν ὁ τοῦ σοφοῦ λόγος, καὶ ἕτερον ὁ νόμος, μαχόμενον τῷ νόμῳ λόγον οἱ σοφοὶ τὴν εὐλάβειαν ἔχουσιν· εἰ δ' οὐκ ἄλλο τι νόμος ἐστὶν, ἢ ὁ τοῦ σοφοῦ λόγος, εὕρηται νόμος ἀπαγορεύων τοῖς σοφοῖς ποιεῖν, ἃ εὐλαβοῦνται.

XII. Τοῖς φαύλοις οὐδὲν εἶναι χρήσιμον, ὁ Χρύσιππός φησιν, οὐδ' ἔχειν χρείαν τὸν φαῦλον [3] οὐδενὸς οὐδὲ δεῖσθαι. ταῦτα δ' εἰπὼν ἐν τῷ πρώτῳ τῶν [4] Κατορθωμάτων, αὖθις λέγει, καὶ τὴν εὐχρηστίαν [5] καὶ τὴν χάριν εἰς τὰ μέσα διατείνειν· ὧν οὐδέν ἐστι χρήσιμον κατ' αὐτούς. καὶ μὴν οὐδ' οἰκεῖον οὐδ' ἁρμόττον οὐδὲν εἶναι τῷ φαύλῳ φησὶν ἐν τούτοις· Κατὰ ταῦτα [6] δὲ τῷ

1 Ald. Bas. Pet. μέγα. Xyl. correxit.

2 Utroque loco vulgo ἔγκλισις. E Turn. V. Salmas. notatur bis ἔκκλισις, quod dedi cum W. accedentibus Mez. & Anon. Caeterum W. ita locum refingendum censet: καὶ ἡ ἔκκλισις· καὶ ἡ εὐλάβεια τοίνυν, εὔλογος οὖσα ἔκκλισις, λόγος ἐστὶ προστακτικὸς —.

3 Vulgo τῶν φαύλων. Xyl. corrigendum duxit τὸν φαῦλον, quod dedit W. e B. Venet. 1. Mez. Retento vulgato R. inseri voluit οὐδένα.

4 R. susp. πρώτῳ περὶ τῶν κ.

5 Veterem hanc lectionem revocavit W. ex Ald. Bas. Xyl. B. E. Venet. 1. & 2. probante Mez. pro lectione vulg. εὐχαριστίαν, quam Steph. dedit. Notat idem, se nescire, e librisne an conjectura, & difficile esse ad judicandum, utrum huic loco sit accommodatius; adeo aequalia esse momenta.

6 Sic W. dedit e Venet. 1. & Mez. Vulgo κατ' αὐτά. R. voluit κατὰ ταῦτα.

τῷ μὲν ἀςείῳ ἀλλότριον ὀυδὲν, τῷ δὲ φαύλῳ ὀυδὲν οἰκεῖόν ἐςιν· ἐπειδὴ τὸ μὲν, ἀγαθὸν, τὸ δὲ, κακόν ἐςιν αὐτῶν [1]. πῶς οὖν ἀποκναίει πάλιν ἐν παντὶ βιβλίῳ Φυσικῷ ἰδίᾳ [2] καὶ ἠθικῷ γράφων, ὡς οἰκειέμεθα πρὸς αὐτὰ, εὐθὺς γενόμενοι καὶ τὰ μέρη καὶ τὰ ἔκγονα τὰ ἑαυτῶν; ἐν δὲ τῷ πρώτῳ περὶ Δικαιοσύνης, καὶ τὰ θηρία, φησὶ, συμμέτρως τῇ χρείᾳ τῶν ἐκγόνων ᾠκειῶσθαι πρὸς αὐτὰ, πλὴν των ἰχθύων· αὐτὰ γὰρ τὰ κυήματα [3] τρέφεται δι' αὐτῶν. ἀλλ' οὔτ' αἴθησίς ἐςιν, οἷς μηδὲν αἰθητὸν, οὔτ' οἰκείωσις, οἷς μηδὲν οἰκεῖον· ἡ γὰρ οἰκείωσις αἴθησις ἔοικε [4] τοῦ οἰκείου καὶ ἀντίληψις εἶναι.

XIII. Καὶ τὸ δόγμα τοῦτο [5] τοῖς κυριωτάτοις ἑπόμενόν ἐςι, καὶ Χρύσιππος, εἰ καὶ πολλὰ πρὸς τοὐναντίον γέγραφε, δῆλός ἐςι προστιθέμενος τῷ μήτε κακίαν κακίας, ἢ ἁμαρτίαν ἁμαρτίας ὑπερέχουσαν [6] εἶναι, μήτ' ἀρετὴν ἀρετῆς, ἢ κατόρθωσιν κατορθώσεως· ὥς γε [7] φησὶν ἐν τῷ τρίτῳ περὶ Φύσεως· Ὥσπερ τῷ Διὶ προσήκει σεμνύνεσθαι ἐπ' αὐτῷ [8] τε καὶ τῷ βίῳ καὶ μέγα φρονεῖν, καὶ, εἰ δεῖ οὕτως εἰπεῖν, ὑψαυχεῖν [9] καὶ κομᾶν, καὶ μεγαληγορεῖν, ἀξίως βιοῦντι μεγαληγορίας· οὕτω τοῖς ἀγαθοῖς πᾶσι ταῦτα προσήκει, κατ'

1 R. susp. τῷ μὲν ἀγαθὸν, τῷ δὲ κακόν ἐςιν αὐτό.

2 R. legi vult νὴ Δία. Idem susp. W.

3 Ald. Bas. κύματα. Xyl. correxit. R. deinde legi voluit τρέφει δι' αὐτων, *omnia enim animalia nutriunt suos foetus e se & per se.*

4 Post ἔοικε Petav. inserit δέ.

5 Novi capitis initium fecit W. legendum monens καὶ τοῦτο τὸ δόγμα —. Vulgo haec cum antecedentibus conjuncta leguntur.

6 Petav. ὑπάρχουσαν.

7 W. cum Mez. & R. legendum monet ὅς γε — *qui quidem dicat.*

8 Mez. ἐφ' ἑαυτῷ.

9 Venet. 1. ὑψαυχενεῖν.

κατ' ἔθον προεχομένοις ὑπὸ τοῦ Διός. ἀλλ' αὐτός γε πάλιν ἐν τῷ τρίτῳ περὶ Δικαιοσύνης φησὶν, ὅτι δικαιοσύνην ἀναιροῦσιν οἱ τέλος ὑποτιθέμενοι τὴν ἡδονήν· οἱ δὲ μόνον ἀγαθὸν εἶναι λέγοντες, οὐκ ἀναιροῦσιν· ἔστι δὲ ταυτὶ κατὰ λέξιν· Τάχα γὰρ ἀγαθοῦ αὐτῆς ἀπολειπομένης [1], τέλους δὲ μὴ, τῶν δὲ δι' αὐτὰ αἱρετῶν ὄντος [2] καὶ τοῦ καλοῦ, σώζοιμεν ἂν τὴν δικαιοσύνην, μεῖζον ἀγαθὸν ἀπολιπόντες τὸ καλὸν καὶ τὸ δίκαιον τῆς ἡδονῆς. ἀλλ' εἴπερ μόνον τὸ καλὸν ἀγαθόν ἐστιν, ἁμαρτάνει μὲν ὁ τὴν ἡδονὴν ἀγαθὸν ἀποφαίνων, ἧττον δὲ ἁμαρτάνει τοῦ καὶ τέλος αὐτὴν ποιοῦντος· ἀναιρεῖ γὰρ οὗτος τὴν δικαιοσύνην, ἐκεῖνος δὲ [3] σώζει· καὶ κατὰ τοῦτον ἡ κοινωνία φροῦδός ἐστι καὶ ἀπόλωλεν, ὁ δὲ [4] χρηστότητι καὶ φιλανθρωπίᾳ χώραν δίδωσιν. ἔτι τὸ [5] μὲν λέγειν αὐτὸν ἐν τῷ περὶ τοῦ Διὸς, αὔξεσθαι τὰς ἀρετὰς, καὶ διαβαίνειν, ἀφίημι, μὴ δόξω τῶν ὀνομάτων ἐπιλαμβάνεσθαι· καίτοι πικρῶς ἐν τῷ γένει τούτῳ καὶ Πλάτωνα καὶ τοὺς ἄλλους τοῦ Χρυσίππου δάκνοντος. ἐπαινεῖν δὲ μὴ πᾶν τὸ πραττόμενον κατ' ἀρετὴν, κελεύων, ἐμφαίνει τινὰ τῶν κατορθωμάτων διαφοράν· λέγει δὲ οὕτως ἐν τῷ περὶ τοῦ Διός· Ἔργων γὰρ κατὰ τὰς ἀρετὰς ὄντων, οἰκεῖόν ἐστι τὰ προενεχθέντα καὶ τούτων

1 Sic W. ex B. Venet. 1. & 2. a secunda manu dedit, consentiente Petav. in voce posteriore. Vulgo αὐτῇ ἀπολειπομένου.

2 Vulgo ὄντων. Hinc R. susp. καὶ τοῦ καλοῦ μετεχόντων, aut potius ὄντος καὶ τοῦ καλοῦ, *quum honestum quoque sit in illis rebus, quae per se sunt optanda.* Dedit ὄντος W. e marg. Venet. 2. notans e Venet. 1. ὄντως. Recurrit idem locus infra c. XV.

3 Vulgo abest δέ. Additur a Petav. & reposuit W. ex B. E. Venet. 1. Mez.

4 Ita sententia flagitante, & libris partim assentientibus dedit W. pro vulg. ᾧ δή. B. Venet. 1. ὁ δή; Mez. οὗτος δέ. R. voluit ἤ.

5 Vulgo τῷ. R. e Bas. reponi jussit τό. Idem est in Ald. & dedit W. consentientibus B. E. Xyl.

τέτων [1]· οἷον, ἀνδρείως τὸν δάκτυλον ἐκτεῖναι, καὶ ἐγκρατῶς ἀποσχέσθαι δυσθανατώσης γραὸς, καὶ ἀπροπτώτως ἀκῦσαι τῦ τὰ τρία τέσσαρα μὴ εἶναι τελέως· τίνα [2] ἐμφαίνει ψυχρίαν ὁ διὰ τῶν τοιέτων ἐπαινεῖν τινας ἐγχειρῶν καὶ ἐγκωμιάζων [3]; ὅμοια δ' εἴρηται τέτοις ἐν τῷ τρίτῳ περὶ Θεῶν· Ἔτι γὰρ οἶμαι, φησὶ, τὰς ἐπαίνες ἀλλοτριώσεσθαι κατὰ τὰ τοιαῦτα τῶν συμβαινόντων ἀπ' ἀρετῆς, οἷον δυσθανατώσης γραὸς ἀποσχέσθαι, καὶ καρτερῆσαι μυίας [4] δηγμόν. τίνα ἂν ἕτος ἄλλον κατήγορον περιμένει τῶν ἑαυτῦ δογμάτων; εἰ γὰρ ψυχρός ἐστιν ὁ ταῦτ' ἐπαινῶν, πολλῷ δή πε ψυχρότερος ὁ τέτων ἕκαστον ἂν [5] κατόρθωμα καὶ μέγα καὶ μέγιστον εἶναι τιθέμενος· εἰ γὰρ ἴσον ἐστὶ τὸ ἀνδρείως [6] δῆγμα μυίας ἐνεγκεῖν, καὶ τὸ σωφρόνως ἀποσχέσθαι τῆς γραὸς, ὐδὲν (οἶμαι) διαφέρει τὸν σπεδαῖον ἀπὸ τέτων ἢ ἀπ' ἐκείνων ἐπαινεῖσθαι. ἔτι τοίνυν ἐν τῷ δευτέρῳ περὶ Φιλίας, διδάσκων, ὡς ὐκ ἐπὶ πᾶσι δεῖ τοῖς ἁμαρτήμασι τὰς φιλίας διαλύεσθαι, ταύταις κέχρηται ταῖς λέξεσι· Προσήκει

1 R. susp. οἰκεῖόν ἐστι καὶ συμμέτρως, vel ἀναλόγως, ἐπαινεῖν τὰ προενεχθέντα ὑπὸ τέτων, *nam cum accommodati sint virtutibus effectus*, opera rationem virtutum, a quibus ea profecta sunt, sequantur, ut magna vel parva sint, prout virtutes magnae sunt aut parvae, *est quoque consentaneum profecta ab iis* (virtutibus) *pari gradu laudare.* W. legit vertitque ὄντων οἰκείων, ἐστὶ τ. π. κ. τ. *cum sint facta sua cuique virtuti propria, sunt eorum quaedam praestantiora aliis.*

2 R. distingui vult μὴ εἶναι. τελέως τίνα. Idem W. probat, simul delendum suspicans μὴ ante εἶναι.

3 In suppl. Frst. notatur conjectura ἐγκωμιάζων.

4 Amiot. legisse μυὸς, notat Kaltw.

5 W. ἂν delendum monet cum Mez.

6 Sic W. dedit ex B. Venet. 1. 2. pro vulg. τῷ ἀνδρείῳ. E. Petav. Salmas. τῷ ἀνδρείως. Xyl. deinde legit vertitque καὶ τῷ σώφρονι. W. tamen locum plene ita restituendum putat: εἰ γὰρ ἴσον ἐστὶ πᾶν κατόρθωμα παντὶ κατορθώματι, τῷ μεγίστῳ κατορθώματι ἴσο ἔσαι τὸ ἀνδρ. δ. μ. ἐ. κ. τὸ σωφρόνως ἀ. τ. γραός· καὶ ὐδὲν, οἶμαι, διαφέρει.

ἥκει γὰρ τὰ μὲν ὅλως παραπέμπεσθαι, τὰ δὲ μικρᾶς ἐπιστροφῆς τυγχάνειν, τὰ δὲ καὶ ἐπὶ μεῖζον, τὰ δὲ ὅλως [1] διαλύσεως ἀξιοῦσθαι. ὃ δὲ τούτου μεῖζόν ἐστιν, ἐν τῷ αὐτῷ φησιν, ὅτι τοῖς μὲν ἐπὶ πλεῖον, τοῖς δ' ἐπ' ἔλαττον συμβαλοῦμεν· ὥστε τοὺς μὲν μᾶλλον, τοὺς δὲ ἧττον φίλους εἶναι· ἐπὶ πολὺ δὲ [2] τῆς τοιαύτης παραλλαγῆς γενομένης, οἱ μὲν τοσαύτης [3], οἱ δὲ τοσαύτης γίνονται φιλίας ἄξιοι· καὶ οἱ μὲν ἐπὶ τοσοῦτον [4] πίστεως καὶ τῶν ὁμοίων καταξιωθήσονται. τί γὰρ ἄλλο πεποίηκεν ἐν τούτοις, ἢ καὶ τούτων μεγάλας διαφορὰς ἀπολέλοιπε; καὶ μὴν ἐν τῷ περὶ Καλοῦ, πρὸς ἀπόδειξιν τοῦ μόνον τὸ καλὸν ἀγαθὸν εἶναι, τοιούτοις λόγοις κέχρηται· Τὸ ἀγαθὸν, αἱρετόν· τὸ δ' αἱρετὸν, ἀρεστόν· τὸ δ' ἀρεστὸν, ἐπαινετόν· τὸ δ' ἐπαινετὸν, καλόν· καὶ πάλιν· Τὸ ἀγαθὸν, χαρτόν· τὸ δὲ χαρτὸν, σεμνόν· τὸ δὲ σεμνὸν, καλόν. οὗτοι δ' οἱ λόγοι μάχονται πρὸς ἐκεῖνον. εἴτε γὰρ πᾶν αγαθον ἐπαινετόν ἐστι, καὶ τὸ σωφρόνως ἀπέχεσθαι τῆς γραὸς ἐπαινετὸν ἂν εἴη· πᾶν [5] ἀγαθὸν, οὔτε σεμνὸν, οὔτε χαρτὸν, ἀλλ' οἴχεται ὁ λόγος. ἴσως γὰρ οἷον τε [6] τὸ μὲν ἄλλους ἀπὸ τῶν τοιούτων ἐπαινεῖν, ψυχρὸν εἶναι· τὸ δ' αὑτὸν ἐπὶ τοῖς τοιούτοις χαίρειν καὶ σεμνύνεσθαι, μὴ καταγέλαστον.

XIV. Πολλαχοῦ μὲν τοιοῦτός [7] ἐστιν· ἐν δὲ ταῖς



1 W. mavult ὅμως — *ſed venia tamen digna ducenda.*

2 R. deleri voluit δὲ.

3 Vulgo γινομένης· οἱ μὲν γὰρ τοιαύτης. R. dari juſſit τοσαύτης. W. ſecutus eſt cod. B. ſumto τοσαύτης e Mez.

4 R. poſt τοσοῦτον excidiſſe ſuſp. οἱ δ' ἐπὶ τοσοῦτον. Ita cum Mez. legendum monet W.

5 W. cum Mez. corrigendum cenſet εἴη· ἢ πᾶν —. R. judice ratiocinio membrum deeſſe videtur, & locus ſic integrandus eſſe: ἐπαινετὸν ἂν εἴη· ἀλλ' οὔτε σεμνὸν τοῦτο τὸ ἀγαθὸν, οὔτε χαρτόν· πᾶν ἄρα ἀγαθὸν οὔτε σεμνὸν, οὔτε χαρτόν.

6 R. legi vult οἴεται; Mez. οἴονται; W. autem πῶς γὰρ οἷόν τε. Idem πῶς legendum conjecit Kaltw. pro ἴσως.

7 W. cum Mez. legi vult μὲν οὖν τοιοῦτος.

πρὸς ἑτέρους ἀντιλογίαις, ἥκιστα φροντίζει [1] τοῦ μηδὲν εἰπεῖν ἐναντίον ἑαυτῷ καὶ διάφωνον. ἐν γοῦν τοῖς περὶ τοῦ Προτρέπεσθαι, τοῦ Πλάτωνος ἐπιλαμβανόμενος, λέγοντος, ὅτι τῷ μηδὲ μαθόντι μηδ' ἐπισταμένῳ ζῆν, λυσιτελεῖ μὴ ζῆν, ταῦτ εἴρηκε κατὰ λέξιν· Ὁ γὰρ τοιοῦτος λόγος καὶ ἑαυτῷ μάχεται, καὶ ἥκιστά ἐστι προτρεπτικός. πρῶτον γὰρ παραδεικνύων, ὅτι κράτιστον ἡμῖν ἐστι τὸ μὴ ζῆν, καὶ τρόπον τινὰ ἀποθνήσκειν ἀξιῶν, πρὸς ἕτερά τινα μᾶλλον ἡμᾶς προτρέψεται ἢ τὸ φιλοσοφεῖν· οὐ γάρ ἐστι μὴ ζῶντα φιλοσοφεῖν, οὐδὲ μὴν [2] πολὺν χρόνον ἐπιζήσαντα κακῶς καὶ ἀπείρως, φρόνιμον γενέσθαι· καὶ προελθὼν δέ φησιν, ὅτι καὶ τοῖς φαύλοις καθήκει μένειν ἐν τῷ ζῆν· εἶτα κατὰ λέξιν· Πρῶτον γὰρ ἡ ἀρετὴ ψιλῶς οὐδέν ἐστι πρὸς τὸ ζῆν ἡμᾶς, οὕτω δ' οὐδ' ἡ κακία οὐδέν ἐστι πρὸς τὸ δεῖν ἡμᾶς ἀπιέναι. καὶ μὴν οὐχ ἕτερα δεῖ βιβλία διειλῆσαι, τοῦ Χρυσίππου τὴν πρὸς αὑτὸν ἐνδεικνυμένους μάχην· ἀλλ' ἐν αὐτοῖς τούτοις ποτὲ μὲν τοῦ Ἀντισθένους ἐπαινῶν προφέρεται τὸ δεῖν κτᾶσθαι νοῦν ἢ βρόχον· καὶ τοῦ Τυρταίου, τὸ

Πρὶν [3] ἀρετῆς πελάσαι τέρμασιν, ἢ θανάτου·

καίτοι τί ταῦτα βούλεται δηλοῦν ἄλλο, πλὴν ὅτι τὸ μὴ ζῆν λυσιτελέστερόν ἐστι τοῦ ζῆν τοῖς κακοῖς καὶ ἀνοήτοις; ποτὲ δὲ τὸν Θέογνιν ἐπανορθούμενος· Οὐκ ἔδει, φησὶν, εἰπεῖν·

Χρὴ πενίην φεύγοντα·

μᾶλλον δέ·

Χρὴ κακίαν φεύγοντα, καὶ ἐς βαθυκήτεα πόντον
    Ῥιπτεῖν, καὶ πετρῶν, Κύρνε, κατ' ἠλιβάτων [4].

τί οὖν ἄλλο δόξειεν ἂν ποιεῖν, ἢ ταυτὰ πράγματα [5] καὶ δόγματα παρεγγράφειν αὐτὸς, ἑτέρων δὲ γραφόντων

1 Turn. V. Bong. φροντίζειν.

2 W. mavult οὐδὲ μή.

3 R. susp. κρῖν' ἀρετῆς — *decerne tecum, aut virtutis ad metas, aut ad vitae, accedere.*

4 Theogn. v. 177.

5 R. mavult ἢ τοιαῦτα προστάγματα.

των ἐξαλείφειν; Πλάτωνι μὲν ἐγκαλῶν, ὅτι τοῦ κακῶς ζῆν καὶ ἀμαθῶς τὸ μὴ ζῆν ἀποδείκνυσι λυσιτελέστερον, Θεόγνιδι δὲ συμβουλεύων κατακρημνίζειν καὶ καταποντίζειν ἑαυτὸν ὑπὲρ τοῦ φυγεῖν τὴν κακίαν. Ἀντισθένη μὲν γὰρ ἐπαινῶν, ὅτι τοὺς μὴ νοῦν ἔχοντας εἰς βρόχον συνήλαυνεν, αὐτὸς [1] ἔψεγεν, εἰπόντα, μηδὲν εἶναι τὴν κακίαν πρὸς τὸ ἐκ τοῦ ζῆν ἡμᾶς ἀπαλλάττειν.

XV. Ἐν δὲ τοῖς πρὸς αὐτον Πλάτωνα περὶ Δικαιοσύνης εὐθὺς ἐξ ἀρχῆς ἐνάλλεται τῷ περὶ θεῶν λόγῳ, καὶ φησὶν, οὐκ ὀρθῶς ἀποτρέπειν τῷ ἀπὸ τῶν θεῶν φόβῳ τῆς ἀδικίας τὸν Κέφαλον, εὐδιάβλητόν τ' εἶναι, καὶ πρὸς τοὐναντίον ἐξάγοντα πολλοὺς περισπασμοὺς καὶ πιθανότητας ἀντιπιπτούσας [2] τὸν περὶ τῶν ὑπὸ τοῦ [3] θεοῦ κολάσεων λόγον, ὡς οὐδὲν διαφέροντα τῆς Ἀκκοῦς καὶ τῆς Ἀλφιτοῦς, δι' ὧν τὰ παιδάρια τοῦ κακοσχολεῖν αἱ γυναῖκες ἀνείργουσιν. οὕτω δὲ διασύρας τὰ τοῦ [4] Πλάτωνος, ἐπαινεῖ πάλιν ἐν ἄλλοις καὶ προφέρεται τὰ τοῦ Εὐριπίδου ταυτὶ πολλάκις·

— Ἀλλ' ἔστιν εἴ τις ἐγγελᾷ λόγῳ [5],
Ζεὺς, καὶ θεοὶ βρότεια λεύσσοντες πάθη·

καὶ ὁμοίως ἐν τῷ πρώτῳ περὶ Δικαιοσύνης, τὰ Ἡσιόδεια [6] ταυτὶ προενεγκάμενος·

Τοῖσιν δ' οὐρανόθεν μέγ' ἐπήλασε πῆμα Κρονίων,
Λιμὸν ὁμοῦ καὶ λοιμόν· ἀποφθινύθουσι δὲ λαοί·

ταῦτά, φησι, τοὺς θεοὺς ποιεῖν, ὅπως τῶν πονηρῶν κολαζομένων, οἱ λοιποὶ παραδείγμασι τούτοις χρώμενοι, ἧττον ἐπιχειρῶσι τοιοῦτόν τι ποιεῖν. πάλιν ἐν μὲν τοῖς περὶ



1 R. mavult αὐτὸς αὐτὸν ἔψ. W. legi vult αὐτὸν pro αὐτός.

2 R judice deest παρέχοντα post h. v. W. ita locum vult constitui εὐδιάβλητόν τ' εἶναι πρὸς τοὐναντίον, εἰσάγοντα πολλοὺς περισπασμούς.

3 ab ſt τοῦ ab Ald. Baſ. Petav.

4 Vulgo abeſt τά. W. addidit ex B. & Venet. 1.

5 R. ſuſp. ἐγγελᾷ τῷ νῦν, vel τῳδὶ, λόγῳ.

6 Op. & d. v. 240. ſq.

ρὶ Δικαιοσύνης ὑπειπὼν, ὅτι τοὺς τἀγαθὸν [1], ἀλλὰ μὴ τέλος τιθεμένους τὴν ἡδονὴν, ἐνδέχεται σώζειν καὶ τὴν δικαιοσύνην, θεὶς τοῦτο, κατὰ λέξιν εἴρηκε· Τάχα γὰρ ἀγαθοῦ [2] αὐτῆς ἀπολειπομένης, τέλους δὲ μὴ. τῶν δὲ δι' αὑτῶν αἱρετῶν ὄντος καὶ τοῦ καλοῦ, σώζοιμεν ἂν τὴν δικαιοσύνην, μεῖζον ἀγαθὸν ἀπολιπόντες τὸ καλὸν καὶ τὸ δίκαιον τῆς ἡδονῆς. ταῦτα μὲν ἐν τούτοις περὶ [3] τῆς ἡδονῆς. ἐν δὲ τοῖς περὶ [4] Πλάτωνα, κατηγορῶν αὐτοῦ δοκοῦντος ἀγαθὸν ἀπολιπεῖν τὴν ὑγείαν, οὐ μόνον τὴν δικαιοσύνην, φησὶν, ἀλλὰ καὶ τὴν μεγαλοψυχίαν ἀναιρεῖσθαι, καὶ τὴν σωφροσύνην, καὶ τὰς ἄλλας ἀρετὰς ἁπάσας, ἂν τὴν ἡδονὴν, ἢ τὴν ὑγείαν, ἤ τι τῶν ἄλλων, ὃ μὴ καλόν ἐστιν, ἀγαθὸν ἀπολείπωμεν. ἃ μὲν οὖν ῥητέον ὑπὲρ Πλάτωνος, ἐν ἄλλοις γέγραπται πρὸς αὐτόν [5]. ἐνταῦθα δ' ἡ μάχη καταφανής ἐστιν, ὅπου μὲν, κἂν μετὰ τοῦ καλοῦ τις ὑποθῆται καὶ τὴν ἡδονὴν ἀγαθὸν εἶναι, σώζεσθαι δικαιοσύνην λέγοντος· ὅπου δὲ πάλιν τοὺς μὴ μόνον [6] τὸ καλὸν ἀπολιπόντας, αἰτιωμένου τὰς ἀρετὰς ἁπάσας ἀναιρεῖν. ἵνα δὲ μηδ' ἀπολογίαν ὑπολίπῃ τοῖς ἐναντιώμασιν, Ἀριστοτέλει περὶ Δικαιοσύνης ἀντιγράφων, οὔ, φησιν,

1 W. legi mavult ἀγαθόν.

2 Vulgo ἀγαθοῦς αὐτῆς ἀπολειπομένου, τέλους δὲ μὴ, τῶν δὲ δι' αὑτῶν αἱρετῶν ὄντως καὶ τοῦ καλοῦ. R. voluit ἀγαθοῦ αὐτῇ ἀπολειπομένου, & deinde τῶν δὲ δι' αὑτὰ αἱρετῶν ὄντος καὶ τοῦ καλοῦ. Petav. ἀγαθοῦ ἀπολειπομένου, ut videtur, absque αὐτῆς. W. locum dedit partim e libris, partim ex comparatione superioris loci, cap. XIII p. 353. B. E. Venet. 2. ἀγαθοῦ αὐτῆς ἀπολειπομένου — ὄντως —.

3 Vulgo περί τε τ. ἡ. R. voluit γε pro τε. W. delevit cum B. E. Mez.

4 R. mavult πρὸς Πλ. Idem W. cum Mez. legendum monet. Venet. 1. a secunda manu περὶ Πλάτωνος.

5 R. monente, forsitan id factum in libro τί κατὰ Πλάτωνα τέλος, *quemnam existimaverit Plato nostrarum actionum finem esse?* quem memorat Lamprias in fine Indicis scriptorum a Plutarcho.

6 R. legi vult μὴ μόνον ἀγαθὸν τὸ καλόν.

φησιν, αὐτὸν ὀρθῶς λέγειν, ὅτι, τῆς ἡδονῆς ὄσης τέλους ἀναιρεῖται μὲν ἡ δικαιοσύνη, συναναιρεῖται δὲ τῇ δικαιοσύνῃ καὶ τῶν ἄλλων ἀρετῶν ἑκάστη· τὴν μὲν γὰρ δικαιοσύνην ὑπ' αὐτῶν [1] ὡς ἀληθῶς ἀναιρεῖσθαι, τὰς δ' ἄλλας ἀρετὰς οὐδὲν κωλύει [2] ὑπάρχειν, εἰ καὶ μὴ δι' αὐτὰς αἱρετάς, ἀλλ' ἀγαθὰς γοῦν καὶ ἀρετὰς ἐσομένας [3]· εἶτα ἑκάστην ἐξ ὀνόματος προσαγορεύει. βέλτιον δὲ τὰς ἐκείνου λέξεις ἀναλαβεῖν· Τῆς γὰρ ἡδονῆς, φησὶν, ἐμφαινομένης τέλους κατὰ τὸν τοιοῦτον λόγον, τὸ μὲν [4] τοιοῦτο πᾶν μοι δοκεῖ οὐκ ἐμπεριλαμβάνεσθαι· διὸ ῥητέον, μήτε τῶν ἀρετῶν τινα δι' αὐτὴν αἱρετὴν εἶναι, μήτε τῶν κακιῶν φευκτὴν, ἀλλὰ πάντα ταῦτα δεῖν ἀναφέρεσθαι πρὸς τὸν ὑποκείμενον σκοπόν· οὐδὲν μέντοι κωλύσει κατ' αὐτοὺς, τὴν ἀνδρείαν μὲν [5] καὶ τὴν φρόνησιν καὶ τὴν ἐγκράτειαν καὶ τὴν καρτερίαν καὶ τὰς ὁμοίας ταύταις [6] ἀρετὰς, εἶναι τῶν ἀγαθῶν, τὰς δ' ἐναντίας [7], ὑπάρχειν φευκτάς. τίς οὖν τούτου πρὸς λόγους ἰταμώτερος γέγονεν, ὃς δυεῖν τῶν ἀρίστων φιλοσόφων ἐγκέκληκε τῷ μὲν, ὅτι πᾶσαν ἀρετὴν ἀναιρεῖ, μὴ μόνον τὸ καλὸν ἀγαθὸν ἀπολιπών· τῷ δ', ὅτι, τῆς ἡδονῆς τέλους οὔσης, οὐ πᾶσαν ἀρετὴν ἄνευ τῆς δικαιοσύνης σώζεσθαι νομίζει; θαυμαστὴ γὰρ ἡ ἐξουσία, περὶ τῶν αὐτῶν πραγμάτων διαλεγόμενον, ἃ τίθησιν αὐτὸς ἐγκαλῶν Ἀριστοτέλει, ταῦτ' ἀναιρεῖν



1 R. monet, ſententiam quidem eſſe perſpicuam, eosque ſignificari, qui ſola in voluptate bonum collocant: at de his nil praeceſſiſſe. Hinc legendum monet aut ὑπ' αὐτῆς, ſc. voluptate, aut ὑπ' αὐτοῦ, ſc. Ariſtotele, aut duriorem eſſe addit figuram, quae mentem lectoris referat ad τὸ σημαινόμενον.

2 R. mavult κωλύειν.

3 W. notat ex B. ἀρεστὰς ἐσομένας; e Mez. αἱρετὰς ἐσομ.

4 Huic particulae reſpondere infra ſequens μέντοι, notat R.

5 Hoc μὲν R. aut delendum aut cum τε mutandum cenſet R.

6 Ita Bas. exhibet, & R. dari voluit, dedique cum W. idem ex iisdem & B. E. Xyl. Mez. ſumente pro vulg. ταύτας.

7 Mez. addi vult κακίας.

ρεῖν πάλιν Πλάτωνος κατηγοροῦντα. καὶ μὴν ἐν ταῖς περὶ Δικαιοσύνης Ἀποδείξεσι λέγει ῥητῶς, ὅτι πᾶν κατόρθωμα, καὶ εὐνόμημα καὶ δικαιοπράγημά ἐστι· τὸ δέ γε κατ' ἐγκράτειαν, ἢ καρτερίαν, ἢ φρόνησιν, ἢ ἀνδρείαν, πραττόμενον, κατόρθωμά ἐστιν· ὥστε καὶ δικαιοπράγημα. πῶς οὖν, οἷς ἀπολείπει φρόνησιν καὶ ἀνδρείαν καὶ ἐγκράτειαν, οὐκ ἀπολείπει δικαιοσύνην, εὐθὺς αὐτῶν ὅσα κατορθοῦσιν ἐν ταῖς εἰρημέναις ἀρεταῖς, καὶ δικαιοπραγούντων;

XVI. Τοῦ δὲ Πλάτωνος εἰπόντος τὴν ἀδικίαν, ὡς διαφθορὰ ψυχῆς οὖσα καὶ στάσις, οὐδ' ἐν αὐτοῖς τοῖς ἔχουσιν ἀποβάλλει τὴν δύναμιν, ἀλλ' αὐτὸν ἑαυτῷ συμβάλλει καὶ κρούει [1] καὶ ταράττει τὸν πονηρόν· ἐγκαλῶν Χρύσιππος, ἀτόπως, φησὶ, λέγεσθαι τὸ ἀδικεῖν ἑαυτόν· εἶναι γὰρ πρὸς ἕτερον, οὐ πρὸς ἑαυτὸν, τὴν ἀδικίαν· ἐπιλαθόμενος γὰρ τούτων, αὖθις ἐν ταῖς περὶ Δικαιοσύνης Ἀποδείξεσιν, ἀδικεῖσθαί, φησιν, ὑφ' ἑαυτοῦ τὸν ἀδικοῦντα, καὶ αὐτὸν ἀδικεῖν, ὅταν ἄλλον ἀδικῇ, γενόμενον ἑαυτῷ τοῦ παρανομεῖν αἴτιον, καὶ βλάπτοντα παρ' ἀξίαν ἑαυτόν. ἐν μὲν τοῖς πρὸς Πλάτωνα ταῦτ' εἴρηκε περὶ τοῦ τὴν ἀδικίαν λέγεσθαι μὴ πρὸς ἑαυτὸν, ἀλλὰ πρὸς ἕτερον· Οἱ γὰρ κατ' ἰδίαν ἄδικοι [2] συνεστήκασιν ἐκ πλειόνων τοιούτων, τἀναντία λεγόντων, καὶ ἄλλως τῆς ἀδικίας λαμβανομένης, ὡς ἂν ἐν πλείοσι πρὸς ἑαυτοὺς οὕτως ἐχουσιν· εἰς δὲ τὸν ἕνα μηδενὸς διατείνοντος τοιούτου, καθ' ὅσον δὲ πρὸς τοὺς πλησίον ἔχει οὕτως. ἐν δὲ ταῖς Ἀποδείξεσι τοιούτους ἠρώτηκε λόγους περὶ τοῦ τὸν ἄδικον καὶ ἑαυτὸν ἀδικεῖν. Παραίτιον γενέσθαι παρανομήματος, ἀπαγορεύει ὁ νόμος· καὶ τὸ

1 R. & W. susp. συγκρούει.

2 R. hanc Chrysippi dictionem obscurissimam esse monet, neque verba integra videri. W. locum ita refingendum susp. οὐ γὰρ κατ' ἰδίαν οἱ ἄδικοι συνεστήκασιν, ἐκ πλειόνων δὲ τοιούτων τἀναντία δρώντων — .

τὸ ἀδικεῖν ἐςαι [1] παρανόμημα· ὁ τοίνυν παραίτιος γενόμενος αὑτῷ τῦ ἀδικεῖν, παρανομεῖ εἰς ἑαυτόν· ὁ δὲ παρανομῶν εἰς ἕνα, καὶ ἀδικεῖ ἐκεῖνον· ὃν [2] ἄρα καὶ ὁντιναῦν ἀδικῶν, καὶ ἑαυτὸν ἀδικεῖ. πάλιν· τὸ ἁμάρτημα τῶν βλαμμάτων ἐςὶ, καὶ πᾶς ἁμαρτάνων παρ' ἑαυτὸν ἁμαρτάνει· πᾶς ἄρα ὁ ἁμαρτάνων βλάπτει ἑαυτὸν παρὰ τὴν ἀξίαν· εἰ δὲ τῦτο, καὶ ἀδικεῖ ἑαυτόν. ἔτι καὶ ὕτως· Ὁ βλαπτόμενος ὑφ' ἑτέρυ, ἑαυτὸν βλάπτει, καὶ παρὰ τὴν ἀξίαν ἑαυτὸν βλάπτει· τῦτο δ' ἦν τὸ ἀδικεῖν· ὁ ἄρα ἀδικύμενος [3] καὶ ὑφ' ὁτυῦν πᾶς ἑαυτὸν ἀδικεῖ.

XVII. Τὸν περὶ ἀγαθῶν καὶ κακῶν λόγον, ὃν αὐτὸς εἰσάγει καὶ δοκιμάζει, συμφωνότατον εἶναί, φησι, τῷ βίῳ, καὶ μάλιςα τῶν ἐμφύτων ἅπτεσθαι προλήψεων. ταυτὶ γὰρ ἐν τῷ τρίτῳ τῶν Προτρεπτικῶν εἴρηκεν. ἐν δὲ τῷ πρώτῳ τῦτον τὸν λόγον, φησὶν, ἀπὸ τῶν ἄλλων ἁπάντων ἀφέλκειν τὸν ἄνθρωπον, ὡς ὐδὲν ὄντων πρὸς ἡμᾶς, ὐδὲ συνεργύντων πρὸς εὐδαιμονίαν ὐδέν. ὅρα [4] τοίνυν, πῶς αὑτῷ σύμφωνός ἐςι, τὸν ἀφέλκοντα τῦ ζῆν [5], καὶ τῆς ὑγείας, καὶ τῆς ἀπονίας [6], καὶ τῆς τῶν αἰσθητηρίων ὁλοκληρίας, καὶ μηδὲν εἶναι ταῦτα φάσκοντα πρὸς ἡμᾶς, ἃ παρὰ τῶν θεῶν αἰτύμεθα, μάλιςα συμφωνεῖν τῷ βίῳ καὶ ταῖς κοιναῖς προλήψεσιν ἀποφαινόμενος. ἀλλ' ἵνα μὴ ἄρνησις ᾖ τῦ τἀναντία λέγειν, ἐν τῷ τρίτῳ περὶ Δικαιοσύνης ταῦτ' εἴρηκε· Διὸ καὶ διὰ τὴν ὑπερβολὴν τῦ τε μεγέθυς καὶ τῦ κάλλυς, πλάσματι δοκῦ-



[1] R. mavult: ὁ νόμος· τὸ ἀδικεῖν ἐςὶ παρανόμημα.

[2] R. & W. legendum monent ὁ ἄρα.

[3] Ita R. corrigi voluit, sumsitque W. a Xyl. & Mez. pro vulg. δικαιύμενος. Pro seq. πᾶς R. simul dandum censuit πάντως.

[4] Sic Steph. ex Leonic. Schott. Collat. Muret. Anon. Priores editt. & B. E. F. Pet. ὁρῶ.

[5] W. subjungendum monet λόγον, quod excidisse videtur.

[6] Hanc lectionem e Bas. revocandam censuit R. dedique cum W. consentientibus Ald. Xyl. B. E. F. Venet. 1. Vulgo ἀπαυοίας.

δοκῦμεν ὅμοια λέγειν, καὶ ὐ κατὰ τὸν ἄνθρωπον, καὶ τὴν ἀνθρωπίνην Φύσιν. ἔςιν ὖν, ὅπως ἄν τις ἐξομολογήσαιτο σαΦέςερον τἀναντία λέγειν αὐτὸς πρὸς ἑαυτὸν, ἢ ὖτος [1]; ἃ δι' ὑπερβολήν Φησι πλάσματα δοκεῖν εἶναι καὶ ὑπὲρ τὸν ἄνθρωπον, καὶ ὑπὲρ τὴν ἀνθρωπίνην Φύσιν λέγεσθαι, ταῦτα συμΦωνεῖν τῷ βίῳ Φάσκων, καὶ μάλιςα τῶν ἐμΦύτων ἅπτεσθαι προλήψεων.

XVIII. Οὐσίαν κακοδαιμονίας ἀποΦαίνει τὴν κακίαν ἐν παντὶ βιβλίῳ Φυσικῷ καὶ ἠθικῷ, γράΦων καὶ διατεινόμενος, ὅτι τὸ κατὰ κακίαν ζῆν, τῷ κακοδαιμόνως ζῆν ταυτόν ἐςιν· ἐν δὲ τῷ τρίτῳ περὶ Φύσεως ὑπειπὼν, ὅτι λυσιτελεῖ ζῆν ἄΦρονα μᾶλλον, ἢ μὴ [2] βιῦν, κἂν μηδέποτε μέλλῃ Φρονήσειν, ἐπιλέγει· Τοιαῦτα γὰρ τἀγαθὰ ἐςὶ τοῖς ἀνθρώποις, ὥςε τρόπον τινὰ τὰ κακὰ τῶν ἀνὰ μέσον προτερεῖν. ὅτι μὲν ὖν εἰρηκὼς ἐν ἑτέροις, μηδὲν εἶναι τοῖς ἄΦροσι λυσιτελὲς, ἐνταῦθά Φησι λυσιτελεῖν τὸ ἀΦρόνως ζῆν, ἀΦίημι. τῶν δ' ἀνὰ μέσον λεγομένων παρ' αὐτοῖς [3] μήτε κακῶν ὄντων μήτ' ἀγαθῶν, τὰ κακὰ προτερεῖν λέγων, ὐδὲν ἄλλο λέγει, πλὴν τῶν μὴ κακῶν τὰ κακὰ προτερεῖν, καὶ τὸ κακοδαιμονεῖν λυσιτελέςερον εἶναι τῦ μὴ κακοδαιμονεῖν· καὶ τῦ κακοδαιμονεῖν ἀλυσιτελέςερον [4] ἡγεῖται τὸ μὴ κακοδαιμονεῖν· εἰ δ' ἀλυσιτελέςερον, καὶ βλαβερώτερον· τὸ μὴ κακοδαιμονεῖν ἄρα βλαβερώτερον τῦ κακοδαιμονεῖν [5]. βυλόμενος

1 Hanc vocem W. revocavit ex Ald. Baſ. Xyl. B. E. pro vulg. ὕτως, quod Steph. dedit ex Leonic. Schott. Anon.

2 Ita W. ſumſit e libr. de Commun. Notit. cap. XII. Vulgo & omnes βιῦν, except Graeco-lat. ἢ βιῦν. Hinc R. ſuſp. λυσιτελεῖ ζῆν ἄΦρονα μᾶλλον βίον, κἂν — ſubaud. ἢ μὴ ζῆν.

3 Ita R. dandum monuit, *apud eos*, ſc. Stoicos, & notatur e Pet. dedique cum W. pro vulg. παρὰ τοῖς.

4 Vulgo deſunt καὶ τῦ κακοδαιμονεῖν. Addidit ea W. ex E. Exhibetur quoque καὶ in B. Conjecit R. τῦ μὴ κακοδαιμονεῖν· ἀβλαβέςερον γάρ· ἀλυσιτελέςερον γὰρ ἡγεῖται.

5 Vulgo poſt καὶ βλαβερώτερον haec ſola leguntur τῦ κακοδαιμονεῖν. Locum explevit W. ex E.

νος ὖν ταύτην ἐπιλεαίνειν τὴν ἀτοπίαν, ἐπιλέγει περὶ τῶν Κακῶν· Ἔςι δ' ὖ ταῦτα προτερῦντα, ἀλλ' ὁ λόγος, μεθ' ὖ βιῦν ἐπιβάλλει μᾶλλον, καὶ εἰ ἄφρονες ἐσόμεθα. πρῶτον μὲν ὖν τὰ κακὰ κακίαν λέγει, καὶ τὰ μετέχοντα κακίας, ἄλλο δ' ὐθέν· ἡ δὲ κακία, λογικόν ἐςι, μᾶλλον δὲ λόγος ἡμαρτημένος· ὐδὲν ὖν ἕτερόν ἐςι τὸ μετὰ λόγυ βιῦν ἄφρονας ὄντας, ἢ τὸ μετὰ κακίας βιῦν· ἔπειτα τὸ βιῦν ἄφρονας ὄντας, βιῦν ἐςι κακοδαίμονας ὄντας. πρὸς τί ὖν προτερεῖ τῦτο τῶν ἀνὰ μέσον; ὐ γὰρ πρός γε τὸ εὐδαιμονεῖν φησι προτερεῖν τὸ κακοδαιμονεῖν [1]. ἀλλ' ὐδὲ ὅλως, φασὶν, οἴεται δεῖν Χρύσιππος, ὔτε μονὴν ἐν τῷ βίῳ τοῖς ἀγαθοῖς, ὔτ' ἐξαγωγὴν τοῖς κακοῖς παραμετρεῖν, ἀλλὰ τοῖς μέσοις κατὰ φύσιν· διὸ καὶ τοῖς εὐδαιμονῦσι γίνεται ποτὲ καθῆκον ἐξάγειν ἑαυτὺς, καὶ μένειν αὖθις ἐν τῷ ζῆν τοῖς κακοδαιμονῦσιν. εἶτα τί τύτυ μεῖζόν ἐςιν ὑπεναντίωμα πρὸς αἵρεσιν καὶ φυγὴν, εἰ τοῖς ἐπ' ἄκρον εὐδαιμονῦσιν ἀπυσίᾳ τῶν ἀδιαφόρων, ἀφίςαθαι [2] τῶν ἀγαθῶν παρόντων καθήκει; καίτοι [3] τῶν ἀδιαφόρων ὐθὲν αἱρετὸν, ὐδὲ φευκτὸν, ἀλλὰ μόνον ἀγαθὸν τὸ αἱρετὸν, καὶ μόνον φευκτὸν ἡγῦνται τὸ κακόν. ὥςε συμβαίνει [4] κατ' αὐτὺς μὴ πρὸς τὰ αἱρετὰ, μηδὲ πρὸς τὰ φευκτὰ τὺς τῶν πράξεων τίθεσθαι λογισμὺς, ἀλλ' ἑτέρων ςοχαζομένυς, ἃ μήτε φεύγυσι, μήτε αἱρῦνται, πρὸς ταῦτα καὶ ζῆν καὶ ἀποθνήσκειν.

XIX. Τἀγαθὰ πρὸς τὰ κακὰ τὴν πᾶσαν ἔχειν διαφορὰν ὁμολογεῖ Χρύσιππος· καὶ ἀναγκαῖόν ἐςιν, εἰ

1 Vulgo locus ita extat: ὐ γὰρ προσίετο εὐδαιμονεῖν φύσει προτερεῖν τῦ κακοδαιμονεῖν. W. e Mez. dedit πρός γε τὸ. E. πρός τι τὸ; Venet. 1. προσῆκε τὸ. Ex Ald. Bas Xyl. B. E. F. Venet. 1. 2. dedit φησι, & denique τὸ e Mez.

2 Vulgo ἀπυσίᾳ τῦ ἀδιαφόρως ἐπίςασθαι. R. praeeunte Xyl. vers. conjecit, quod W. ex iisd. et Mez. dedit.

3 Ita R. dari voluit, deditque W. ex B. Venet. 1. 2. Mez. Vulgo καὶ τὸ.

4 Ita W. sumsit ex Venet. 1. pro vulg. συμβαίνειν.

εἰ τὰ μὲν [1] ἐχάτως ποιεῖ κακοδαίμονας εὐθὺς, οἷς ἂν παρῇ, τὰ δ' ἐπ' ἄκρον εὐδαίμονας, αἰθητὰ δ' εἶναι ταγαθὰ καὶ τὰ κακὰ, φησὶν, ἐν τῷ προτέρῳ περὶ Τέλες, ταῦτα γράφων· Ὅτι μὲν γὰρ αἰθητά ἐςι τἀγαθὰ καὶ τὰ κακὰ, καὶ τετοις ἐκποιεῖ [2] λέγειν· ἐ γὰρ μόνον ὄντα [3] πάθη ἐςὶν αἰθητὰ σὺν τοῖς εἴδεσιν, οἷον λύπη καὶ φόβος, καὶ τὰ παραπλήσια, ἀλλὰ καὶ κλοπῆς καὶ μοιχείας καὶ τῶν ὁμοίων ἐςὶν αἰθέθαι· καὶ γὰρ ὅλον [4] ἀφροσύνης καὶ δειλίας καὶ ἄλλων ἐκ ὀλίγων κακιῶν· ἐδὲ μόνον χαρᾶς, καὶ εὐεργεσιῶν, καὶ ἄλλων πολλῶν κατορθωσεων [5], ἀλλὰ φρονήσεως καὶ ἀνδρείας, καὶ τῶν λοιπῶν ἀρετῶν. τέτων τὴν μὲν ἄλλην ἀτοπίαν ἀφῶμεν· ὅτι δὲ μάχεται τοῖς περὶ τὸν διαλεληθότα σοφὸν, τίς ἐκ ἂν ὁμολογήσειε; αἰθητῦ γὰρ ὄντος [6] τῦ ἀγαθῦ, καὶ μεγάλην πρὸς τὸ κακὸν διαφορὰν ἔχοντος, τὸν ἐκ φαύλε γινόμενον σπεδαῖον ἀγνοεῖν τῦτο, καὶ τῆς ἀρετῆς μὴ αἰθανεθαι παρέσης, ἀλλ' οἴεθαι, τὴν κακίαν αὐτῷ παρεῖναι, πῶς ἐκ ἔςιν ἀτοπώτατον; ἢ γὰρ ἐδεὶς ἀγνοεῖν ἢ ἀπιςεῖν δύναται τὰς ἀρετὰς ἔχων ἁπασας, ἢ μικρά τις ἐςὶν καὶ παντάπασι δυθεώρητος ἡ διαφορὰ τῆς ἀρετῆς πρὸς τὴν κακίαν,

1 Vulgo εἰ μὲν τὰ μὲν. Prius μὲν delevit W. cum Venet. 2. Pet. Xyl.

2 Vulgo εἰσποιεῖ. Hinc R. quaerit, idemne fit atque ἐκποιεῖ. *conducit ipsis affirmare.* Notatur hoc e Turn. V. Bong. deditque W. consentientibus B. E. F. Venet. 2. Anon. notans praeterea e Jannot. Coll. Muret. ἐμποιεῖ.

3 W. cum R. legi vult τὰ. A Petav. absunt quae leguntur post ὅτι μὲν γάρ αἰθητὰ usque ad σὺν τοῖς εἴδεσιν.

4 R. susp. καὶ καθόλε vel καθόλου, *universim.* Etiam W. καθόλε conjicit.

5 Ita in R. correctum legitur, quod W. ex B. Venet. 1. Mez. recepit pro vulg. κατορθώσεως. R. deinde legi voluit ἀλλὰ καὶ φρ.

6 Vulgo ὁμολογήσειεν, αἰσθητῦ παρόντος. R. sic distinguendum & legendum monuit, ut Xyl. vertit, & W. dedit ex iisd & Mez. ipsa re postulante.

κίαν, καὶ τῆς εὐδαιμονίας πρὸς τὴν κακοδαιμονίαν, καὶ τοῦ καλλίστου βίου πρὸς τὸν αἴσχιστον, εἴ ταῦτά τις ἀντ' ἐκείνων κτησάμενος ἑαυτὸν λέληθε.

XX. Μία σύνταξις ἡ περὶ Βίων, τέτταρα βιβλία· τούτων ἐν τῷ τετάρτῳ λέγει, τὸν σοφὸν ἀπράγμονά τε εἶναι καὶ ἰδιοπράγμονα [1], καὶ τὰ αὑτοῦ πράττειν· ἔστι δὲ ἡ λέξις αὕτη· Οἶμαι γὰρ ἔγωγε, τὸν φρόνιμον καὶ ἀπράγμονα εἶναι καὶ ὀλιγοπράγμονα, καὶ τὰ αὑτοῦ πράττειν, ὁμοίως [2] τῆς τε αὐτοπραγίας καὶ ὀλιγοπραγμοσύνης ἀστείων ὄντων. τὰ δὲ ὅμοια σχεδὸν ἐν τῷ περὶ Τῶν Δι' Αὑτὰ Αἱρετῶν εἴρηκε ταύταις ταῖς λέξεσι· Τῷ γὰρ ὄντι φαίνεται ὁ κατὰ τὴν ἡσυχίαν βίος ἀκίνδυνόν τι καὶ ἀσφαλὲς ἔχειν, οὐ πάνυ τῶν πολλῶν δυναμένων τοῦτο συνιδεῖν. ὅτι μὲν [3] τῷ Ἐπικούρῳ τὴν πρόνοιαν ἀναιροῦντι διὰ τῆς ἀπραγμοσύνης τῆς περὶ τὸν θεὸν οὐκ ἀπᾴδει [4], δῆλόν ἐστιν· ἀλλ' αὐτὸς ὁ Χρύσιππος ἐν τῷ πρώτῳ περὶ Βίων, βασιλείαν τε τὸν σοφὸν ἑκουσίως ἀνέχεσθαι [5], λέγει, χρηματιζόμενον ἀπ' αὐτῆς· κἂν αὐτὸς βασιλεύειν μὴ δύνηται, συμβιώσεται βασιλεῖ, καὶ στρατεύσεται μετὰ βασιλέως· οἷος ἦν Ὑδάνθυρσος [6] ὁ Σκύθης, ἢ Λεύκων ὁ Ποντικός. παραθήσομαι δὲ [7] καὶ ταύτην αὐτοῦ τὴν διάλεκτον,

1 R. legi vult ὀλιγοπράγμονα.

2 Vulgo ὁμοίως antecedentibus adhaeret, commate post ὁμοίως dato. Hinc W. legendum susp. & vertit ὅμως. In R. comma post πράττειν ponitur, & praeeunte Xyl. vers. ὁμοίως ad ἀστείων refertur.

3 Mez. ὅτι μὲν οὖν.

4 Sic W. ex Venet. 1. dedit pro vulg. ἀπῳδεῖ, quod idem correctionem esse suspicatur vetustioris lectionis ἀποδεῖ, quae est in Ald. B. E. F.

5 W. ex B. notat ἀναδέχεσθαι, ut jam vertit Xyl.

6 Vid. Apophth. Vol. VIII p. 88. not. 4. In libr. de *Commun. notit.* cap. VII. est Ἰνδάθυρσος. Ibidem *Leuconis*, Ponti reguli, fit mentio.

7 W. δὲ, quod vulgo abest, addidit ex Venet. 1.

λεκτον, ὅπως εἴδωμεν, εἰ [1], καθάπερ ἐκ νήτης καὶ ὑπάτης γίνεται σύμφωνον, ὅτως ὁμολογεῖ βίος ἀνδρὸς καὶ ἀπραγμοσύνην αἱρȣμένȣ καὶ ὀλιγοπραγμοσύνην, εἶτα συνιππαζομένȣ Σκύθαις, καὶ τὰ τῶν ἐν Βοσπόρῳ τυράννων πράττοντος ἐξ οἱασδήτινος ἀνάγκης. Ὅτι γὰρ, φησὶ, καὶ στρατεύσεται μετὰ δυναστῶν καὶ βιώσεται, πάλιν ἐπισκεψώμεθα τȣ́των ἐχόμενοι, τινῶν μὲν ȣ̓δὲ ταῦτα ὑπονοȣ́ντων, διὰ τȣ̀ς ὁμοίȣς ὑπολογισμȣ̀ς, ἡμῶν δὲ καὶ ταῦτα ἀπολιπόντων, δια τȣ̀ς παραπλησίȣς λόγȣς. καὶ μετὰ μικρόν· Οὐ μόνον δὲ μετὰ τῶν προκεκοφότων ἐπὶ ποσὸν, καὶ ἐν ἀγωγαῖς καὶ ἐν ἔθεσι ποιοῖς γεγονότων, οἷον παρὰ [2] Λεύκωνι καὶ Ὑδανθύρσῳ. Καλλισθένει τινὲς ἐγκαλȣ̃σιν, ὅτι πρὸς Ἀλέξανδρον ἔπλευσεν, ἐλπίζων ἀναστήσειν Ὄλυνθον, ὡς Στάγειρα Ἀριστοτέλης· Ἔφορον [3] δὲ καὶ Ξενοκράτην καὶ Μενέδημον ἐπαινȣ̃σι παραιτησαμένȣς τὸν Ἀλέξανδρον· ὁ δὲ Χρύσιππος ἕνεκα χρηματισμȣ̃ τὸν σοφὸν ἐπὶ κεφαλὴν ἐς Παντικάπαιον ὠθεῖ καὶ την Σκυθῶν ἐρημίαν· ὅτι γὰρ ἐργασίας [4] ἕνεκα καὶ χρηματισμȣ̃ ταῦτα ποιεῖ, καὶ [5] προδεδήλωκε τρεῖς, ὑποθέμενος, ἁρμόζοντας μάλιστα τῷ σοφῷ χρηματισμȣ̀ς, τὸν ἀπὸ βασι-

1 R. mavult ὅτι.

2 R. legi vult οἷον τῶν παρὰ Λ. Kaltw. mavult τῶν περὶ Λεύκωνα καὶ Ὑδάνθυρσον.

3 R. ad h. l. adnotat: „Videtur ex hoc loco posse colligi, Ephorum Cumanum pro patria apud Alexandrum deprecatum fuisse. Jonsius ex hoc ipso loco effecit S. H. P. I, 9. 2. Ephorum cum Alexandro vivere recusasse. Chalcedonem Xenocratis patriam ab eo servatam fuisse pariter hinc conficio. At de Menedemo dubito, suaene patriae, Megaris, ab Alexandro salutem impetrarit, an potius ab Antigono, seu primo, seu potius Gonnata, cui videtur aequalis fuisse.“ Kaltw. autem monente dictio παραιτ. τ. Ἀλ. hic loci non valet *deprecari apud Alexandrum pro patria*, sed, quod Xyl. exprimit, convictum recusare Alexandri.

4 Vulgo ὅτι παρεργασίας. R. conjecit, quod cum W. dedi.

5 R. mavult ποιεῖν δεῖ, προδ.

βασιλείας, καὶ τὸν ἀπὸ Φίλων, καὶ τρίτον ἐπὶ τέτοις τὸν ἀπὸ σοφιςείας. καίτοι πολλαχε μὲν ἀποκναίει ταῦτ' ἐπαινῶν.

'Επεὶ τί δεῖ βροτοῖσι, πλὴν δυοῖν μόνον [1]
Δήμητρος ἀκτῆς καὶ πόματος ὑδρηχόε;

ἐν δὲ τοῖς περὶ Φύσεως λέγει, τὸν σοφὸν, εἰ τὴν μεγίςην ἐσίαν ἀποβάλοι, δραχμὴν μίαν ἐκβεβληκέναι δόξειν. ἕτω δὲ αὐτὸν ἄρας ἐκεῖ καὶ ὀγκώσας, ἐνταῦθα πάλιν εἰς μισθαρνίαν καταβάλλει, καὶ σοφιςείαν· καὶ γὰρ αἰτήσειν, καὶ προλήψεσθαι, τὸ μὲν εὐθὺς ἀρχομένε, τὸ δὲ χρόνε τῷ μαθητῇ διελθοντος, ὅπερ εὐγνωμονέςερον εἶναί, φησιν, ἀσφαλέςερον δὲ τὸ προλαμβάνειν, ὡς αδικήματα τε τόπε ἐπιδεχομένε. λέγει δὲ ἕτως· Εἰσπράττονται δὲ τὸν μισθὸν ἐ πάντες οἱ νῦν ἔχοντες ὡσαύτως· ἀλλ' ἄλλως πλῆθος [2], ὡς ἂν ὁ καιρὸς φέρῃ, ἐκ ἐπαγγελλομένων ποιήσειν ἀγαθὲς, καὶ ταῦτ' ἐν ἐνιαυτῷ· ὅσα [3] δὲ πρὸς ἑαυτὲς, ταῦτα ποιήσειν πρὸς τὸν συμφωνηθέντα χρόνον. καὶ πάλιν προελθὼν· Τόν τε καιρὸν εἴσεται, πότερον εὐθὺς δεῖ τὸν μισθὸν λαμβάνειν ἅμα τῇ προσόδῳ, καθάπερ πλεῖςς πεποιήκασιν, ἢ καὶ χρόνον αὐτοῖς διδόναι, τε τόπε τέτε μᾶλλον [4] καὶ ἀδικήματα

1 Alterum, qui ſequitur, verſum W. ex B. addidit. Vulgo abeſt. Uterque jam adfuit in lib. de aud. poët. Vol. VII. p. 126 Ab Ald. & Bas. abeſt δεῖ.

2 Verba ἄλλως πλῆθος delenda cenſuit R. ut vitioſam ſcripturam ſequentium, ut ſit: ἀλλ' ὡς ἂν ὁ καιρὸς. Legi deinde vult Idem ἐπαγγελλόμενοι. W. ſuſp. transponendis & leniter mutandis verbis locum poſſe reſtitui — ἄλλοι δ' ἄλλως, ὡς ἂν ὁ καιρὸς φέρῃ, ἐκ ἐπαγγελλομένων, ὡς τὸ πλῆθος, ποιήσειν ἀ. — *ſed alius aliter, prout tempus dederit, non ut vulgus Sophiſtarum promittentium ſe diſcipulos bonos facturos, idque annuo ſpatio.* In E. abeſt πλῆθος, ejusque loco adeſt lacuna.

3 Vulgo ὅσον. Hinc R. legendum monuit aut ὅσα, aut deinde τέτο. Dedi prius, quod a W. ex E. notatur.

4 R. ſuſp. μᾶλλον βλάβας καὶ ἀδ.

ματα ἐπιδεχομένυ, δόξαντος δ' ἂν εἶναι εὐγνωμονεςέρυ. καὶ πῶς ἢ [1] χρημάτων καταφρονητὴς ὁ σοφὸς, ὑπὸ συγγραφὴν ἐπ' ἀργυρίῳ τὴν ἀρετὴν παραδιδὺς, κἂν μὴ παραδῷ, τὸ μισθάριον εἰσπράττων, ὡς πεποιηκὼς τὰ περὶ αὐτόν [2]; ἢ βλάβης κρείττων, φυλαττόμενος, μὴ ἀδικηθῇ περὶ τὸ μισθάριον; ἀδικεῖται γὰρ ὐδεὶς μὴ βλαπτόμενος· ὅθεν μὴ ἀδικεῖσθαι τὸν σοφὸν ἐν ἄλλοις ἀποφηνάμενος, ἐνταῦθα φησὶν ἀδίκημά τι [3] τὸν τόπον ἐπιδέχεσθαι.

XXI. Ἐν δὲ τῷ περὶ Πολιτείας, ὐδὲν ἡδονῆς ἕνεκα πράξειν, ὐδὲ παρασκευάσεσθαι, φησὶ, τὺς πολίτας. καὶ τὸν Εὐριπίδην ἐπαινεῖ ταῦτα προφερόμενος·

Ἐπεὶ τί δεῖ βροτοῖσι, πλὴν δυοῖν μόνον,
Δήμητρος ἀκτῆς καὶ πόματος ὑδρηχόυ [4];

εἶτα μικρὸν ἀπὸ τύτων προελθὼν, ἐπαινεῖ τὸν Διογένην τὸ αἰδοῖον ἀποτριβόμενον ἐν φανερῷ, καὶ λέγοντα πρὸς τὺς παρόντας· Εἴθε καὶ τὸν λιμὸν ὕτως ἀποτρίψασθαι τῆς γαςρὸς ἠδυνάμην. τίνα ὖν ἔχει λόγον ἐν τοῖς αὐτοῖς ἐπαινεῖν τὸν ἐκβάλλοντα τὴν ἡδονὴν, ἅμα καὶ τὸν ἡδονῆς ἕνεκα τοιαῦτα πράττοντα, καὶ τοιαύτης ἁπτόμενον αἰσχρυργίας; γράψας τοίνυν ἐν τοῖς περὶ Φύσεως, ὅτι [5] πολλὰ τῶν ζώων ἕνεκα κάλλυς ἡ φύσις ἐνήνοχε, φιλοκαλῦσα καὶ χαίρυσα τῇ ποικιλίᾳ, καὶ λόγον ἐπειπὼν παραλογώτατον, ὡς ὁ ταὼς ἕνεκα τῆς ὐρᾶς γέγονε, διὰ τὸ κάλλος αὐτῆς, ἐν τῷ περὶ Πολιτείας νεανικῶς ἐπιτετίμηκε τοῖς ταὼς τρέφυσι καὶ ἀηδόνας, ὥσπερ ἀντινομοθετῶν τῷ τῦ κόσμυ νομοθέτῃ, καὶ

1 B. καὶ πῶς εἴη. Venet. 1. a secunda manu: καὶ πῶς ἂν εἴη.

2 R. legi vult aut τὰ πρὸς αὐτὸν, ut paulo ante, aut τὰ παρ' αὐτὸν. Posterius quoque probat W.

3 W. susp. ἀδικήματα, ut modo, notans ex E. & F. ἀδικημάτια τὸν τόπον, ex B. & Venet. 1. ἀδίκημά τι ἄτοπον ἐ —.

4 Vulgo absunt καὶ πόματος ὑδρηχόυ. Addidit W. ex B. & Xyl. Etiam h. l. abest ab Ald. Bas. Pet. δεῖ.

5 Vulgo ὡς, ὅτι π. W. delevit ὡς ex B. & Mez.

καὶ τῆς φύσεως καταγελῶν φιλοκαλέσης περὶ τὰ τοιαῦτα τῶν ζώων, οἷς ὁ σοφὸς ἐν τῇ πόλει τόπον ἐ δίδωσι. πῶς γὰρ ἐκ ἄτοπον, ἐγκαλεῖν τοῖς τρέφεσιν ἃ γεννῶσαν ἐπαινεῖ [1] τὴν πρόνοιαν; ἐν μὲν ἔν τῷ πέμπτῳ περὶ Φύσεως, εἰπὼν, ὅτι οἱ κόρεις εὐχρήςως ἐξυπνίζεσιν ἡμᾶς, καὶ οἱ μύες ἐπιςρέφεσιν ἡμᾶς μὴ ἀμελῶς ἕκαςα τιθέναι, φιλοκαλεῖν δὲ τὴν φύσιν τῇ ποικιλίᾳ χαίρεσαν εἰκός ἐςι, ταῦτα κατὰ λέξιν εἴρηκε· Γένοιτο δ' ἂν μάλιςα τετε ἔμφασις ἐπὶ τῆς κέρκε τε ταώ· ἐνταῦθα γὰρ ἐπιφαίνει, τὸ ζῶον γεγονέναι ἕνεκα τῆς κέρκε, καὶ ἐκ ἀνάπαλιν, τῷ ἄῤῥενι γινομένῳ ἕτως, ἡ θηλυδὲν [2] ἠκολέθηκεν. ἐν δὲ τῷ περὶ Πολιτείας εἰπὼν, ὅτι ἐγγὺς ἐσμὲν τε καὶ τὰς κοπρῶνας ζωγραφεῖν, μετ' ὀλίγον, τὰ γεωργικὰ, φησι, καλλωπίζειν τινὰς ἀναδενδράσι καὶ μυῤῥίναις, καὶ ταὼς καὶ περιςερὰς τρέφεσι καὶ πέρδικας, ἵνα κακκαβίζωσιν αὐτοῖς, καὶ ἀηδόνας. ἡδέως δ' ἂν αὐτε πυθοίμην, τί φρονεῖ περὶ μελιττῶν καὶ μέλιτος· ἦν μὲν γὰρ ἀκόλεθον τῷ τὰς κόρεις εὐχρήςως, τὸ τὰς μελίττας ἀχρήςως φάναι γεγονέναι· εἰ δὲ ταύταις τόπον ἐν πόλει δίδωσι, διὰ τί τῶν πρὸς ἀκοὴν καὶ ὄψιν [3] ἐπιτερπῶν ἀπείργει τὰς πολίτας; καθόλε δὲ, ὥσπερ ὁ τὰς συνδείπνες

1 Vulgo τρέφεσιν ἀγεννῶς, ἃν ἐπαινῇ. Xyl. ita correxit, ut cum W. dedi probante Mez. E Petav. notatur ἀγεννῶς & ἐπαινεῖ. R. susp. τοῖς τρέφεσι ταὼς (vel ζῶα εὐγενῆ) ὃς ἂν ἐπαινῇ —.

2 Xyl. teste, locus vitiatus. R. susp. τῷ γὰρ ἄῤῥενι γενομένῳ ἕτως ἡ θήλεια ἐκ ἠκολέθηκεν, *nam ratione formae foemella pavo mari paria non facit.* Desiderat tamen vim & nexum ratiocinii. W. notat, nil esse varietatis in libris, nisi quod B. habeat ἡ θηλυγὲν, & forte locum ita refingendum esse conjicit, τῷ δ' ἄῤῥενι γινομένῳ ἕτως ἡ θήλεια γεν ἠκολέθηκεν, *caeterum masculo ita nato foemina tantum consequentiae causa addita est.*

3 Vulgo τέρψιν. R. legi voluit ὄψιν vel πρόσοψιν. Dedit prius W. ex E.

δείπνους [1] μεμφόμενος, ὅτι χρῶνται τραγήμασι καὶ οἴνῳ καὶ ὄψοις, τὸν δ' ἐπὶ ταῦτα κεκληκότα καὶ ταῦτα παρεσκευασμένον ἐπαινῶν, ἄτοπός ἐστιν· οὕτως ὁ τὴν μὲν πρόνοιαν ἐγκωμιάζων ἰχθῦς καὶ ὄρνιθας καὶ μέλι καὶ οἶνον παρασκευάσασαν, ἐγκαλῶν δὲ τοῖς μὴ παραπέμπουσι ταῦτα, μηδ' ἀρκουμένοις Δήμητρος ἀκτῇ, πόμασί τε ὑδρηχόοις, ἅπερ πάρεστι καὶ πέφυκεν ἡμᾶς τρέφειν, οὐθένα ποιεῖσθαι λόγον ἔοικε τοῦ τἀναντία λέγειν ἑαυτῷ.

XXII. Καὶ μὴν ἐν τῷ τῶν [2] Προτρεπτικῶν εἰπὼν, ὅτι καὶ τὸ μητράσιν ἢ θυγατράσιν ἢ ἀδελφαῖς συγγενέσθαι, καὶ τὸ φαγεῖν τι [3], καὶ προελθεῖν ἀπὸ λέχους ἢ θανάτου πρὸς ἱερὸν, ἀλόγως διαβέβληται· καὶ πρὸς [4] τὰ θηρία, φησὶ, δεῖν ἀποβλέπειν, καὶ τοῖς ὑπ' ἐκείνων γινομένοις τεκμαίρεσθαι τὸ μηδὲν ἄτοπον μηδὲ παρὰ φύσιν εἶναι τῶν τοιούτων· εὐκαίρως γὰρ πρὸς ταῦτα γίνεσθαι τὰς τῶν ἄλλων ζώων παραθέσεις [5], εἰς τὸ μήτε συγγινόμενα [6], μήτε γεννῶντα, μήτ' ἐναποθνήσκοντα [7] ἐν τοῖς ἱεροῖς μιαίνειν τὸ θεῖον. ἐν δὲ τῷ πέμπτῳ πάλιν περὶ Φύσεως λέγει, καλῶς μὲν ἀπαγορεύειν τὸν Ἡσίοδον [8], εἰς ποταμοὺς καὶ κρήνας οὐρεῖν· ἔτι δὲ μᾶλλον ἀφεκτέον [9] εἶναι τοῦ πρὸς βωμὸν

1 R. mavult post h. v. inseri μέν.

2 Excidisse numerum libri, monent Xyl. & W.

3 Deesse τῶν ἀπειρημένων, aut aliquid tale, Xyl. notat.

4 Ita W. dedit ex B. & Venet. 1. a secunda manu. Vulgo ἐπὶ pro καὶ πρὸς Ald. E. Venet. 1. a prima manu, καί.

5 W. notat, se haud scire, an Auctor scripserit ἀποθεωρήσεις, id quod infra in eodem Chrysippi loco memorando legi vult pro ἀποθηρίωσιν.

6 R. monente subaudiendum τοῖς τέκνοις, & deinde ἐκ τῶν μητέρων ad γεννῶντα.

7 Pet. μήτε ἀποθνήσκοντα.

8 Op. & d. v. 755.

9 Vulgo ἀνεκτέον. Hinc R. susp. οὐκ ἀνεκτέον, *multo magis tolerari non oportere*. W. dedit ἀφεκτέον ex E. & Petav. A Bas. abest praecedens δέ. Id inserendum monuit Xyl.

μὸν ἐρεῖν, ἢ ἀφίδρυμα Θεȣ̃· μὴ γὰρ εἶναι [1] πρὸς λόγον, εἰ κύνες καὶ ὄνοι τȣ̃το ποιȣ̃σι, καὶ παιδάρια νήπια, μηδεμίαν ἐπιστροφὴν μηδ' ἐπιλογισμὸν ἔχοντα περὶ τῶν τοιȣ́των. ἄτοπον μὲν ȣ̃ν τὸ ἐκεῖ μὲν εὔκαιρον εἰπεῖν τὴν τῶν ἀλόγων ζώων ἀποθηρίωσιν [2], ἐνταῦθα δ' ἀπόλογον [3].

XXIII. Τȣ̃ κατηναγκάσθαι δοκȣ̃ντος ὑπὸ τῶν ἔξωθεν αἰτιῶν ταῖς ὁρμαῖς ἀπόλυσιν πορίζειν, ἔνιοι τῶν φιλοσόφων ἐπελευστικήν τινα κίνησιν ἐν τῷ ἡγεμονικῷ κατασκευάζȣσιν, ἐπὶ τῶν παραλλακτῶν [4] μάλιστα γινομένην ἔκδηλον· ὅταν γὰρ δυοῖν ἴσον δυναμένων καὶ ὁμοίως ἐχόντων θάτερον ᾖ λαβεῖν ἀνάγκη, μηδεμιᾶς αἰτίας ἐπὶ θάτερον ἀγȣ́σης, τῷ μηδενὶ τȣ̃ ἑτέρȣ διαφέρειν, ἡ ἐπελευστικὴ δύναμις αὕτη τῆς ψυχῆς ἐπίκλισιν ἐξ αὐτῆς [5] λαβȣ̃σα διέκοψε τὴν ἀπορίαν. πρὸς τȣ́τȣς ὁ Χρύσιππος ἀντιλέγων, ὡς βιαζομένȣς τῷ ἀναιτίῳ [6] τὴν φύσιν, ἐν πολλοῖς παρατίθησι τὸν ἀστράγαλον καὶ τὸν ζυγὸν, καὶ πολλὰ τῶν μὴ δυναμένων ἄλλοτε ἄλλας λαμβάνειν [7] πτώσεις καὶ ῥοπὰς, ἄνευ τινὸς



1 Vulgo μὴ παρεῖναι. Hinc Xyl. legit καὶ μὴ παρεῖναι. R. pro παρεῖναι dari voluit γὰρ εἶναι. Id recepit W. dato fimul puncto poft Θεȣ̃, quod vulgo abeft.

2 W. legendum cenfet ἀποθεώρησιν. Vid. pag. antec. not. 5.

3 Vulgo haec cum fequentibus cohaerent. W. diftinxit novi principium capitis. Pro ἀπόλογον idem legi vult ȣ̓ πρὸς λόγον. Quidni ἄπο λόγȣ? R. conjecerat ἀπὸ pro ἀπόλογον, connectendo cum feqq. *iam vero cupiditatibus frenum laxare & veniam conciliare ex eo, quod videantur ab externis caufis coacta haec facere.*

4 R. & W. fufp. ἀπαραλλάκτων, *rebus inter fe non difcrepantibus.*

5 In fuppl. lect. var. Frft. exhibetur conjectura, qua legendum ἐπίκλησιν ἐξ αὐτῆς. Ita quoque e Petav. notatur. Eadem vox ἐπίκλησις in feqq. commendatur.

6 Ita R. dari voluit pro vulg. τῷ ἐναντίῳ, *ut ftatuendo effectu, qui caufa careat, naturae vim inferentes.* Dedit W. confentiente Mez.

7 Poft h. v. Pet. inferit καί.

νὸς αἰτίας καὶ διαφορᾶς ἢ περὶ αὐτὰ πάντως ἢ περὶ τὰ ἔξωθεν γινομένης· τὸ γὰρ ἀναίτιον ὅλως ἀνύπαρκτον εἶναι καὶ τὸ [1] αὐτόματον· ἐν δὲ ταῖς πλαττομέναις ὑπ' ἐνίων καὶ λεγομέναις ταύταις ἐπελεύσεσιν αἰτίας ἀδήλους ὑποτρέχειν [2], καὶ λανθάνειν ἡμᾶς ἐπὶ θάτερα τὴν ὁρμὴν ἀγούσας. ταῦτα μὲν οὖν ἐν τοῖς γνωριμωτάτοις ἐστὶ τῶν ὑπ' αὐτοῦ πολλάκις εἰρημένων. ἃ δὲ τούτοις πάλιν αὐτὸς ἐξ ἐναντίας εἴρηκεν, οὐχ ὁμοίως οὕτως ἐν μέσῳ κείμενα, δι' αὐτῶν παραθήσομαι τῶν ἐκείνου λέξεων. ἐν μὲν γὰρ τῷ περὶ τοῦ Δικάζειν ὑποθέμενος δύο δρομεῖς ὁμοῦ συνεκπίπτειν ἀλλήλοις, διαπορεῖ, τί τῷ βραβευτῇ καθήκει ποιῆσαι. Πότερον, φησὶν, ἔξεστι τὸν βραβευτὴν [3] τὸν φοίνικα, ὁποτέρῳ βούλεται, ἀποδοῦναι; κἂν τύχωσιν αὐτῷ [4] συνηθέστεροι ὄντες, ὡς ἂν ἐνταῦθα τῶν αὐτοῦ τι χαρισόμενον τρόπον τινὰ μᾶλλον, ὡς κοινοῦ τοῦ φοίνικος γεγονότος ἀμφοτέρων, οἱονεί τινος κλήρου γινομένου ἐνάλλως κατὰ τὴν ἐπίκλισιν, ὡς ἔτυχε δοῦναι αὐτόν· λέγω δὲ ἣν ἔτυχεν ἐπίκλισιν, οἵα γίνεται, ὅταν δυεῖν προκειμένων δραχμῶν ὁμοίων κατὰ τὰ λοιπὰ, ἐπὶ τὴν ἑτέραν ἐπικλίναντες λαμβάνωμεν αὐτήν. ἐν δὲ τῷ ἕκτῳ [5] περὶ Καθήκοντος, εἶναί τινα, φήσας, πράγματα μὴ πάνυ πολ-

1 R. susp. εἶναι, ἢ καὶ τὸ αὐτόμ. *quemadmodum etiam fortuitum nullum est.*

2 Petav. ὑπάρχειν.

3 Turn. V. Bong. τῷ βραβευτῇ.

4 Locum hunc salebrosum esse & vitiis librariorum inquinatum, R monet, W. ita corrigendum suspicatur: κατὰ τύχην, αὐτῶν μηδετέρου ὄντα. ὡς ἂν ἐνταῦθα τῶν αὐτοῦ τι χαρισόμενον τρόπον τινα; ἢ μᾶλλον, ὡς κοινοῦ τοῦ φοίνικος γεγονότος ἀμφοτέρων, οἱονεί τινος κλήρου γινομένου, τὴν ἄλλως κατὰ τὴν ἐπίκλισιν, δοῦναι αὐτόν; *utrum arbitro licet palmam dare utri voluerit, quippe quae casu neutrius facta sit, ut videatur jam de suo aliquid dare? an potius, tanquam palma utriusque sit communis, perinde atque in sortitione, fortuita animi inclinatione et prouti casus tulerit eam alterutri dabit?*

5 Turn. V. Bong. ἐν δὲ τῷ ἐνάτῳ.

πολλῆς ἄξια ὄντα πραγματείας, μηδὲ προσοχῆς, ἀφιέναι περὶ ταῦτα τῇ ὡς ἔτυχεν ἐπικλίσει τῆς διανοίας οἴεται δεῖν τὴν αἵρεσιν ἀποκληρώσαντας· Οἷον, φησὶν, ἡ τῶν [1] δοκιμαζόντων τάσδε τινὰς δραχμὰς δύο, ἐπὶ τοσόνδε, οἱ μὲν τήνδε, οἱ δὲ τήνδε φαῖεν εἶναι, καλὴν δὲ ἐδεμίαν αὐτῶν λαβεῖν [2]· τηνικαῦτα ἀφέντα [3] τὸ ἐπιπλεῖον ἐπιζητεῖν, ἣν ἔτυχε ληψόμεθα κατ' ἄλλον τινὰ [4], ἀποκληρώσαντες αὐτὰ ἔλεγε, καὶ ἔτι μάλιστα τὴν μοχθηρὰν ληψόμεθα αὐτῶν. ἐν τέτοις γὰρ ἀποκλήρωσις [5], καὶ τὸ ὡς ἔτυχεν ἐπικλῖνον τῆς διανοίας, ἄνευ πάσης αἰτίας εἰσάγει τὴν ἀδιαφόρων λῆψιν.



1 R. susp. οἷον, φησὶν, εἰ τραπεζιτῶν δοκιμαζόντων; W. pro ἡ τῶν legi mavult ἡμῶν.

2 R. susp φαῖεν εἶναι καλὴν καὶ δόκιμον, διαφέρειν δὲ ἐδεμίαν αὐτῶν λαβεῖν, e. c. *si foeneratores, probantes drachmas has duas, tantisper pronunciarent, esse quidem ambas probas et formosas, et utram earum sumas, nil differre.* W. susp. φαῖεν εἶναι καλὴν, δέοι δὲ μίαν αὐτῶν λαβεῖν. *Velut, cum duas drachmas exploramus certas ac definitas, quarum alterius optio, item explorationis certum tempus datur, et alius nobis hanc, alius illam ut pulchram commendet, oporteatque unam ex ambabus sumere.*

3 R. legendum monet ἀφέντες.

4 R. sic distingui & legi vult: ληψόμεθα· κατ' ἄλλον τινὰ τόπον ἀποκληρώσαντες, monens deinde post ἔλεγε quaedam deesse. W. susp. ἣν ἔτυχε ληψόμεθα, κατ' ἄδηλόν τινα ἀποκληρώσαντες αὐτὰς λόγον, καὶ εἴγε μάλιστα τὴν μοχθηρὰν ληψόμεθα αὐτῶν — *tunc vero, omissa ulteriore exploratione, sumemus eam, quam casus nobis obtulerit, incertae cuidam rationi sortitionem earum committentes, etsi vel maxime deteriorem sumturi simus.* Addit simul W. libros in vulgata consentire, nisi quod E pro αὐτὰ ἔλεγε habeat αὐτ λόγον, interjecta lacuna.

5 W. praeponi vult articulum ἡ ἀποκλ. Vulgo deinde καὶ ὡς ἔτυχεν ἐ. τ. διανοίας, τὸ ἄ. π. αἰ. εἰσ. τῶν διαφορῶν λῆψιν. Hinc R. legendum censuit καὶ τὸ ὡς ἔτυχεν ἐπ. τ. διανοίας, τὴν ἄ. π. αἰ εἰσ. τῶν ἀδιαφόρων λῆψιν. W. dedit τὸ ante ὡς ἔτ. ex Venet. 2. & delevit ante ἄνευ π. αἰ. Sumsit idem ex B. τὴν pro τῶν, & ἀδιαφόρων a Mez. & R.

XXIV. Ἐν τῷ τρίτῳ περὶ τῆς Διαλεκτικῆς ὑπειπὼν, ὅτι Πλάτων ἐσπȣ́δασε περὶ τὴν διαλεκτικὴν, καὶ Ἀρισοτέλης, καὶ ἀπὸ τȣ́των οἱ [1] ἄχρι Πολέμωνος καὶ Στράτωνος, μάλισα δὲ Σωκράτης· καὶ ἐπιφωνήσας, ὅτι καὶ συνεξαμαρτάνειν ἄν τις θελήσειε τȣ́τοις τοσȣ́τοις καὶ τοιȣ́τοις ȣ̓̑σιν, ἐπιφέρει κατὰ λέξιν· Εἰ μὲν γὰρ ἐκ παρέργȣ περὶ αὐτῶν εἰρήκεσαν, τάχ᾽ ἄν τις διέσυρε τὸν τόπον τȣ̃τον· ȣ̔́τω δ᾽ αὐτῶν ἐπιμελῶς εἰρηκότων ὡς ἐν ταῖς μεγίσαις δυνάμεσι καὶ ἀναγκαιοτάταις αὐτῆς ȣ̓́σης, ȣ̓ πιθανὸν ἐπὶ τοσȣ̃τον διαμαρτάνειν αὐτȣ̀ς ἐν τοῖς ὅλοις ὄντας, οἱȣ́ς ὑπονοȣ̃μεν. τί ȣ̓̑ν σὺ, φήσαι τις ἄν, αὐτὸς ἀνδράσι τοιȣ́τοις καὶ τοσȣ́τοις ȣ̓δέποτε παύσῃ μαχόμενος ȣ̓δ᾽ ἐλέγχων, ὡς νομίζεις [2], ἐν τοῖς κυριωτάτοις καὶ μεγίσοις διαμαρτάνοντας; ȣ̓ γὰρ δή πȣ περὶ μὲν [3] διαλεκτικῆς ἐσπȣδασμένως ἔγραψαν [4], περὶ δ᾽ ἀρχῆς καὶ τέλȣς καὶ θεῶν καὶ δικαιοσύνης, ἐκ παρέργȣ, καὶ παίζοντες, ἐν οἷς τυφλὸν αὐτῶν ἀποκαλεῖς τὸν λόγον, καὶ μαχόμενον αὐτῷ, καὶ μυρίας ἄλλας ἁμαρτίας ἔχοντα.

XXV. Τὴν ἐπιχαιρεκακίαν ὅπȣ μὲν ἀνύπαρκτον εἶναί, φησιν· ἐπεὶ τῶν μὲν ἀσείων [5] ȣ̓δεὶς ἐπ᾽ ἀλλοτρίοις κακοῖς χαίρει τοπαράπαν. ἐν δὲ τῷ δευτέρῳ περὶ Ἀγαθȣ̃, τὸν φθόνον ἐξηγησάμενος, ὅτι λύπη ἐσὶν ἐπ᾽ ἀλλοτρίοις ἀγαθοῖς, ὡς δήποτε βȣλομένων ταπεινȣ̃ν τȣ̀ς πλησίον, ὅπως ὑπερέχωσιν αὐτοὶ, συνάπτει τὴν ἐπιχαιρεκακίαν· Ταύτης δὲ συνεχὴς ἡ ἐπιχαιρεκακία γίνεται, ταπεινȣ̀ς βȣλομένων εἶναι τȣ̀ς πλησίον διὰ τὰς ὁμοίας αἰτίας,

1 abeſt οἱ vulgo. W. addidit e Mez.

2 Mez. corrigit ὡς νομίζων. W. ſententiam conſtituit poſito commate poſt νομίζεις, quod vulgo abeſt.

3 abeſt μὲν a Pet. Ald. Bas.

4 R. mavult ἔγραψαν ἄν.

5 Colligit R. e particula μὲν, deeſſe alterum membrum. τῶν δὲ φαύλων . . . non tamen ſe perſpicere fatetur, quale fuerit Chryſippi. W. ita ſuppleri vult quod excidit τ. μ. ἀ. ȣ̓. ἐ. ἀ. κ. χαίρει. τῶν δὲ φαύλων ȣ̓δεὶς χαίρει τοπαράπαν: quod item monuit Mez.

τίας, καθ' ἑτέρας δὲ φυσικὰς φορὰς ἐκτρεπομένων [1], ὁ ἔλεος γίνεται. δῆλος γάρ ἐςιν ἐνταῦθα τὴν ἐπιχαιρεκακίαν ὑπαρκτὴν, ὥσπερ τὸν [2] φθόνον καὶ τὸν ἔλεον, ἀπολιπὼν, ἣν ἐν ἑτέροις ἀνύπαρκτον εἶναί φησιν, ὥσπερ τὴν μισοπονηρίαν καὶ τὴν αἰσχροκέρδειαν.

XXVI. Ἐν πολλοῖς εἰρηκὼς, ὅτι παρὰ τὸν πλείονα χρόνον ὐδὲν μᾶλλον εὐδαιμονῦσιν, ἀλλ' ὁμοίως καὶ ἐπίσης τοῖς τὸν ἀμερῆ χρόνον εὐδαιμονίας μεταχῦσιν· ἐν πολλοῖς [3] πάλιν εἴρηκεν, ὡς ὐδὲ [4] τὸν δάκτυλον καθήκει προτεῖναι χάριν ἀμεριαίας φρονήσεως, καθάπερ ἀςραπῆς [5] διϊπταμένης. ἀρκέσει δὲ παραθεῖναι τὰ ἐν τῷ ἕκτῳ τῶν Ἠθικῶν Ζητημάτων ὑπ' αὐτῦ γεγραμμένα περὶ τύτων· ὑπειπὼν γὰρ, ὡς ὔτε πᾶν ἀγαθὸν ἐπίσης εἰς χαρὰν πίπτει, ὔτε πᾶν κατόρθωμα εἰς σεμνολογίαν, ἐπενήνοχε ταῦτα· Καὶ γὰρ, εἰ μόνον μέλλοι ἀμερῆ χρόνον ἢ τὸν ἔσχατον ἕξειν φρόνησιν, ὐδ' ἂν τὸν δάκτυλον καθήκει [6] ἐκτεῖναι ἕνεκα τῆς ὕτω παρεσομένης φρονήσεως, καίπερ [7] παρὰ τὸν πλείονα χρόνον ὐδὲν μᾶλλον εὐδαιμονύντων, ὐδὲ τῆς ἀϊδίυ εὐδαιμονίας αἱρετωτέρας γενομένης παρὰ τὴν ἀμεριαίαν. εἰ μὲν ὖν τὴν φρόνησιν ἡγεῖτο ποιητικὸν εἶναι τῆς εὐδαιμονίας τὸ [8] ἀγαθὸν, ὥσπερ ὁ Ἐπίκυρος, αὐτῆς

Aa 4 ἔδει

1 R. mavult ἐντρεπομένων, cum pudore & recogitatione similis nobiscum eorum naturae, incer aeque ad futurum nostrae sortis in nosmet vertimur, & nos affici sentimus.

2 W. addidit articulum τὸν, qui vulgo abest, e Mez.

3 Vulgo comma datur post ἐν πολλοῖς, ut junctim legatur cum praecedentibus. Id retrahendum monuit R. *multis aliis rursus in locis affirmat.*

4 Ald. Bas. Xyl. B. E. Petav. ὡς ὐδὲν. Steph. sumsit vulgatum ex Collat. Muret. Schott. Jannot. Suspicatur W. ὡς, ὐδ' ἂν, ut mox.

5 R. mavult καθάπερ ἀςραπὴ, scil. διίπταται.

6 B. E. Pet. καθῆκοι.

7 Quae sequuntur usque ad ἀμεριαίαν non videntur W. judice esse Chrysippi, sed Chrysippeis a Plutarcho adjecta.

8 R. deleri vult τὸ.

ἔδει μόνον τῆς ἀτοπίας καὶ παραδοξολογίας ἐπιλαμβάνεσθαι τοῦ δόγματος· ἐπεὶ δὲ ἡ Φρόνησις οὐχ ἑτέραν ἐστι τῆς εὐδαιμονίας καθ αὑτὸ [1], ἀλλ' εὐδαιμονία, πῶς οὐ μάχεται τὸ λέγειν, ἐπίσης μὲν αρετὴν [2] εἶναι τὴν ἀμεριαίαν εὐδαιμονίαν καὶ τὴν ἀΐδιον, μηδενὸς δ' ἀξίαν τὴν ἀμεριαίαν;

XXVII. Τὰς ἀρετάς, Φησιν, ἀντακολουθεῖν ἀλλήλαις, οὐ μόνον τῷ τὴν μίαν [3] ἔχοντα, πάσας ἔχειν, ἀλλὰ καὶ τῷ τὸν κατὰ μίαν ὁτιοῦν ἐνεργοῦντα, κατὰ πάσας ἐνεργεῖν· οὔτ' ἄνδρα, Φησὶ [4], τέλειον εἶναι τὸν μὴ πάσας ἔχοντα τὰς ἀρετὰς, οὔτε πρᾶξιν τελείαν, ἥτις οὐ κατὰ πάσας πράττεται τὰς ἀρετάς. ἀλλὰ μὴν ἐν τῷ ἕκτῳ τῶν Ἠθικῶν Ζητημάτων ὁ Χρύσιππος, οὐκ ἀεὶ, Φησὶν, ἀνδρίζεσθαι τὸν ἀστεῖον, οὐδὲ δειλαίνειν τὸν Φαῦλον, ὡς δέον ἐν [5] Φαντασίαις ἐπιΦερομένων τινῶν, τὸν μὲν ἐμμένειν τοῖς κρίμασι, τὸν δ' ἀΦίστασθαι. πιθανὸν δέ, Φησι, μηδ' ἀκολασταίνειν ἀεὶ τὸν Φαῦλον. εἴπερ οὖν τὸ ἀνδρίζεσθαι τοιοῦτόν ἐστιν οἷον ἀνδρείᾳ χρῆσθαι, καὶ τὸ δειλαίνειν οἷον δειλίᾳ χρῆσθαι, μαχόμενα λέγουσι, λέγοντες, κατὰ πάσας μὲν ἅμα τὰς ἀρετὰς καὶ τὰς κακίας ἐνεργεῖν τὸν ἔχοντα, μὴ ἀεὶ δὲ τὸν ἀστεῖον [6] ἀνδρίζεσθαι, μηδὲ δειλαίνειν τὸν Φαῦλον.

XXVIII. Τὴν ῥητορικὴν ὁρίζεται τέχνην, περὶ κόσμου καὶ εἰρημένου λόγου τάξιν [7]. ἔτι δ' ἐν τῷ πρώτῳ

1 Mez. & R. legi malunt κατ' αὐτὸν, *iuxta Chrysippum.*

2 Amiot. Mez. ἐπίσης μὲν αἱρετὴν.

3 Mez. τῷ τὸν μίαν.

4 In omnibus edd. legitur Φασὶ. W. dedit Φησὶ, consentiente Xyl. versione.

5 R. ἐν delendum censet, aut cum ταῖς mutandum. W. autem legi mavult ὡς δὲ ἐν.

6 Ita dedi cum W. e Turn. V. Bong. consentientibus Leonic. Schott. Collat. Muret. Anon. pro vulg. ἀνδρεῖον.

7 Xyl. legit περὶ κόσμον. R. susp. περὶ κόσμου καὶ εἱρμοῦ τοῦ λόγου, vel περὶ κόσμον καὶ εἱρμὸν τοῦ λόγου, deleto τάξιν (quod ei-

τῳ ταῦτα γέγραφεν· Οὐ μόνον δὲ τῦ ἐλευθερίυ καὶ ἀφελῦς κόσμυ δεῖν οἴομαι ἐπιςρέφεσθαι κἀπὶ τῶν λόγων, ῷ [1], καὶ τῶν οἰκείων ὑποκρίσεων κατὰ τὰς ἐπιβαλλέσας τάσεις [2] τῆς φωνῆς, καὶ σχηματισμὺς τῦ τε προσώπυ καὶ τῶν χειρῶν. ὕτω δέ τις φιλότιμος ἐνταῦθα καὶ περιττὸς [3] γενόμενος, πάλιν ἐν τῷ αὐτῷ βιβλίῳ περὶ τῆς τῶν φωνηέντων συγκρέσεως ὑπειπών· Οὐ μόνον, φησὶ, ταῦτα παρετέον τῦ βελτίονος ἐχομένυς, ἀλλὰ καὶ ποιὰς ἀσαφείας καὶ ἐλλείψεις, καὶ, νὴ Δία, σολοικισμὺς, ἐφ' οἷς ἄλλοι ἂν αἰσχυνθείησαν ὐκ ὀλίγοι. τὸ δὴ ποτὲ μὲν ἄχρι χειρῶν καὶ ςόματος εὐπρεπείας ἐπιχωρεῖν τοῖς λέγυσιν ἐν κόσμῳ τὸν λόγον διατίθεσθαι· ποτὲ δὲ μήτ' ἐλλείψεων ἐπιςρέφεσθαι καὶ ἀσαφειῶν, μήτε σολοικίζοντας αἰσχύνεσθαι, τελέως, ὅ τι ἂν ἐπέλθῃ [4], λέγοντός ἐςιν.

XXIX. Ἐν δὲ ταῖς Φυσικαῖς Θέσεσι περὶ τῶν

 ἐμπει-

eidem scholium vocabuli εἱρμὸν esse videtur) & subaud. ςρεφομένων, *oratoriam esse artem, quae versetur circa ornatum & ordinationem*, s. dispositionem *sermonis*. W. legendum censet περὶ κόσμον εἱρομένυ λόγυ καὶ τάξιν; Mez. περὶ κοσμίυ καὶ εἱρομένυ λόγυ τάξιν. In E. est vulgata duabus literis εἰ vocis εἰρημένυ omissis.

1 Vitiosum esse ῷ, sensumque requirere ἀλλὰ, Xyl. monet. Idem ἀλλὰ legi vult R. Etiam W. susp. ἀλλὰ, & simul pro κἀπὶ mavult ἐπί.

2 Ita R. legendum monuit pro vulg. ςάσεις, deditque W. ex B.

3 Ald. Bas. περιττὸν, quod Xyl. corrigendum monuit. Turn. V. Bong. περὶ τῶν λόγων.

4 Ald. Bas. Xyl E. F. Venet. 1. 2. εἴπῃ. Quod si recte habeat, Xyl. ὅ τι ἂν εἴπῃ λέγειν valere monet *inconsiderate loqui*, quidquid in buccam venerit, nulla repugnantiae aut constantiae habita ratione. Maleit tamen idem ἐπέλθῃ pro εἴπῃ. Steph hoc dedit. Monet autem R. ex εἴπῃ effici debuisse ἐπίῃ. Hoc ipsum omnes libros suadere, notat W. In B. est εἴποι, superscripto τύχοι.

ἐμπειρίας καὶ ἱστορίας [1] δεομένων διακελευσάμενος τὴν ἡσυχίαν ἔχειν [2], ἂν μή τι κρεῖττον καὶ ἐναργέστερον ἔχωμεν λέγειν, ἵνα, Φησί· Μήτε Πλάτωνι παραπλησίως ὑπονοήσωμεν, τὴν μὲν ὑγρὰν τροφὴν εἰς τὸν πνεύμονα Φέρεσθαι, τὴν δὲ ξηρὰν εἰς τὴν κοιλίαν, μήτε ἕτερα παραπλήσια γεγονότα τούτοις διαπτώματα. δοκῶ δὴ τὸ ἐγκαλεῖν ἑτέροις, εἶτα περιπίπτειν αὐτὸν, οἷς ἐγκαλεῖ, καὶ μὴ Φυλάττεσθαι, τῶν ἐναντιωμάτων μέγιστον εἶναι, καὶ τῶν διαπτωμάτων αἴσχιστον. ἀλλὰ μὴν αὐτὸς τὰς διὰ δέκα ἀξιωμάτων συμπλοκὰς πλήθει, Φησὶν, ὑπερβάλλειν ἑκατὸν μυριάδας, οὔτε δι' αὐτοῦ ζητήσας ἐπιμελῶς, οὔτε διὰ τῶν ἐμπείρων τὸ ἀληθὲς ἱστορήσας. καίτοι Πλάτων μὲν ἔχει τῶν ἰατρῶν τοὺς ἐνδοξοτάτους μαρτυροῦντας, Ἱπποκράτην, Φιλιστίωνα, Διώξιππον τὸν Ἱπποκράτειον· καὶ τῶν ποιητῶν Εὐριπίδην, Ἀλκαῖον, Εὔπολιν, Ἐρατοσθένην, λέγοντας, ὅτι τὸ ποτὸν διὰ τοῦ πνεύμονος διέξεισι. Χρύσιππον δὲ πάντες ἐλέγχουσιν οἱ ἀριθμητικοί· ὧν καὶ Ἵππαρχός ἐστιν, ἀποδεικνύων τὸ διάπτωμα τοῦ λογισμοῦ παμμέγεθες αὐτῷ γεγονος [3]. εἴγε τὸ μὲν καταφατικὸν ποιεῖ συμπεπλεγμένων ἀξιωμάτων μυριάδας δέκα, καὶ πρὸς ταύταις, τρισχίλια τεσσαρακονταεννέα, τὸ δ' ἀποφατικὸν, ἐνακόσια πεντηκονταδύο, πρὸς τριάκοντα καὶ μιᾷ μυριάσι.

XXX. Τῶν πρεσβυτέρων τινὲς, ἃ τῷ τὸν ὀξίνην ἔχοντι συνέβαινε, μήτε ὡς ὄξος ἀποδόσθαι δυναμένῳ, μήτε

1 id est, R. docente, πεύσεως, in iis rebus, quas aut uſu ſuo docendus quisque eſt, aut, ut ab aliis percunctando diſcat, neceſſe habet.

2 Quae ſequuntur ἂν μή τι — λέγειν, ἵνα, vulgo deſiderata, addidit W. ex B. E. Venet. 1. Monet R. τὴν ἡσυχίαν ἔχειν idem eſſe atque ἐπέχειν, *judicium ſuſpendere, neque conjecturis uti, id quod Plato fecit tum, quum aſſereret, alimenta* —.

3 Ita R. dandum monuit, dedique W. ex B. & Mez. pro vulg. γεγονότος.

μήτε ὡς οἶνον, ἔφασαν τῷ Ζήνωνι συμβαίνειν· τὸ γὰρ προηγμένον αὐτῷ, μήτε ὡς ἀγαθὸν, μήτε ὡς διάφορον [1] ἔχειν διάθεσιν [2]. ἀλλ' ὁ Χρύσιππος ἔτι μᾶλλον τὸ πρᾶγμα δυσδιάθετον [3] πεποίηκεν· ὁτὲ μὲν γάρ φησι, μαίνεσθαι τὰς τὸν πλῦτον καὶ τὴν ὑγίειαν, καὶ τὴν ἀπονίαν [4], καὶ τὴν ὁλοκληρίαν τῦ σώματος ἐν μηδενὶ [5] ποιῦμένας, μηδ' ἀντεχομένας τῶν τοιύτων, ὁτὲ δὲ [6] παραθέμενος τὰ τῦ Ἡσιόδυ [7]·

Ἐργάζευ, Πέρση, δῖον γένος·

ἐπιπεφώνηκεν, ὅτι τἀναντία παραινεῖν, μανικόν ἐςι, τὸ

Μὴ ἐργάζυ, Πέρση, δῖον γένος.

καὶ τὸν μὲν σοφὸν, ἐν τοῖς περὶ Βίων, καὶ βασιλεῦσι συνέσεσθαι, φησὶν, ἕνεκα χρηματισμῦ, καὶ σοφιςεύσειν ἐπ' αργυρίῳ, παρ' ὧν μὲν προλαμβάνοντα, πρὸς ὓς δὲ συντιθέμενον τῶν μαθητῶν. ἐν δὲ τῷ ἑβδόμῳ τῦ Καθήκοντος, καὶ κυβιςήσειν τρὶς, ἐπὶ τύτῳ [8] λαβόντα τάλαντον. ἐν δὲ τῷ πρώτῳ περὶ Ἀγαθῶν τρόπον τινὰ συγχωρεῖ καὶ δίδωσι τοῖς βυλομένοις τὰ προηγμένα καλεῖν ἀγαθὰ, καὶ κακὰ τἀναντία, ταύταις ταῖς λέξεσιν· Εἴ τις [9] βύλεται κατὰ τὰς τοιαύτας παραλλαγὰς, τὸ μὲν

1 Mez. & Salmas. corrigunt ἀδιάφορον; quod probat W.

2 ἔχειν διάθεσιν eſt, R. docente, *diſtrahi*, *venditari nequire neque pro bono*, *neque pro eiusmodi re*, *quam ſic*, *vel ali er*, *eſſe interſit*.

3 *multo diffi ilius vendibilem*, quae minus queat diſcentibus tradi & commendari.

4 Frſt. & R. ἀπόνοιαν, quod R. in ἀπονίαν mutandum monuit.

5 Vulgo abeſt ἐν. Addi voluit R. deditque W. ex B. E. Venet. 1. Xyl.

6 Vulgo καὶ παραθέμ. W. dedit ὁτὲ δὲ ex B.

7 Op. & d. v. 297.

8 Sic R. dari voluit pro vulg. ἐπὶ τῦτο, deditque W. ex Venet 1. & Mez.

9 W. legendum cenſet: Ἔξεςιν, εἴ τις: primo vocabulo per ſimilitudinem antecedentis vocis omiſſo.

μὲν ἀγαθὸν αὐτῶν [1] λέγειν, τὸ δὲ κακὸν, ἐπὶ ταῦτα [2] φερόμενος τὰ πράγματα, καὶ μὴ ἄλλως ἀποπλανώμενος, ἐν μὲν τοῖς σημαινομένοις ȣ̓ διαπίπτοντος [3] αὐτȣ̃, τὰ δ' ἄλλα ςοχαζομένȣ τῆς κατὰ τὰς ὀνομασίας συνηθείας, ȣ̃τω δὲ τὸ προηγμένον τῶ ἀγαθῷ συναγαγὼν ἐγγὺς ἐνταῦθα καὶ συμμίξας, ἐν ἑτέροις παλιν ȣ̓δὲν εἶναί, φησι, τȣ́των καθόλȣ πρὸς ἡμᾶς, ἀλλ' ἀποσπᾷν τὸν λόγον ἡμᾶς καὶ ἀποςρέφειν ἁπάντων τῶν τοιȣ́των· ταῦτα γὰρ ἐν τῷ πρώτῳ περὶ τȣ̃ Προτρέπεσθαι γέγραφεν. ἐν δὲ τῷ τρίτῳ περὶ Φύσεως μακαρίζεσθαί, φησιν, ἐνίȣς βασιλεύοντας καὶ πλȣτȣ̃ντας, ὅμοιον εἰ χρυσαῖς ἀμίσι χρώμενοι καὶ χρυσοῖς κρασπέδοις ἐμακαρίζοντο· τῷ δ' ἀγαθῷ τὸ τὴν ȣ̓σίαν ἀποβαλεῖν οἱονεὶ δραχμὴν ἀποβαλεῖν [4], καὶ τὸ νοσῆσαι [5] οἷον προσκόψαι. διὸ τῶν ἐναντιωμάτων τȣ́των ȣ̓ μόνον τὴν ἀρετὴν ἀλλὰ καὶ τὴν πρόνοιαν ἀναπέπληκεν. ἡ μὲν γὰρ ἀρετὴ μικρολόγος ἐσχάτως φαίνεται καὶ ἀνόητος περὶ ταῦτα πραγματευομένη, καὶ τȣ́των ἕνεκα πλεῖν εἰς Βόσπορον [6] κελεύȣσα καὶ κυβιςᾷν τὸν σοφόν. ὁ δὲ Ζεὺς γελοῖος, εἰ Κτήσιος χαίρει καὶ Ἐπικάρπιος καὶ Χαριδότης προσαγορευόμενος, ὅτι δηλαδὴ χρυσᾶς ἀμίδας καὶ χρυσᾶ κράσπεδα χαρίζεται τοῖς φαύ-

1 Ita W. dedit ex B. & Venet. 1. Vulgo αὐτῷ. Cum in Ald. & Bas. deinde sic legatur τὸ δὲ κακόν· τὸ δὲ κακὸν ἐπὶ ταῦτα φερόμενος; R. inde sic efficit: τὸ μὲν ἀγαθὸν αὐτῷ λέγειν ἀγαθὸν, τὸ δὲ κακὸν αὐτῷ, κακὸν, ἐπ' αὐτὰ φερόμενος.

2 W. legendum censet ἐπί γ' αὐτὰ — *Licet, si quis hac vocum permutatione uti volet, aliud eorum Bonum dicere, aliud Malum; dum modo ad res ipsas se adstringat, nec temere ab iis evagetur, in reliquis autem dicendi consuetudinem sequatur.*

3 Hoc, nec non sequens ἄλλα dedit W. ex B & Venet 1. a sec man. Vulgo διαπίπτοντα & ἄλλως. R. susp. ἀποπλανώμενος φαίνεται, ἐ. μ. τ. σημ. ȣ̓ διαπίπτωτος αὐτȣ̃, τὰ δ' ἄλλα κακῶς ςοχαζομένȣ.

4 Salmas. ἐκβαλεῖν.

5 Ald Bas Petav. νοῆσαι. Xyl. correxit.

6 ad Leuconem puta, quem Chrysippus mirifice laudabat. R.

φαύλοις, τοῖς δ' ἀγαθοῖς ἄξια δραχμῆς, ὅταν πλούσιοι γένωνται κατὰ τὴν τοῦ Διὸς πρόνοιαν· ἔτι δὲ γελοιότερος ὁ Ἀπόλλων, εἰ περὶ χρυσῶν κρασπέδων καὶ λαμίδων κάθηται θεμιστεύων, καὶ περὶ προσκομμάτων ἀπολύσεως.

XXXI. Ἔτι δὲ μᾶλλον τῇ ἀποδείξει τὸ ἐναντίωμα ποιοῦσι φανερώτερον. ᾧ γάρ ἐστιν εὖ χρήσασθαι καὶ κακῶς, τοῦτό φασι μήτ' ἀγαθὸν εἶναι, μήτε κακόν. πλούτῳ δὲ καὶ ὑγιείᾳ καὶ ῥώμῃ σώματος κακῶς χρῶνται πάντες οἱ ἀνόητοι· διόπερ οὐδέν ἐστι τούτων ἀγαθόν. εἴπερ οὖν ὁ θεὸς ἀρετὴν μὲν οὐ δίδωσιν ἀνθρώποις, ἀλλὰ τὸ καλὸν αὐθαίρετόν ἐστι, πλοῦτον δὲ καὶ ὑγίειαν χωρὶς ἀρετῆς δίδωσιν, οὐκ εὖ χρησομένοις δίδωσιν, ἀλλὰ κακῶς, τουτέστι βλαβερῶς καὶ αἰσχρῶς καὶ ὀλεθρίως. καίτοι εἰ μὲν δύνανται τὴν ἀρετὴν παρέχειν οἱ θεοὶ, οὐκ εἰσὶ χρηστοὶ, μὴ παρέχοντες· εἰ δὲ μὴ δύνανται ποιεῖν ἀγαθοὺς, οὐδ' ὠφελεῖν δύνανται, μηδενός γε [1] τῶν ἄλλων ὄντος ἀγαθοῦ, μηδ' ὠφελίμου. τὸ δὲ τοὺς ἄλλως [2] γενομένους ἀγαθοὺς κρίνειν κατ' ἀρετὴν ἢ ἰσχὺν, οὐδέν ἐστι· καὶ γὰρ τοὺς θεοὺς οἱ ἀγαθοὶ κρίνουσι κατ' ἀρετὴν καὶ ἰσχύν· ὥστε μηδὲν μᾶλλον ὠφελεῖν ἢ ὠφελεῖσθαι τοὺς θεοὺς [3] ὑπὸ τῶν ἀνθρώπων. καὶ μὴν οὔτ' αὑτὸν ὁ Χρύσιππος ἀποφαίνει σπουδαῖον, οὔτε τινὰ τῶν αὑτοῦ γνωρίμων ἢ καθηγεμόνων. τί οὖν περὶ τῶν ἄλλων

1 Ita, R. monente, dedi cum W. pro vulg. *μηδενός τε.*

2 Vulgo ex Steph. sic legitur: *τὸ δὲ τοὺς θεοὺς ἄλλως γενομένους ἀγαθοὺς κρίνειν κατ' ἀρετὴν* (Frf. & R. *ἀρχὴν*) *ἢ ἰσχὺν, οὐδέν ἐστι· καὶ γὰρ τοὺς κακοὺς οἱ ἀγαθοὶ κρίνουσι κατ' ἀρετὴν καὶ ἰσχύν.* Quaedam W. in melius mutavit ex libris, primum *θεοὺς* delendo cum Ald. Baf. Xyl. B. E. F. Pet. porro *κακοὺς* mutando in *θεοὺς* cum B. E. F. Pet. Schott. Jannot. Collat. Muret. Mez. reliqua non ausus ex conjectura, quamvis certa, mutare, cum in principio exciderint nonnulla ita supplenda: *τὸ δὲ τοὺς ἄλλως γενομένους ἀγαθοὺς, ὑπὸ θεῶν ὠφελῆσθαι, ἢ ἄλλως τοὺς ἀγαθοὺς κρίνειν ἢ κατ' ἀρετὴν ἢ ἰσχὺν, οὐδέν ἐστι.*

3 Sic W. dedit ex B. F. Schott. Collat. Mur. pro vulg. *αὐτοὺς.*

ἄλλαν Φρονᾶσιν, ἢ ταῦτα [1], ἅπερ λέγεσι; μαίνεσθαι πάντας, ἀΦραίνειν, ἀνοσίες εἶναι, παρανόμες, ἐπ' ἄκρον ἥκειν δυστυχίας, κακοδαιμονίας ἁπάσης· εἶτα προνοίᾳ θεῶν διοικεῖσθαι τὰ καθ' ἡμᾶς ἕτως ἀθλίως πράττοντας; εἰ γᾶν οἱ θεοὶ μεταβαλλόμενοι βλάπτειν ἐθέλοιεν ἡμᾶς καὶ κακᾶν, καὶ διαςρέΦειν καὶ προσεπιτρίβειν, ἂκ ἂν δύναιντο διαθεῖναι χεῖρον ἢ νῦν ἔχομεν, ὡς Χρύσιππος ἀποΦαίνει, μήτε κακίας ὑπερβολὴν ἀπολείπειν, μήτε κακοδαιμονίας τὸν βίον· ὥς', εἰ λάβοι Φωνὴν, εἰπεῖν ἂν αυτὸν τὰ τᾶ Ἡρακλέες·

Γέμω κακῶν δὴ, καὶ ἂκ ἔθ' ὅπε [2] τεθῇ.

τίνας ἂν ἄν τις εὕροι μαχομένας μᾶλλον ἀλλήλαις ἀποΦάσεις τῆς περὶ θεῶν Χρυσίππε, καὶ τῆς περὶ ἀνθρώπων; τὰς μὲν, ὡς ἔνι βέλτισα προνοεῖν, τὰς δὲ ὡς ἔνι χείρισα πράττειν λέγοντος.

XXXII. Ἐγκαλᾶσιν αὐτῷ τινὲς τῶν Πυθαγορικῶν ἐν τοῖς περὶ Δικαιοσύνης γράΦοντι περὶ τῶν ἀλεκτρυόνων, ὅτι χρησίμως γεγόνασι· ἐπεγείρεσι γὰρ ἡμᾶς, καὶ τὰς σκορπίες ἐκλέγεσι, καὶ κατὰ τὰς μάχας ἐπιςρέΦεσι, ζῆλόν τινα πρὸς ἀλκὴν ἐμποιᾶντες· ὅμως δὲ δεῖ κατεσθίειν καὶ τέτες, ἵνα μὴ τὴν χρείαν ὑπερβάλῃ τὸ πλῆθος τῶν νεοττῶν. ὁ δὲ ἕτω καταγελᾷ τῶν ἐπὶ τέτοις ἐγκαλᾶντων, ὥςε περὶ τᾶ Διὸς, τᾶ σωτῆρος καὶ γενέτορος καὶ πατρὸς δίκης καὶ εὐνομίας καὶ εἰρήνης, ταῦτα γράΦειν ἐν τῷ τρίτῳ περὶ Θεῶν. Ὡς δὲ αἱ πόλεις πλεονάσασαι εἰς ἀποικίας ἀπαίρεσι [3] τὰ πλήθη, καὶ πολέμες ἐνίςανται πρός τινας, ἕτως ὁ θεὸς Φθορας ἀρχὰς δίδωσι· καὶ τὸν Εὐριπίδην μάρτυρα καὶ τὰς ἄλλες προσάγεται, τὰς λέγοντας, ὡς ὁ Τρωϊκὸς πόλεμος ὑπὸ τῶν θεῶν ἀπαντλήσεως ἕνεκα τᾶ πλήθες τῶν ἀνθρώπων

1 R. mavult Φρονᾶσιν, εἰ ἀληθῆ ταῦτα, ἅπερ λ. *si vera sunt, quae crepant.*

2 W. cum R. legendum κ' ἀκέτ' ἔσθ' censent — ex aucto re Euripide Herc. Fur. 1248.

3 W. forte rectius esse monet ἀπαρύτεσι.

πων γένοιτο. τούτων δὲ τὰς μὲν ἄλλας ἀτοπίας ἄφες· οὐ γὰρ εἴ τι μὴ καλῶς, ἀλλ' ὅσα [1] πρὸς ἑαυτοὺς διαφόρως λέγουσιν, ἐξετάσαι μόνον πρόκειται· σκόπει δὲ, ὅτι τῷ θεῷ καλὰς μὲν ἐπικλήσεις καὶ φιλανθρώπους ἀεὶ, ἄγρια δ' ἔργα καὶ βάρβαρα καὶ Γαλατικὰ προστίθησιν. οὐ γὰρ ἀποικίαις ἐοίκασιν αἱ τοσαῦται φθοραὶ καὶ πανωλεθρίαι τῶν ἀνθρώπων, οἵας ὁ Τρωϊκὸς εἰργάσατο πόλεμος, καὶ πάλιν ὁ Μηδικὸς καὶ Πελοποννησιακὸς, εἰ μή τινας ἐν ᾅδου καὶ ὑπὸ γῆς ἴσασιν οὗτοι κτιζομένας πόλεις· ἀλλὰ τῷ Γαλάτῃ Δηϊοτάρῳ ποιεῖ Χρύσιππος ὅμοιον τὸν θεόν· ὃς, πλειόνων αὐτῷ παίδων γεγονότων, ἑνὶ βουλόμενος τὴν ἀρχὴν ἀπολιπεῖν καὶ τὸν οἶκον, ἅπαντας ἐκείνους ἀπέσφαξεν, ὥσπερ ἀμπέλου βλαστοὺς ἀποτεμὼν καὶ κολούσας, ἵνα εἷς ὁ λειφθεὶς ἰσχυρὸς γένηται καὶ μέγας. καίτοι γε ὁ μὲν ἀμπελουργὸς, ἔτι μικρῶν ὄντων καὶ ἀσθενῶν τοῦτο ποιεῖ τῶν κλημάτων, καὶ ἡμεῖς νεογνῶν καὶ τυφλῶν ὄντων τῶν σκυλακίων ὑφαιροῦμεν τὰ πολλὰ φειδόμενοι τῆς κυνός· ὁ δὲ Ζεὺς, οὐ μόνον ἐάσας καὶ περιϊδὼν ἐν ἡλικίᾳ γενομένους, ἀλλὰ καὶ φύσας αὐτὸς καὶ αὐξήσας, ἀποτυμπανίζει, φθορᾶς καὶ ὀλέθρου μηχανώμενος προφάσεις· δέον αἰτίας καὶ ἀρχὰς γενέσεως μὴ παρασχεῖν.

XXXIII. Τοῦτο μὲν οὖν ἔλαττόν ἐστι, κἀκεῖνο δὲ [2] μεῖζον· οὐδεὶς γὰρ φύεται ἀνθρώποις πόλεμος ἄνευ κακίας· ἀλλὰ τὸν μὲν φιληδονία, τὸν δὲ πλεονεξία, τὸν δὲ φιλοδοξία τις ἢ φιλαρχία συῤῥήγνυσιν. οὐκοῦν εἰ πολέμους ὁ θεὸς ἐνεργάζεται [3], καὶ κακίας, παροξύνων καὶ διαστρέφων τοὺς ἀνθρώπους. καίτοι λέγει αὐτὸς [4] ἐν

1 Pro ὅσα Turn. V. Bong. εἴτε.

2 Vulgo abest δέ. W. addidit ex E. Mavult R. ἔλαττόν ἐστιν, ἐκεῖνο δὲ μ.

3 Comma ante ἐνεργάζεται collocandum monuit R. cum idem sit, ac si integre diceretur: εἰ οὖν πολέμους ἐνεργάζεται ὁ θεὸς, ἐνεργάζεται καὶ κακίας.

4 Vulgo λέγει δ' αὐτός. Hinc R. voluit λέγει γ' αὐτός. W. delevit δ'.

ἐν τῷ περὶ τοῦ Δικάζειν, καὶ πάλιν ἐν τῷ δευτέρῳ περὶ Θεῶν, ὡς τῶν αἰσχρῶν τὸ θεῖον παραίτιον γίνεσθαι οὐκ εὔλογόν ἐστιν· ὃν τρόπον γὰρ οὔτε νόμος τοῦ παρανομεῖν παραίτιος ἂν γένοιτο, οὔτε οἱ θεοὶ, τοῦ ἀσεβεῖν· οὕτως εὔλογον, μηδ' αἰσχροῦ μηδενὸς εἶναι παραιτίους. τί οὖν αἴσχιον ἀνθρώποις φθορᾶς ὑπ' ἀλλήλων γινομένης; ἧς φησι Χρύσιππος ἐνδιδόναι τὰς ἀρχὰς τὸν θεόν. ἀλλὰ νὴ Δία φήσει [1] τις ἐπαινεῖν πάλιν τοῦ Εὐριπίδου λέγοντος·

Εἰ θεοί τι δρῶσιν αἰσχρὸν, οὐκ εἰσὶν θεοί·

καὶ·

Τὸ ῥᾶστον εἶπας, αἰτιάσασθαι θεούς.

ὥσπερ ἡμῶν ἄλλο τι νῦν πραττόντων, ἢ τὰς ἐναντίας αὐτοῦ φωνὰς καὶ ὑπολήψεις παρατιθεμένων.

XXXIV. Οὐ μὴν ἀλλ' αὐτό γε τοῦτο τὸ νῦν ἐπαινούμενον, οὐχ ἅπαξ, οὐδὲ δὶς, οὐδὲ τρὶς, ἀλλὰ μυριάκις ἔσται πρὸς Χρύσιππον εἰπεῖν·

Τὸ ῥᾶστον εἶπας, αἰτιάσασθαι θεούς.

πρῶτον γὰρ ἐν τῷ πρώτῳ [2] περὶ Φύσεως τὸ ἀΐδιον [3] τῆς κινήσεως κυκεῶνι παρεικάσας, ἄλλα ἄλλως στρέφοντι [4] καὶ ταράσσοντι τῶν γινομένων, ταῦτ' εἴρηκεν· Οὕτω δὲ τῆς τῶν ὅλων οἰκονομίας προαγούσης, ἀναγκαῖον κατὰ ταύτην, ὡς ἄν ποτ' ἔχωμεν, ἔχειν ἡμᾶς, εἴτε παρὰ φύσιν τὴν ἰδίαν νοσοῦντες, εἴτε πεπηρωμένοι, εἴτε γραμματικοὶ γεγονότες, ἢ μουσικοί. καὶ πάλιν μετ' ὀλίγον· Κατὰ τοῦτον δὲ τὸν λόγον τὰ παραπλήσια ἐροῦμεν καὶ περὶ τῆς ἀρετῆς ἡμῶν καὶ κακίας [5], καὶ τὸ ὅλον τῶν τεχνῶν

1 Ita W. dedit ex B. E. Venet. 1. 2. Vulgo φησί τις. R. voluit φήσει τις ἐπαινεῖν (subaud. αὐτὸν) πάλιν τὸ Εὐρ.

2 abest vulgo πρώτῳ. W. addidit ex B. Venet. 1.

3 Ald. Bas. B. F. Venet. 2. αἰδοῖον. Hinc Xyl. legit vertitque αἴτιον. Vulgatum dedit Steph. ex Leonic. Schott. Anon. nec dissentiunt E. & Venet. 1.

4 Sic Xyl. & R. legendum monuerunt pro vulg. τρέφοντι, deditque W. ex B. E. Venet. 1. Mez.

5 Petav. item B. F. Venet. 1. 2. ante κακίας repetunt περὶ τῆς: quorum librorum auctoritate, non sententia flagitante addi debuisse, notat W.

τεχνῶν καὶ τῶν ἀτεχνιῶν, ὡς ἔφην. καὶ μετ' ὀλίγου ἅπασαν ἀναιρῶν ἀμφιβολίαν· Οὐθὲν γάρ ἐςιν ἄλλως τῶν κατὰ μέρος γενέσθαι, ὀδὲ τὐλάχιςον, ἢ κατὰ τὴν κοινὴν φύσιν καὶ κατὰ τὸν ἐκείνης λόγον. ὅτι δ' ἡ κοινὴ φύσις καὶ ὁ κοινὸς τῆς φύσεως λόγος, εἱμαρμένη καὶ πρόνοια καὶ Ζεύς ἐςιν, ὀδὲ τὲς ἀντίποδας λέληθε· πανταχῦ γὰρ ταῦτα θρυλλεῖται ὑπ' αὐτῶν· καί·

Διὸς δ' ἐτελείετο βυλή·

τὸν Ὅμηρον εἰρηκέναι, φησὶν, ὀρθῶς, ἐπὶ τὴν εἱμαρμένην ἀναφέροντα, καὶ τὴν τῶν ὅλων φύσιν, καθ' ἣν πάντα διοικεῖται. πῶς ὖν ἅμα μὲν ὀδενὸς αἰσχρῦ παραίτιος ὁ θεὸς, ἅμα δ' ὀδὲ τὐλάχιςον ἐνδέχεται γίγνεσθαι ἄλλως, ἢ κατὰ τὴν κοινὴν φύσιν, καὶ τὸν ἐκείνης λόγον; ἐν γὰρ πᾶσι τοῖς γινομένοις καὶ τὰ αἰσχρὰ δή πυ θεῶν [1] ἐςιν. καίτοι ὁ μὲν Ἐπίκυρος ἁμωσγέπως ςρέφεται καὶ φιλοτεχνεῖ, τῆς ἀϊδίυ κινήσεως μηχανώμενος ἐλευθερῶσαι καὶ ἀπολῦσαι τὸ ἑκύσιον, ὑπὲρ τῦ μὴ καταλιπεῖν ἀνέγκλητον τὴν κακίαν· ὁ δὲ Χρύσιππος [2] ἀναπεπταμένην παῤῥησίαν αὐτῇ δίδωσιν, ὡς ὐ μόνον ἐξ ἀνάγκης, ὀδὲ καθ' εἱμαρμένην, ἀλλὰ καὶ κατὰ λόγον θεῦ καὶ κατὰ φύσιν πεποιημένῃ [3] τὴν ἀρίςην. ἔτι δὲ καὶ ταῦτα ὁρᾶται [4] κατὰ λέξιν ὅτως ἔχοντα· Τῆς γὰρ κοινῆς φύσεως εἰς πάντα διατεινύσης, δεήσει πᾶν τὸ ὁπωσῦν γινόμενον ἐν τῷ λόγῳ [5], καὶ τῶν μορίων ὁτῳῦν, κατ' ἐκείνην γενέσθαι καὶ

1 Pro δή πυ θεῶν Mez. δήπυθεν.

2 Vocabula ὁ δὲ Χρύσιππος, quae vulgo absunt, addidit W. ex Petav. Conjecit R. ἑκύσιον, ὁ δὲ Χρύσιππος, ὑπὲρ τῦ καταλιπεῖν ἀνέγκλητον τ. κ. vel ὑπὲρ τῦ πάντως καταλιπεῖν ἀνέγκλητον.

3 Sic scriptam dedit hanc vocem W. cum Xyl. Vulgo πεποιημένη.

4 W. legendum censet ὁρᾶτε cum Mez. vel ὅρα τά.

5 W. susp. ἐν τῷ ὅλῳ.

καὶ τὸν ἐκείνης λόγον, κατὰ τὸ ἑξῆς ἀκωλύτως· διὰ τὸ μήτ' ἔξωθεν εἶναι τὸ ἐνςησόμενον τῇ οἰκονομίᾳ, μήτε τῶν μερῶν μηδὲν ἔχειν, ὅπως κινηθήσεται ἢ σχήσει ἄλλως ἢ [1] κατὰ τὴν κοινὴν φύσιν. τίνες ὖν αἱ τῶν μερῶν σχέσεις εἰσὶ καὶ κινήσεις; δῆλον μὲν, ὅτι σχέσεις αἱ κακίαι καὶ τὰ νοσήματα, φιλαργυρίαι, φιληδονίαι, φιλοδοξίαι, δειλίαι, ἀδικίαι· κινήσεις δὲ, μοιχεῖαι, κλοπαὶ, προδοσίαι, ἀνδροφονίαι, πατροκτονίαι. τέτων οἴεται Χρύσιππος ὔτε μικρὸν ὔτε μέγα παρὰ τὸν τῦ [2] Διὸς λόγον εἶναι, καὶ νόμον, καὶ δίκην, καὶ πρόνοιαν· ὥςε μὴ γίνεσθαι παρὰ τὸν νόμον τὸ παρανομεῖν· μηδὲ παρὰ τὴν δίκην τὸ ἀδικεῖν· μήτε παρὰ τὴν πρόνοιαν τὸ κακοποιεῖν.

XXXV. Ἀλλὰ μὴν τὸν Θεὸν κολάζειν, φησὶ, τὴν κακίαν, καὶ πολλὰ ποιεῖν ἐπὶ κολάσει τῶν πονηρῶν· ὥσπερ ἐν τῷ δευτέρῳ περὶ Θεῶν, ποτὲ μὲν τὰ δύσχρηςα συμβαίνειν, φησὶ, τοῖς ἀγαθοῖς, ὐχ ὥσπερ τοῖς φαύλοις κολάσεως χάριν, ἀλλὰ κατ' ἄλλην οἰκονομίαν, ὥσπερ ἐν ταῖς πόλεσι. καὶ πάλιν ἐν τύτοις· Πρῶτον δὲ τῶν κακῶν παραπλησίως ἐςὶν ἀκυςέον τοῖς προειρημένοις· εἶτα ὅτι ταῦτα ἀπονέμεται κατὰ τὸν Διὸς λόγον, ἤτοι ἐπὶ κολάσει, ἢ κατ' ἄλλην ἔχυσάν πως πρὸς τὰ ὅλα οἰκονομίαν. ἔςι μὲν ὖν τῦτο δεινὸν, τὸ καὶ γίνεσθαι τὴν κακίαν καὶ κολάζεσθαι κατὰ τὸν τῦ Διὸς λόγον· ἐπιτείνει δὲ τὴν ὑπεναντίωσιν ἐν τῷ δευτέρῳ περὶ Φύσεως, γράφων τάδε· Ἡ δὲ κακία πρὸς τὰ δεινὰ συμπτώματα ἴδιόν τινα ἔχει λόγον· γίνεται μὲν γὰρ καὶ [3] αὐτή πως κατὰ τὸν τῆς φύσεως λόγον, καὶ, ἵν' ὕτως εἴπω, ὐκ ἀχρήςως γίνεται πρὸς τὰ ὅλα· ὔτε γὰρ τἀγαθὰ ἦν. καὶ ὕτος [4] ἐπιτιμᾷ τοῖς ἐπίσης πρὸς τὰ ἐναντία διαλεγομένοις, ὃς ὑπὸ τῦ πάντως τι βύλεσθαι καὶ περὶ παντὸς

τὸς

1 W. addidit ἢ, quod vulgo abeſt, e Mez.

2 abeſt τῦ a Petav.

3 abeſt vulgo καὶ; W. addidit ex B.

4 Ita W. dedit e marg. Venet. 2. & Mez. pro vulg. καὶ ὕτως.

τὸς εἰπεῖν ἴδιον καὶ περιττὸν, ἐκ ἀχρήςως λέγει βαλαντιοτομεῖν, συκοφαντεῖν, καὶ ἀφραίνειν, ἐκ ἀχρήςως ἀχρήςες εἶναι, βλαβερὲς, κακοδαίμονας. εἶτα ποῖός τις ὁ Ζεὺς, λέγω δὲ τὸν [1] Χρυσίππε, κολάζων πρᾶγμα, μήτ' ἀφ' αὐτε, μήτ' ἀχρήςως γινόμενον; ἡ μὲν γὰρ κακία πάντως ἀνέγκλητός ἐςι κατὰ τὸν τε [2] Χρυσίππε λόγον· ὁ δὲ Ζεὺς ἐγκλητέος, εἴτ' ἄχρηςον ἔσαν τὴν κακίαν πεποίηκεν, εἴτε ποιήσας ἐκ ἀχρήςως, κολάζει.

XXXVI. Πάλιν ἐν τῷ πρώτῳ περὶ Δικαιοσύνης εἰπὼν περὶ τῶν θεῶν, ὡς ἐνιςαμένων ἐνίοις [3] ἀδικήμασι· Κακίαν δὲ, φησὶ, καθόλε ἆραι ὅτε δυνατόν ἐςιν, ὅτ' ἔχει καλῶς ἀρθῆναι. τὴν [4] ἀνομίαν, τὴν ἀδικίαν, τὴν ἀβελτηρίαν ἐ τε παρόντος ἐςὶ λόγε τὸ ζητεῖν· αὐτὸς δὲ τὴν κακίαν, ὅσον ἐφ' ἑαυτῷ, διὰ τε φιλοσοφεῖν ἀναιρῶν, ἣν ἐκ ἔχει καλῶς ἀναιρεῖν, μαχόμενόν τι ποιεῖ καὶ τῷ λόγῳ καὶ τῷ θεῷ· πρὸς δὲ τέτοις λέγων ἐνίοις ἀδικημασιν ἐνίςαθαι τὸν θεὸν, ἔμφασιν πάλιν τῆς [5] τῶν ἁμαρτημάτων δίδωσιν ἀνοσιότητος.

XXXVII. Ἔτι [6] περὶ τε μηδὲν ἐγκλητὸν εἶναι μηδὲ μεμπτὸν κόσμῳ [7], κατὰ τὴν ἀρίςην φύσιν ἁπάντων περαινομένων, πολλάκις γεγραφὼς, ἔςιν ὅπε πάλιν ἐγκλητάς τινας ἀμελείας ἐ περὶ μικρὰ καὶ φαῦλα καταλείπει. ἐν γεν τῷ τρίτῳ περὶ Οὐσίας, μνηθεὶς, ὅτι συμβαίνει [8] τινὰ τοῖς καλοῖς καὶ ἀγαθοῖς τοιαῦτα· Πότερον, φησὶν, ἀμελεμένων τινῶν, καθάπερ ἐν οἰκίαις



1 Ita Bas. Xyl. Mez. R. & W. exhibent. Vulgo τὸ Χρυσ.

2 abest τε ab Ald. & Bas.

3 Ita R. h. l. legi voluit, uti paulo infra legitur, deditque W. e Venet. 1. & Mez. Vulgo ἐνίων.

4 In loco hoc integrando R. & W. sic consentiunt ἀρθῆναι. Ἀλλ' εἰ μὲν ἐ καλῶς ἔχει ἀρθῆναι τὴν ἀν. —.

5 abest τῆς a Pet. Ald. Bas.

6 Ita R. legendum monuit dedique cum W. pro vulg. ὅτι.

7 W. susp. ἐν τῷ κόσμῳ. Pet. κόσμον. Xyl. vertendo cum proxime seqq. conjunxit.

8 Ita W. dedit ex F. Venet. 2. Pet. Vulgo συμβαίνειν.

κίαις μείζοσι παραπίπτει τινὰ πίτυρα, καὶ ποσοὶ [1] πυροί τινες, τῶν ὅλων εὖ οἰκονομουμένων· ἢ διὰ τὸ καθίςαθαι ἐπὶ τῶν τοιέτων δαιμόνια φαῦλα, ἐν οἷς τῷ ὄντι γίνονται καὶ ἐγκλητέαι ἀμέλειαι; Φησὶ δὲ πολὺ καὶ τὸ τῆς ἀνάγκης μεμίχθαι. τὸ μὲν ὖν τὰ τοιαῦτα συμπτώματα τῶν καλῶν κἀγαθῶν ἀνδρῶν, οἷον ἡ Σωκράτες καταδίκη, καὶ ὁ Πυθαγόρε ζῶντος ἐμπρησμὸς ὑπὸ τῶν Κυλωνείων, καὶ Ζήνωνος [2] ὑπὸ Δημύλε τε τυράννε, καὶ Ἀντιφῶντος [3] ὑπὸ Διονυσίε, ςρεβλεμένων ἀναιρέσεις, πιτύροις [4] παραπίπτεσιν ἀπεικάζειν, ὅσης ἐςὶν εὐχερείας, ἐῶ· τὸ δὲ φαύλες δαίμονας ἐκ προνοίας ἐπὶ τὰς τοιαύτας ἐπιςασίας καθίςαθαι, πῶς ἐκ ἔςιν ἔγκλημα τε θεε, καθάπερ βασιλέως κακοῖς καὶ ἐμπλήκτοις σατράπαις καὶ ςρατηγοῖς διοικήσεις ἐπιτρέποντος, καὶ περιορῶντος ὑπὸ τέτων ἀμελεμένες καὶ παροινεμένες τὲς χρίσες; καὶ μὴν εἰ πολὺ τὸ τῆς ἀνάγκης μέμικται τοῖς πράγμασιν, ἔτε κρατεῖ πάντων ὁ θεὸς, ἔτε πάντα κατὰ τὸν ἐκείνε λόγον διοικεῖται.

XXXVIII. Πρὸς τὸν Ἐπίκερον μάλιςα μάχεται, καὶ πρὸς τὲς ἀναιρεντας τὴν πρόνοιαν, ἐκ τῶν ἐννοιῶν [5], ἃς ἔχομεν περὶ θεῶν, εὐεργετικὲς καὶ φιλανθρώπες ἐπινοεντες. καὶ τέτων πολλαχε γραφομένων καὶ [6] λεγομένων παρ' αὐτοῖς ἐδὲν ἔδει λέξεις παρατίθεσθαι. καίτοι χρηςὲς ἐ πάντας εἶναι τὲς θεὲς προ-

1 R. judice delendum vocabulum ποσοί, ut prava scriptio proximi vocabuli πυροί.

2 Zenonis Eleatae nimirum. Pro Demylo alii Nearchum, alii Diomedontem edunt. Vid. Diog. Laert. 9, 26. R.

3 Antiphontis tragici.

4 Vulgo ἐπὶ πιτύροις. R. ἐπὶ delendum monuit. Delevit W. auctoritate Venet. 1. & Mez.

5 Ald. Bas. εὐνοιῶν.

6 Voces γραφομένων καὶ, quae vulgo absunt, addidit W. ex B. & Venet. 1. Forte idem e Turn. & Bong. notandum fuit, unde exhibetur λεγομένων καὶ λεγομένων. Pro seq. ἔδει R. mavult δεῖ.

προλαμβάνειν [1]. ὅρα γὰρ, οἷα Ἰουδαῖοι καὶ Σύροι περὶ θεῶν φρονοῦσιν· ὅρα τὰ τῶν ποιητῶν, πόσης ἐμπέπλησαι δεισιδαιμονίας. Φθαρτὸν δὲ καὶ γεννητὸν οὐδεὶς, ὡς ἔπος εἰπεῖν [2], διανοεῖται θεόν. ὧν ἵνα τοὺς ἄλλους ἐάσω πάντας, Ἀντίπατρος ὁ Ταρσεὺς ἐν τῷ περὶ Θεῶν γράφει ταῦτα κατὰ λέξιν· Πρὸ δὲ τοῦ [3] σύμπαντος λόγου τὴν ἐνέργειαν [4], ἣν ἔχομεν περὶ θεοῦ, διὰ βραχέων ἐπιλογιούμεθα. θεὸν τοίνυν νοοῦμεν ζῶον μακάριον καὶ ἄφθαρτον, καὶ εὐποιητικὸν ἀνθρώπων. εἶτα τούτων ἕκαστον ἀφηγούμενος, φησὶν οὕτω· Καὶ μὴν ἀφθάρτους αὐτοὺς ἡγοῦνται πάντες. οὐδεὶς οὖν ἐστι τῶν πάντων ὁ Χρύσιππος κατ' Ἀντίπατρον· οὐδένα [5] γὰρ οἴεται, πλὴν τοῦ πυρὸς, ἄφθαρτον εἶναι τῶν θεῶν, ἀλλὰ πάντας ὁμαλῶς καὶ γεγονότας καὶ φθαρησομένους. ταῦτα δὲ πανταχοῦ, ὡς ἔπος εἰπεῖν, ὑπ' αὐτοῦ λέγεται. παραθήσομαι δὲ λέξιν ἐκ τοῦ τρίτου περὶ Θεῶν· καθ' ἕτερον λόγον [6], οἱ μὲν γὰρ γεννητοί εἰσι καὶ φθαρτοὶ, οἱ δ' ἀγέννητοι· καὶ ταῦτ' ἀπ' ἀρχῆς ὑποδείκνυσθαι φυσικώτερον. ἥλιος μὲν γὰρ καὶ σελήνη, καὶ οἱ ἄλλοι θεοὶ παραπλήσιον ἔχοντες λόγον, γεννητοί εἰσιν· ὁ δὲ Ζεὺς, ἀΐδιός ἐστιν. καὶ πάλιν προελθών· Ὅμοια δὲ καὶ περὶ τοῦ φθαρῆναι [7] καὶ περὶ τοῦ γενέσθαι



1 R. susp. τοὺς θεοὺς προσήκει ὑπολαμβάνειν; W. autem cum Mez. οὐ πάντα ἔθνη τοὺς θεοὺς προλαμβάνει.

2 W. susp. ἐκτὸς ἐκείνων pro ἔπος εἰπεῖν. R. deinde legendum conjicit θεὸν, εἰ μὴ οὗτοι, vel χωρὶς τούτων, ὧν ἵνα — *nemo alius, praeter hos Stoicos, quorum ut reliquos omnes missos faciam.*

3 Ita W. dedit ex B. Venet. 1. pro vulg. πρὸς δὲ τοῦ.

4 Mez. corrigit ἐνάργειαν. W. susp. ἔννοιαν.

5 Ita W. e Graeco lat ed. dedit. In rell. est οὐδέν. Pro seq. πυρὸς Turn. V. Bong. Διός.

6 Verba καθ' ἕτερον λόγον retulit W. cum Xyl. ad verba Chrysippi, monens simul, ita forte sequens γὰρ delendum esse. Vulgo cum antecedentibus junguntur.

7 Pro φθαρῆναι Pet. Ald. Bas. φρονεῖν; Turn. V. Bong. αἰσθάνεσθαι.

γέσθαι ῥηθήσεται, περί τε τῶν ἄλλων θεῶν καὶ τȣ̃ Διός· οἱ μὲν γὰρ φθαρτοί εἰσι, τȣ̃ δὲ τὰ μέρη ἄφθαρτα. τȣ́τοις ἔτι βȣ́λομαι παραβαλεῖν μικρὰ τῶν ὑπὸ τȣ̃ Ἀντιπάτρȣ λεγομένων· Ὅσοι δὲ περιαιρȣ̃νται τὸ εὐποιητικὸν ἐκ τῶν θεῶν, ἀπὸ μέρȣς προβάλλȣσι [1] τῇ τȣ́των προλήψει· κατὰ τὸν αὐτὸν λόγον καὶ οἱ νομίζοντες, αὐτȣ̀ς γενέσεώς τε καὶ φθορᾶς κοινωνεῖν. εἴπερ ȣ̃ν ἐπίσης ἄτοπος ὁ φθαρτȣ̀ς ἡγȣ́μενος τȣ̀ς θεȣ̀ς, τῷ μὴ νομίζοντι, προνοητικȣ̀ς εἶναι καὶ φιλανθρώπȣς, ἐπίσης διαπέπτωκεν Ἐπικȣ́ρῳ Χρύσιππος· ὁ μὲν γὰρ τὸ εὐποιητικὸν, ὁ δὲ τὸ ἄφθαρτον ἀφαιρεῖται τῶν θεῶν.

XXXIX. Καὶ μὴν ἐν τῷ τρίτῳ περὶ Θεῶν ὁ Χρύσιππος περὶ τȣ̃ τρέφεσθαι τȣ̀ς ἄλλȣς θεȣ̀ς τάδε λέγει· Τροφῇ τε οἱ μὲν ἄλλοι θεοὶ χρῶνται [2], παραπλησίως συνεχόμενοι δι᾽ αὐτήν· ὁ δὲ Ζεὺς καὶ ὁ κόσμος καθ᾽ ἕτερον τρόπον ἀναλισκομένων καὶ ἐκ πυρὸς γενομένων [3]. ἐνταῦθα μὲν ἀποφαίνεται, πάντας τȣ̀ς ἄλλȣς θεȣ̀ς τρέφεσθαι, πλὴν τȣ̃ κόσμȣ καὶ τȣ̃ Διός· ἐν δὲ τῷ πρώτῳ περὶ Προνοίας, τὸν Δία, φησὶν, αὔξεσθαι, μέχρις ἂν εἰς αὐτὸν ἅπαντα καταναλώσῃ. Ἐπεὶ γὰρ ὁ θάνατος μέν ἐστι ψυχῆς χωρισμὸς ἀπὸ τȣ̃ σώματος, ἡ δὲ τȣ̃ κόσμȣ ψυχὴ ȣ̓ χωρίζεται μὲν, αὔξεται δὲ συνεχῶς, μέχρις ἂν εἰς αὐτὴν ἐξαναλώσῃ τὴν ὕλην, ȣ̓ ῥητέον ἀποθνήσκειν τὸν κόσμον. τίς ἂν ȣ̃ν ἐναντιώτερα λέγων ἑαυτῷ φανείη τȣ̃ τὸν αὐτὸν

1 W. legendum monet vel προσβάλλȣσι, vel ἀποβάλλȣσι τὴν τȣ́των πρόληψιν. R. judice Xyl. legisse videtur προσβάλλȣσι. Ipse locum sibi obscurum esse fatetur, cum non videat, quinam fiet illi, ad quos pertineat. Idem post προλήψει punctum collocandum conjicit, & sic legendum: κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ οἱ νομίζοντες — *eodem quoque modo*, scil. *agunt*, aut *accipiendi sunt illi*, *qui existimant*, *deos nasci & perire*. Ita distinxit W.

2 R. susp. χρῶνται ἡμῖν παραπλησίως.

3 Subesse vitium W. notat. R. quaerit, num καθ᾽ ἕτερον τρόπον ἐκ τῶν ἄλλων ἀναλισκομένων καὶ εἰς πῦρ τρεπομένων?

αὐτὸν θεὸν νῦν μὲν αὔξεσθαι, νῦν δὲ μὴ τρέφεσθαι λέγοντος. καὶ τἆτ' [1] ἆ δεῖ συλλογίζεσθαι· σαφῶς γὰρ αὐτὸς ἐν τῷ αὐτῷ γέγραφεν· Αὐτάρκης δ' εἶναι λέγεται μόνος ὁ κόσμος, διὰ τὸ μόνος ἐν αὐτῷ πάντα ἔχειν, ὧν δεῖται· καὶ τρέφεται ἐξ αὐτᾶ καὶ αὔξεται, τῶν ἄλλων μορίων εἰς ἄλληλα καταταττομένων [2]. ᾿ᾶ μόνον ἆν ἐν ἐκείνοις τᾶς ἄλλας θεᾶς ἀποφαίνων τρεφομένας, πλὴν τᾶ κόσμα καὶ τᾶ Διὸς, ἐν τᾶτοις δὲ καὶ τὸν κόσμον λέγων τρέφεσθαι, μάχεται πρὸς αὐτόν· ἀλλ' ἔτι μᾶλλον, ὅτι τὸν κόσμον αὔξεσθαι φησὶν ἐξ αὐτᾶ τρεφόμενον. τᾶναντίον δ' εἰκὸς ἦν, τᾶτον μόνον μὴ αὔξεσθαι τὴν αὐτᾶ φθίσιν ἔχοντα τροφήν· τοῖς δ' ἄλλοις θεοῖς, ἔξωθεν τρεφομένοις, ἐπίδοσιν γίνεσθαι καὶ αὔξησιν, καὶ μᾶλλον εἰς τᾶτας καταναλίσκεσθαι τὸν κόσμον, εἴγ' ἐκείνῳ μὲν ἐξ αὐτᾶ, τᾶτοις δ' ἀπ' ἐκείνα λαμβάνειν ἀεί τι καὶ τρέφεσθαι συμβέβηκε.

XL. Δεύτερον τοίνυν ἡ τῶν θεῶν ἔννοια περιέχει τὸ εὔδαιμον καὶ μακάριον καὶ αὐτοτελές. Διο καὶ τὸν Ευριπίδην ἐπαινᾶσιν, εἰπόντα·

Δεῖται γὰρ ὁ θεὸς, εἴπερ ἔς' ὄντως θεὸς,
Οὐδε οὐδενὸς ἀοιδῶν [3] δύστηνοι λόγοι.

ἀλλ' ὅ γε Χρύσιππος, ἐν οἷς παρεθέμην, αὐτάρκη μόνον εἶναι τὸν κόσμον φησὶ, διὰ τὸ μόνον ἐν αὐτῷ πάντα ἔχειν, ὧν δεῖται. τί ἆν ἕπεται τῷ μόνον αὐτάρκη τὸν κόσμον εἶναι; τὸ μήτε τὸν ἥλιον αὐτάρκη μήτε τὴν σελήνην εἶναι, μήτ' ἄλλον τινὰ τῶν θεῶν. αὐτάρκεις δὲ μὴ ὄντες, ἆκ ἂν εἶεν εὐδαίμονες ἆδὲ μακάριοι.

XLI. Τὸ βρέφος ἐν τῇ γαςρὶ φύσει τρέφεσθαι, νομί-



1 Vulgo inter θεὸν & καὶ τᾶτ' est lacuna, quam W. ex B. & Venet. 1. explevit.

2 Mez. & R. ſuſp. καταλλαττομένων, i. e. ἀλλοιαμένων. Ald. Baſ. καταττομένων.

3 Vulgo εἴπερ ἔς' ὀρθῶς θεὸς, Οὐδενὸς αὐτῶν. οἱ δὲ —. W. correxit e Schott & Mez. coll. Eurip Herc. Fur. 1346. Vitioſe e Turn. & Bong. exhibetur ἀοιδῶν.

νομίζει, καθάπερ φυτόν· ὅταν δὲ τεχθῇ, ψυχόμενον [1] ὑπὸ τοῦ ἀέρος καὶ στομούμενον τὸ πνεῦμα μεταβάλλειν, καὶ γίνεσθαι ζῶον· ὅθεν οὐκ ἀπὸ τρόπου τὴν ψυχὴν ὠνομάσθαι παρὰ τὴν ψῦξιν. αὐτὸς δὲ πάλιν, τὴν ψυχὴν ἀραιότερον πνεῦμα τῆς φύσεως καὶ λεπτομερέστερον ἡγεῖται, μαχόμενος αὑτῷ. πῶς γὰρ οἷόν τε, λεπτομερὲς ἐκ παχυμεροῦς καὶ ἀραιὸν γενέσθαι κατὰ περίψυξιν καὶ πύκνωσιν; ὃ δὲ μεῖζόν ἐστι, πῶς περιψύξει γίνεσθαι τὸ ἔμψυχον ἀποφαινόμενος, ἔμψυχον ἡγεῖται τὸν ἥλιον, πύρινον ὄντα, καὶ γεγενημένον ἐκ τῆς ἀναθυμιάσεως εἰς πῦρ μεταβαλούσης; λέγει γὰρ ἐν τῷ τρίτῳ περὶ Φύσεως· Ἡ δὲ πυρὸς μεταβολή ἐστι τοιαύτη· δι᾽ ἀέρος εἰς ὕδωρ τρέπεται· κἀκ τούτου, γῆς ὑφισταμένης, ἀὴρ ἀναθυμιᾶται· λεπτυνομένου δὲ τοῦ ἀέρος, ὁ αἰθὴρ περιέχεται [2] κύκλῳ· οἱ δ᾽ ἀστέρες ἐκ θαλάσσης μετὰ τοῦ ἡλίου ἀνάπτονται. τί οὖν ἀνάψει περιψύξεως ἐναντιώτερον, ἢ διαχύσει πυκνώσεως; τὰ μὲν [3] ὕδωρ καὶ γῆν ἐκ πυρὸς καὶ ἀέρος ποιεῖ, τὰ δ᾽ εἰς πῦρ καὶ ἀέρα τρέπει τὸ ὑγρὸν καὶ γεῶδες. ἀλλ᾽ ὅμως, ὅπου μὲν τὴν ἄναψιν, ὅπου δὲ τὴν περίψυξιν, ἀρχὴν ἐμψυχίας ποιεῖ. καὶ μὴν ὅταν ἐκπύρωσις γένηται, διόλου ζῆν καὶ ζῶον εἶναι [4] φησι· σβεννύμενον δ᾽ αὖθις καὶ παχυνόμενον, εἰς ὕδωρ καὶ γῆν καὶ τὸ σωματοειδὲς τρέπεσθαι. λέγει δ᾽ ἐν τῷ πρώτῳ περὶ Προνοίας· Διόλου μὲν γὰρ ὢν [5] ὁ κόσμος πυρώδης, εὐθὺς καὶ ψυχή ἐστιν ἑαυτοῦ καὶ ἡγεμονικόν· ὅτε δὲ μεταβαλὼν εἴς τε τὸ ὑγρὸν καὶ τὴν ἐναπολειφθεῖσαν ψυχὴν, τρόπον τινὰ εἰς σῶμα καὶ ψυχὴν μεταβάλλων [6], ὥστε συνεστάναι ἐκ

1 Ita Ald. Bas. Xyl. E. F. Venet. 1. Pet. deditque W. probante M-z. pro vulg. ψυχόμενον.

2 W. susp. περιχεῖται.

3 R. legi vult ὧν τὰ μέν.

4 W. addendum τὸν κόσμον monet cum Amiot.

5 Pro ὢν Turn. V. Bong. ἄν.

6 R. mavult μετέβαλεν. W. corrigendum putat: ὅτε δὲ μετα-

ἐκ τούτων, ἄλλον τινὰ ἔχει λόγον. ἐνταῦθα δήπου σαφῶς τῇ μὲν ἐκπυρώσει καὶ τὰ ἄψυχα τοῦ κόσμου φησὶν εἰς τὸ ἔμψυχον τρέπεσθαι· τῇ δὲ σβέσει πάλιν καὶ τὴν ψυχὴν ἀνίεσθαι καὶ ἀνυγραίνεσθαι, μεταβάλλουσαν εἰς τὸ σωματοειδές. ἄτοπος οὖν φαίνεται τῇ περιψύξει νῦν μὲν ἐξ ἀναισθήτων ποιῶν ἔμψυχα, νῦν δ' εἰς ἀναίσθητα καὶ ἄψυχα μεταβάλλων τὸ πλεῖστον μέρος τῆς τοῦ κόσμου ψυχῆς. ἄνευ δὲ τούτων, ὁ περὶ ψυχῆς γενέσεως αὐτῷ λόγος μαχομένην ἔχει πρὸς τὸ δόγμα τὴν ἀπόδειξιν. γίνεσθαι μὲν γάρ, φησι, τὴν ψυχήν, ὅταν το βρέφος ἀποτεχθῇ, καθάπερ στομώσει τῇ περιψύξει τοῦ πνεύματος [1] μεταβαλόντος· ἀποδείξει δὲ χρῆται τοῦ γεγονέναι τὴν ψυχήν, καὶ μεταγενεστέραν εἶναι, μάλιστα τῷ καὶ τὸν τρόπον καὶ τὸ ἦθος ἐξομοιοῦσθαι τὰ τέκνα τοῖς γονεῦσι. βλέπεται δ' ἡ τούτων ἐναντίωσις. οὐ γὰρ οἷόν τε τὴν ψυχὴν πρὸ τῆς ἀποκυήσεως ἠθοποιεῖσθαι, γεννωμένην μετὰ τὴν ἀποκύησιν· ἢ συμβήσεται, πρὶν ἢ γενέσθαι ψυχήν, ὁμοίαν εἶναι ψυχῇ [2], τουτέστι, καὶ εἶναι τῇ ὁμοιότητι, καὶ μὴ εἶναι διὰ τὸ μήπω γεγονέναι. εἰ δὲ φησί τις, ὅτι ταῖς κράσεσι τῶν σωμάτων ἐγγινομένης τῆς ὁμοιότητος, αἱ ψυχαὶ γεννώμεναι μεταβάλλουσι, διαφθείρει τὸ τεκμήριον τοῦ γεγονέναι τὴν ψυχήν· ἐνδέχεται γὰρ οὕτω καὶ ἀγέννητον οὖσαν, ὅταν ἐπεισέλθῃ, μεταβάλλειν τῇ κράσει τῆς ὁμοιότητος.

XLII. Τὸν ἀέρα ποτὲ μὲν ἀναφερῆ καὶ κοῦφον εἶναί, φησι, ποτὲ δὲ μήτε βαρύν, μήτε κοῦφον. ἐν μὲν οὖν τῷ δευτέρῳ περὶ Κινήσεως, τό τε πῦρ ἀβαρὲς ὄν, ἀναφερὲς εἶναι λέγει, καὶ τούτῳ παραπλησίως τὸν ἀέρα, τοῦ μὲν ὕδατος τῇ γῇ μᾶλλον προσνεμομένου, τοῦ δ' ἀέρος τῷ πυρί. ἐν δὲ ταῖς Φυσικαῖς Τέχναις, ἐπὶ



μεταβαλὼν εἰς τὸ ὑγρόν, καὶ τὴν ἐναπολειφθεῖσαν ψυχὴν τρόπον τινὰ εἰς σῶμα μετέβαλεν.

1 Turn. V. Bong. τοῦ πνεύμονος.

2 Mez. ὅμως εἶναι ψυχήν.

τὴν ἑτέραν ῥέπει δόξαν, ὡς μήτε βάρος ἐξ αὐτῦ, μήτε κϑφότητα τῦ ἀέρος ἔχοντος.

XLIII. Τὸν ἀέρα φύσει ζοφερὸν εἶναι λέγει, καὶ τϑτῳ τεκμηρίῳ χρῆται τῦ καὶ ψυχρὸν εἶναι πρώτως· ἀντικεῖσθαι γὰρ αὐτῦ τὸ μὲν ζοφερὸν πρὸς τὴν λαμπρότητα, τὸ δὲ ψυχρὸν πρὸς τὴν θερμότητα τῦ πυρός. ταῦτα κινῶν [1] ἐν τῷ πρώτῳ τῶν Φυσικῶν Ζητημάτων, πάλιν ἐν τοῖς περὶ Ἕξεων, ϑδὲν ἄλλο τὰς ἕξεις πλὴν ἀέρας εἶναί φησιν· ὑπὸ τϑτων γὰρ συνέχεται τὰ σώματα· καὶ τῦ ποιὸν ἕκαστον εἶναι τῶν ἕξει συνεχομένων αἴτιος ὁ συνέχων ἀήρ ἐστιν, ὃν σκληρότητα μὲν ἐν σιδήρῳ, πυκνότητα δ' ἐν λίθῳ, λευκότητα δ' ἐν ἀργύρῳ καλϑσι· πολλὴν ἀτοπίαν καὶ μάχην τϑτων ἐχόντων. εἰ μὲν γὰρ μένει, ὁποῖός ἐστι [2] φύσει, πῶς τὸ μέλαν ἐν τῷ μὴ λευκῷ λευκότης γίνεται, καὶ τὸ μαλθακὸν ἐν τῷ μὴ σκληρῷ σκληρότης, καὶ τὸ μανὸν ἐν μὴ πυκνῷ πυκνότης; εἰ δὲ μιγνύμενος ἐν τϑτοις ἐξίσαται καὶ συνομοιϑται, πῶς ἕξις ἐστὶν, ἢ δύναμις, ἢ αἰτία τϑτων, ὑφ' ὧν κρατεῖται; πάσχοντος γάρ ἐστιν, ϑ δρῶντος, ϑδὲ συνέχοντος, ἀλλ' ἐξασθενϑντος, ἡ τοιαύτη μεταβολὴ, καθ' ἣν ἀπόλλυσι τὰς αὐτῦ ποιότητας. καίτοι πανταχῦ τὴν ὕλην ἀργὸν ἐξ ἑαυτῆς καὶ ἀκίνητον ὑποκεῖσθαι ταῖς ποιότησιν ἀποφαίνϑσι, τὰς δὲ ποιότητας πνεύματα ϑσας [3] καὶ τόνϑς ἀερώδεις, οἷς ἂν ἐγγένωνται [4] μέρεσι τῆς ὕλης εἰδοποιεῖν ἕκαστα καὶ σχηματίζειν. ταῦτ' ϑκ ἔνεστι λέγειν αὐτοῖς, τὸν ἀέρα φύσει τοιϑτον [5] ὑποτιθεμένοις· ἕξις

1 R. judice sententia flagitat *ταῦτα ὑποθέμενος* vel *τιθείς*, vel *τάττων*.

2 Vulgo *ὁποῖός τ' ἐστί*. R. voluit *ὁποῖός γ' ἐστί*. Delevi *τ'* cum W.

3 Vulgo *πνεύματα· ἃς δὲ κ. τ.* R. susp. *ἐστὶν ἃ δὲ κ. τ.* W. dedit *ϑσας* ex B. & Venet. 1.

4 R. susp. *συγγίνηται*.

5 scil. *οἷός ἐστιν* R.

ἕξις γὰρ ἂν καὶ τόνος αὐτῷ συνεξομοιώσει τῶν σωμάτων ἕκαστον, ὥστε μέλαν [1] εἶναι καὶ μαλθακόν. εἰ δὲ τῇ πρὸς ἐκεῖνα κράσει τὰς ἐναντίας λαμβάνει μορφὰς, ἃς [2] ἔχειν πέφυκεν ὕλη· τρόπον τινὰ τῆς ὕλης οὐκ αἴτιον, οὐδὲ δύναμίς ἐστιν·

XLVI. Ὅτι τοῦ κόσμου κενὸν ἐκτὸς ἄπειρόν ἐστι, τὸ δ' ἄπειρον οὔτ' ἀρχὴν, οὔτε μέσον, οὔτε τελευταῖον ἔχει, πολλάκις ὑπ' αὐτοῦ λέγεται. καὶ τούτῳ μάλιστα τὴν λεγομένην ὑπ' Ἐπικούρου τῆς ἀτόμου κάτω φορὰν ἐξ αὐτῆς ἀναιροῦσιν, οὐκ οὔσης ἐν ἀπείρῳ διαφορᾶς, καθ' ἣν τὸ μὲν ἄνω, τὸ δὲ κάτω νοεῖται γινόμενον. ἀλλ' ἔν γε τῷ τετάρτῳ περὶ Δυνατῶν μέσον τινὰ τόπον καὶ μέσην χώραν ὑποθέμενος, ἐνταῦθά φησιν ἱδρῦσθαι τὸν κόσμον· ἔστι δ' ἡ λέξις αὕτη· Διὸ καὶ ἐπὶ τοῦ κόσμου εἰ [3] ῥητέον, αὐτὸν φθαρτὸν [4] εἶναι, λόγου οἴομαι [5] δεῖσθαι. οὐ μὴν ἀλλὰ μᾶλλον ἐμοὶ φαίνεται οὕτως ἔχειν. οἱονεὶ δ' εἰς τὴν ὥσπερ ἀφθαρσίαν πολύ τι αὐτῷ συνεργεῖ [6] καὶ ἡ τῆς χώρας κατάληψις, οἷον διὰ τὸ ἐν μέσῳ εἶναι· ἐπεὶ, εἰ ἀλλαχῇ νοηθείη ὢν, καὶ παντελῶς ἂν αὐτῷ συνάπτοι ἡ φθορά. καὶ μετὰ μικρὸν αὖθις· Οὕτω γάρ πως καὶ ἡ οὐσία συντέτευχεν ἀϊδίως τὸν μέσον κατειληφυῖα τόπον, εὐθὺς τοιάδε τις οὖσα, ὥστε καθ' ἕτερον τρόπον, ἀλλὰ [7] καὶ διὰ τὴν συντυχίαν μὴ ἐπιδέχεσθαι

αὐτὴν

1 Sic W. dedit ex B. Venet. 1. Amiot. Vulgo μάλα. R. susp. ὡς εὐμεταβόλων ὄντων καὶ μαλθακῶν.

2 Sic W. dedit ex B. Venet. 1. a sec. manu, Anon. Schott. Turn. V. B. pro vulg. αἷς ἔχ.

3 W. addidit εἰ, quod vulgo abest, ex B. F. Venet. 1.

4 W. cum Mez. legendum susp. & vertit ἄφθαρτον.

5 Sic W. ex B. Venet. 1. dedit pro vulg. οἰόμενον. R. susp. ὃ λόγου μὲν οἶμαι δεῖσθαι, *id quod existimo quidem opus habere demonstratione.*

6 R susp. δοκεῖ δὲ εἰς τὴν — — συνεργεῖν. W. ὥσπερ interpretamentum, extrinsecus adjectum, esse notat particulae οἱονεὶ, & locum sic constituit: εἰς δὲ τὴν οἱονεὶ ἀφθαρσίαν —.

7 R susp. ὥστε καθ' ἕτερον τρόπον ἅμα καὶ διὰ — & deinde

καὶ

αὐτὴν φθορὰν, κατὰ τῦτ' εἶναι ἀΐδιον. ταῦτα μίαν μὲν ἔχει καταφανῆ καὶ βλεπομένην ἐναντίωσιν, ἐν ἀπείρῳ μέσον τινὰ τόπον, καὶ μέσην χώραν ἀπολείποντος· δευτέραν δ' ἀδηλοτέραν μὲν, ἀλογωτέραν δὲ ταύτης. οἰόμενος γὰρ, ὀυκ ἂν ἄφθαρτον διαμένειν τὸν κόσμον, εἰ κατ' ἄλλο μέρος αὐτῷ τῦ κενῦ συντέτευχε γενέσθαι τὴν ἵδρυσιν, δῆλος ἐςι δεδιὼς, μὴ, τῶν μερῶν τῆς ὀυσίας ἐπὶ τὸ μέσον φερομένων, διάλυσις καὶ φθορὰ τῦ κόσμου γένοιτο. ταῦτα δ' ὀυκ ἂν ἐφοβεῖτο, μὴ φύσει τὰ σώματα φέρεσθαι πανταχόθεν ἐπὶ τὸ μέσον ἡγύμενος, ὀυ τῆς ὀυσίας, ἀλλὰ τῆς περιεχύσης τὴν ὀυσίαν [1] χώρας· περὶ ὀυ καὶ πολλάκις εἴρηκεν, ὡς ἀδυνάτου καὶ παρὰ φύσιν ὄντος· ὀυ γὰρ ὑπάρχειν ἐν τῷ κενῷ διαφορὰν, ᾗ τὰ σώματα δευρὶ μᾶλλον ἢ δευρὶ προσάγεται· τὴν δὲ τῦ κόσμου σύνταξιν, αἰτίαν εἶναι τῆς κινήσεως ἐπὶ τὸ κέντρον, καὶ τὸ μέσον αὐτῦ, νευόντων καὶ φερομένων πανταχόθεν. ἀρκεῖ δ' εἰς τῦτο παραθέσθαι λέξιν ἐκ τῦ δευτέρου περὶ Κινήσεως. ὑπειπὼν γὰρ, ὅτι τέλεον μὲν ὁ κόσμος σῶμά ἐςιν, ὀυ τέλεα δὲ τὰ τῦ κόσμου μέρη, τῷ [2] πρὸς τὸ ὅλον πως ἔχειν, καὶ μὴ καθ' αὑτὰ εἶναι· καὶ περὶ τῆς κινήσεως αὐτῦ διελθὼν, ὡς ἐπὶ τὴν συμμονὴν καὶ τὴν συνοχὴν τὴν ἑαυτῦ κινεῖσθαι διὰ τῶν μερῶν πάντων πεφυκότος, ὀυκ ἐπὶ τὴν διάλυσιν καὶ τὴν θρύψιν, ταῦτ' εἴρηκεν· Οὕτω δὲ τῦ ὅλου τεινομένου εἰς ταυτὸ, καὶ κινουμένου, καὶ τῶν μορίων ταύτην τὴν κίνησιν ἐχόντων ἐκ τῆς τῦ σώματος φύσεως, πιθανὸν, πᾶσι τοῖς σώμασιν εἶναι τὴν πρώτην κατὰ φύσιν κίνησιν πρὸς τὸ τῦ κόσμου μέσον, τῷ

καὶ κατὰ τῦτ'. W. autem, ὥστε κατά τε τὸν τόπον ἅμα, καὶ διὰ τ. συντυχίαν, μ. ἐ. αὐ. φθορὰν, καὶ κατὰ τῦτ' εἶ. ἀ.

1 Ald. Bas. τὴν αἰτίαν.

2 Vulgo τό. R. legi voluit aut τῷ aut διὰ τό. Prius dedi cum W. id ex E. Xyl. Mez. sumente. Paulo post Turn. V. Bong. πῶς ἔχει.

τῷ μὲν κόσμῳ ὅτωσὶ κινȣμένῳ πρὸς αὐτὸν [1], τοῖς δὲ μέρεσιν, ὡς ἂν μέρεσιν ὦσιν. εἶτα, Φήσαι τις ἄν, ὦ ἄνθρωπε, τί παθὼν ἐπελάθȣ τῶν λόγων τȣ́των [2], ὥστε τὸν κόσμον, εἰ μὴ τὴν μέσην χώραν ἐκ τύχης κατειλήΦει, διάλυτον καὶ Φθαρτὸν ἀποΦαίνειν; εἰ γὰρ αὐτός γε νεύειν ἐπὶ τὸ αὐτȣ̃ [3] μέσον ἀεὶ πέΦυκε, καὶ τὰ μέρη πρὸς τȣ̃το κατατείνειν πανταχόθεν, ὅποι ποτ' ἂν τȣ̃ κενȣ̃ μετατεθῇ, συνέχων ἑαυτὸν ȣ̔́τω καὶ περιστέλλων, ἄΦθαρτος καὶ ἄθρυπτος διαμένει [4]. τὰ γὰρ θρυπτόμενα καὶ σκεδαννύμενα τȣ̃το πάσχει διακρίσει τῶν μερῶν ἑκάστȣ καὶ διαλύσει [5] πρὸς τὸν οἰκεῖον τόπον ἐκ τȣ̃ παρὰ Φύσιν ἀποῤῥέοντος. σὺ δ', εἰ κατ' ἄλλο τȣ̃ κενȣ̃ τεθείη ὁ κόσμος, οἰόμενος ȣ̔́τω [6] παντελῆ συνάπτεσθαι Φθορὰν, καὶ λέγων ȣ̔́τω, καὶ διὰ τȣ̃το μέσον ἐν τῷ μηδὲν ἔχειν πεΦυκότι μέσον τῇ τῶν ἀπείρῳ [7], τὰς μὲν τάσεις καὶ συνοχὰς καὶ νεύσεις ἐκείνας, ὡς ȣ̓δὲν ἐχέγγυον εἰς σωτηρίαν ἐχȣ́σας, ἀΦῄκας, τῇ δὲ καταλήψει τȣ̃ τόπȣ τὴν σύμπασαν αἰτίαν τῆς

1 Vulgo κινȣμένȣ πρὸς αὐτῶν. Ald. Bas. Xyl. κινȣμένȣ πρὸς αὐτόν. Hinc R. voluit κινȣμένῳ πρὸς αὐτὸν, *mundo quidem sic moto versus semet ipsum*, quod W. sumsit ex B. E. Venet. 1. 2.

2 Post τȣ́των subaudiendum esse monet R. τοσȣ̃τον.

3 Vulgo ἐπὶ τὸ αὐτὸ μέσον. R. dari voluit αὐτȣ̃, deditque W. ex B. F. Leonic. Schott. Anon. Ex Turn. V. Bong. notatur αὐτȣ̃.

4 R. mavult διαμενεῖ, in fut.

5 R. judice post διαλύσει aliquid deesse videtur, e. c. τὰ δὲ συστάντα καὶ πηγνύμενα γίνεται συγκρίσει τῶν μερῶν ἑκάστȣ καὶ διαδύσει, πρὸς τὸν οἰ. τ. ἐ. τ. π. Φ. ἐπιῤῥέοντος, *at quae consistunt & compacta sunt, ea fiunt concretione singularium particularum, & mutuo earum inter se subitu, unaquaque particula, deserto loco non naturali, ad maxime convenientem confluente.*

6 W. legendum censet αὐτῷ.

7 Vulgo ἀπείρων. R. susp. πεΦυκότι μέσον τῷ ἀπείρῳ. W. sumsit ἀπείρῳ ab Amiot. & Mez. & in τῇ τῶν latere putat veram lectionem, πλάττων vel simile quid, ex B. simul notans τί τῶν, unde forte quis fingat τίκτων.

τῆς διαμονῆς ἀνέθηκας. καίτοι τοῖς προειρημένοις ταυτὶ συνάπτεις, ὥσπερ αὐτὸς σεαυτὸν [1] ἐξελέγξαι φιλοτιμέμενος. Ὃν τρόπον δὲ κινεῖται ἕκαστον τῶν μορίων, συμφυὲς ὂν τῷ λοιπῷ, εὔλογον ὅτω καὶ καθ' αὐτὸ κινεῖσθαι· καὶ εἰ λόγου χάριν νοήσαιμεν αὐτὸ καὶ ὑποθοίμεθα εἶναι ἐν κενῷ τινι τοῦ κόσμου τούτου· ὡς γὰρ ἂν συνεχόμενον πάντοθεν ἐκινεῖτο ἐπὶ τὸ μέσον, μένει ἐν τῇ κινήσει ταύτῃ, κἂν λόγου χάριν ἐξαίφνης περὶ αὐτὸ [2] γένηται κενόν. εἶτα μέρος μὲν οὐδὲν ὑπὸ κενοῦ περιληφθὲν οὐκ ἀποβάλλει τὴν ἐπὶ τὸ τοῦ κόσμου μέσον [3] ἄγουσαν ῥοπήν· αὐτὸς δ' ὁ κόσμος, ἂν μὴ τὴν μέσην παρασκευάσῃ χώραν αὐτῷ τὸ αὐτόματον, ἀπολεῖ τὸν συνεκτικὸν τόνον, ἄλλοις ἀλλαχόσε τῆς οὐσίας αὐτοῦ μέρεσι φερομένοις [4].

XLV. Καὶ ταῦτα μὲν ἔχει μεγάλας ὑπεναντιώσεις πρὸς τὸν φυσικὸν λόγον· ἐκεῖνο δ' ἤδη καὶ πρὸς τὸν περὶ [5] θεοῦ καὶ προνοίας, τὸ τὰ μικρότατα τῶν αἰτίων τούτοις ἀνατιθέντα, τὸ κυριώτατον ἀφαιρεῖσθαι καὶ μέγιστον. τί γάρ ἐστι κυριώτερον τῆς τοῦ κόσμου διαμονῆς, ἢ τὸ τὴν οὐσίαν ἡνωμένην τοῖς μέρεσι συνέχεσθαι πρὸς αὐτήν; ἀλλὰ τοῦτό γε συμπέπτωκεν αὐτομάτως κατὰ Χρύσιππον. εἰ γὰρ ἡ τοῦ τόπου κατάληψις αἰτία τῆς ἀφθαρσίας ἐστὶν, αὕτη δὲ συντυχίᾳ γέγονεν, δῆλον, ὅτι συντυχίας ἔργον ἡ σωτηρία τῶν ὅλων ἐστὶν, οὐχ εἱμαρμένης καὶ προνοίας.

XLVI. Ὁ δὲ τῶν Δυνατῶν λόγος πρὸς τὸν τῆς εἱμαρμένης λόγον αὐτῷ πῶς οὐ μαχόμενός ἐστιν; εἰ γὰρ οὐκ ἔστι δυνατὸν, ὅπερ ἢ ἐστὶν ἀληθὲς, ἢ ἔσται, κατὰ Διόδωρον,

1 Sic W. dedit ex B. Vulgo ἑαυτόν.

2 Sic W. dedit ex Venet. 1. Vulgo περὶ αὐτόν.

3 Vulgo ἐπὶ τοῦ κόσμου μέσην. R. voluit ἐπὶ τοῦ κόσμου μέσον. W. correxit auctoritate B. Venet. 1. Anon. Schott. Coll. Muret.

4 W. mavult φερόμενος; vel φερομένης, eo ducente Venet. 1. φαινομένης.

5 R. susp. ἤδη καιρὸς σκοπεῖν τὸ περὶ θ.

ρον [1], ἀλλὰ πᾶν τὸ ἐπιδεκτικὸν [2] τοῦ γενέσθαι, κἂν μὴ μέλλῃ γενήσεσθαι, δυνατόν ἐστιν, ἔσται [3] δυνατὰ πολλὰ τῶν μὴ καθ' εἱμαρμένην ἀνίκητον καὶ ἀνεκβίαστον καὶ περιγενητικὴν ἁπάντων, ἢ εἱμαρμένην [4] δύναμιν ἀπόλλυσιν, ἢ ταύτης, οἵαν [5] ἀξιοῖ Χρύσιππος, οὔσης, τὸ ἐπιδεκτικὸν τοῦ γενέσθαι πολλάκις εἰς τὸ ἀδύνατον ἐμπεσεῖται· καὶ πᾶν μὲν ἀληθὲς ἀναγκαῖον ἔσται τῇ κυριωτάτῃ πασῶν ἀνάγκῃ κατειλημμένον· πᾶν δὲ ψεῦδος ἀδύνατον, τὴν μεγίστην ἔχον αἰτίαν ἀντιπίπτουσαν αὐτῷ πρὸς τὸ ἀληθὲς γενέσθαι. ᾧ γὰρ ἐν θαλάσσῃ πεπρωμένον ἐστὶν ἀποθανεῖν, πῶς οἷόν τε τοῦτον ἐπιδεκτικὸν εἶναι τοῦ ἐν γῇ ἀποθανεῖν; τί δὲ τὸν Μεγαροῖ [6] δυνατόν ἐστιν ἐλθεῖν εἰς Ἀθήνας, ὑπὸ τῆς εἱμαρμένης κωλυόμενον;

XLVII. Ἀλλὰ μὴν καὶ τὰ περὶ τῶν φαντασιῶν λεγόμενα νεανικῶς, πρὸς τὴν εἱμαρμένην ἐναντιοῦνται. τὴν γὰρ φαντασίαν βουλόμενος οὐκ οὖσαν αὐτοτελῆ τῆς συγκαταθέσεως αἰτίαν ἀποδεικνύειν, εἴρηκεν, ὅτι βλάψουσιν οἱ σοφοὶ ψευδεῖς φαντασίας ἐμποιοῦντες, ἂν αἱ φαντασίαι ποιῶσιν αὐτοτελῶς τὰς συγκαταθέσεις· πολλάκις γὰρ οἱ σοφοὶ ψεύδει χρῶνται πρὸς τοὺς φαύλους, καὶ φαντασίαν παριστᾶσι πιθανήν, οὐ μὴν αἰτίαν τῆς συγκαταθέσεως· ἐπεὶ καὶ τῆς ὑπολήψεως αἰτία τῆς ψευδοῦς ἔσται καὶ τῆς ἀπάτης. ταῦτ' οὖν ἄν τις ἀπὸ τοῦ σοφοῦ μεταφέρων ἐπὶ τὴν εἱμαρμένην, λέγῃ, μὴ διὰ τὴν εἱμαρμένην

1 Diodorum Cronum Stoicum significat. V. Diog. Laërt. II, 11.

2 Ita R. dari voluit, deditque W. ex B. E. Venet. 1. Vulgo ἐπιδεκτόν.

3 R. mavult ἔσται δὲ δυνατά.

4 Turn. V. Bong. εἱμαρμένης. R. susp. ἁπάντων γινομένων, ἢ εἱμαρμένη τὴν δύναμιν ἀπόλλυσιν; W. autem, καὶ ἡ Εἱμαρμένη τὴν δ. απ.

5 Vulgo οἷον. R. voluit, ἢ τοιαύτης, οἵαν ἀ. X. Turn. V. Bong. dant οἵαν. Idem recepit W. consentientibus Anon. Mez.

6 R. susp. ἔτι δὲ τὸν Μεγαροῖ ἀδύνατον, *porro cui fatale est, ut Megaris moriatur, fieri nequit, ut ille Athenas exspiratum veniat.* W. susp. τὸν μενοῦντα Μεγαροῖ. Pet. omittit τόν: at, W. judice, haec omissio non satisfacit huic loco.

νην γίνεϑαι τὰς συγκαταϑέσεις· ἐπεὶ διὰ τὴν εἱμαρμένην ἔσονται καὶ ψευδεῖς συγκαταϑέσεις, καὶ ὑπολήψεις, καὶ ἀπάται, καὶ βλαβήσονται διὰ τὴν εἱμαρμένην· ὁ τȣ̃ βλάπτειν τὸν σοφὸν ἐξαιρȣ́μενος λόγος, ἅμα καὶ τὸ μὴ πάντων αἰτίαν εἶναι τὴν εἱμαρμένην ἀποδείκνυσιν. εἰ γὰρ μήτε δοξάζȣσι, μήτε βλάπτονται διὰ τὴν εἱμαρμένην· δῆλον, ὅτι ȣ̓δὲ κατορϑȣ̃σιν, ȣ̓δὲ φρονȣ̃σιν, ȣ̓δὲ ὑπολαμβάνȣσι βεβαίως, ȣ̓δ' ὠφελȣ̃νται διὰ τὴν εἱμαρμένην· ἀλλ' οἴχεται τὸ πάντων αἰτίαν εἶναι τὴν εἱμαρμένην. ὁ δὲ λέγων, ὅτι Χρύσιππος ȣ̓κ αὐτοτελῆ τȣ́των αἰτίαν, ἀλλὰ προκαταρκτικὴν μόνον ἐποιεῖτο τὴν εἱμαρμένην, ἐκεῖ [1] πάλιν αὐτὸν ἀποδείξει μαχόμενον πρὸς αὐτὸν, ὅπȣ τὸν μὲν Ὅμηρον ὑπερφυῶς ἐπαινεῖ περὶ τȣ̃ Διὸς λέγοντα·

Τῷ ἔχεϑ', ὅττι κεν ὔμμι κακὸν πέμπησιν ἑκάςῳ [2],
Ἢ ἀγαϑόν.

καὶ τὸν Εὐριπίδην [3].

Ὦ Ζεῦ, τί δῆτα τȣ̀ς ταλαιπώρȣς βροτȣ̀ς
Φρονεῖν λέγοιμ' ἄν; σȣ̃ γὰρ ἐξηρτήμεϑα,
Δρῶμέν τε τοιάδ', ἃ σὺ [4] τυγχάνεις φρονῶν.

αὐτὸς δὲ πολλὰ τȣ́τοις ὁμολογȣ́μενα γράφει, τέλος δὲ φησι μηδὲν ἴσχεσϑαι μηδὲ κινεῖσϑαι μηδὲ τȣ̈λάχιςον, ἄλλως ἢ κατὰ τὸν τȣ̃ Διὸς λόγον· ὃν τῇ εἱμαρμένῃ τὸν αὐτὸν εἶναι. ἔτι τοίνυν, τὸ μὲν προκαταρκτικὸν [5] αἴτιον ἀϑενέςερόν ἐςι τȣ̃ αὐτοτελȣ̃ς, καὶ ȣ̓κ ἐξικνεῖται κρατȣ́μενον ὑπ' ἄλλων ἐξανιςαμένων· τὴν δ' εἱμαρμένην αἰτίαν ἀνίκητον καὶ ἀκώλυτον καὶ ἄτρεπτον ἀποφαίνων, αὐτὸς Ἄτρο-

1 Hanc veterem lectionem revocavit W. ex Ald. Baf. Xyl. conſentientibus B. E. F. Venet. 1. Petav. pro vulg. ἐκεῖνος, quod Steph. habuit ex Jannot. Schott. Anon. Coll. Muret.

2 Iliad. XV, 109. Sequentia ἢ ἀγαϑὸν addita videntur a Chryſippo.

3 in Supplic. v. 734. ſqq.

4 R. mavult ἃ σύ γε τυγχ.

5 Sic W. dedit ex B. Venet. 1. Vulgo καταρκτικόν.

Ἄτροπον καλεῖ καὶ Ἀδράϛειαν καὶ Ἀνάγκην καὶ Πεπρωμένην, ὡς πέρας ἅπασιν ἐπιτιθεῖσαν. πότερον οὖν τὰς συγκαταθέσεις μὴ λέγομεν [1] ἐφ᾽ ἡμῖν εἶναι, μηδὲ τὰς ἀρετὰς, μηδὲ τὰς κακίας, μηδὲ τὸ κατορθοῦν, μηδὲ τὸ ἁμαρτάνειν. ἢ [2] τὴν εἱμαρμένην λέγωμεν ἐλλείπουσαν εἶναι, καὶ τὴν πεπρωμένην ἀπεράτωτον, καὶ τὰς τοῦ Διὸς κινήσεις καὶ σχέσεις ἀσυντελέϛους; τούτων γὰρ ἕπεται τὰ μὲν τῷ αὐτοτελῆ, τὰ δὲ τῷ προκαταρκτικὴν μόνον αἰτίαν εἶναι, τὴν εἱμαρμένην. αὐτοτελὴς μὲν γὰρ [3] αἰτία πάντων οὖσα, τὸ ἐφ᾽ ἡμῖν καὶ τὸ ἑκούσιον ἀναιρεῖ· προκαταρκτικὴ δὲ, τὸ ἀκώλυτος εἶναι καὶ τελεσιουργὸς, ἀπόλλυσιν. οὐδὲ γὰρ ἅπαξ ἢ δὶς, ἀλλὰ πανταχοῦ, μᾶλλον δ᾽ ἐν πᾶσι τοῖς Φυσικοῖς γέγραφε, ταῖς μὲν κατὰ μέρος φύσεσι [4] καὶ κινήσεσιν ἐνϛήματα πολλὰ γίνεσθαι καὶ κωλύματα, τῇ δὲ τῶν ὅλων, μηδέν. καὶ πῶς εἰς τὰς κατὰ μέρος ἡ τῶν ὅλων διατείνουσα κίνησιν, ἐμποδιζομένων καὶ κωλυομένων ἐκείνων, ἀνεμπόδιϛος αὐτὴ καὶ ἀκώλυτός ἐϛιν; οὐδὲ γὰρ ἡ τοῦ ἀνθρώπου φύσις ἀνεμπόδιϛος, εἰ μηδὲ ἡ τοῦ ποδὸς ἢ τῆς χειρός· οὐδ᾽ ἡ τῆς νεὼς κίνησις ἀκώλυτος ἂν εἴη, εἰ αἱ περὶ τὸ ἱϛίον ἢ τὴν εἰρεσίαν ἐνέργειαι [5] κωλύσεις τινας ἔχωσιν. ἄνευ δὲ τούτων, εἰ μὲν αἱ φαντασίαι μὴ γίνονται καθ᾽ εἱμαρμένην [6] τῶν συγκαταθέσεων,

1 R. mavult λέγωμεν.

2 Sic R. dari voluit, praeeunte Xyl. verſione, pro vulg. εἰ, & dedit W. ex E. & Turn. Idem ſumſit deinde λέγωμεν ex E. & Venet. 1. pro vulg. λέγομεν.

3 W. addidit γὰρ, quod vulgo abeſt, ex B. E. Venet. 1. 2. Petav.

4 Salmas. σχέσεσι.

5 Vulgo εἰ περὶ τὸ ἱϛίον, ἢ τὴν εἰρεσίας ἐνέργειαν, κ. τ. ἑ. R. legi voluit τὴν τῆς εἰρεσίας. W. ex magna lectionum varietate ſumſit receptam ex B. & Venet. 1. man. ſec.

6 W. monente excidit conſequens, ut Xyl. aſteriſco notavit. Amiot. & Mez. ſupplent πῶς εἰσιν αἰτίαι: quale quid omnino requiritur.

θέσεων· εἰ δ' ὅτι ποιεῖ φαντασίας ἀγωγὰς ἐπὶ τὴν συγκατάθεσιν, καθ' εἱμαρμένην αἱ συγκαταθέσεις γίνεσθαι λέγονται, πῶς οὐ μάχεται πρὸς ἑαυτὴν πολλάκις ἐν τοῖς μεγίστοις διαφόρους ποιοῦσα φαντασίας, καὶ περισπῶσας ἐπὶ τἀναντία τὴν διάνοιαν; ὅτε τοὺς προστιθεμένους τῇ ἑτέρᾳ καὶ μὴ ἐπέχοντας, ἁμαρτάνειν λέγουσιν· ἂν μὲν ἀδήλοις εἴκωσι, προσπίπτοντας [1]· ἂν δὲ ψευδέσι, διαψευδομένους· ἂν δὲ κοινῶς ἀκαταλήπτοις, δοξάζοντας. καίτοι δὴ τριῶν ὄντων [2], ἢ μὴ πᾶσαν εἶναι φαντασίαν εἱμαρμένης ἔργον, ἢ πᾶσαν παραδοχὴν καὶ συγκατάθεσιν φαντασίας ἀναμάρτητον, ἢ μηδ' αὐτὴν τὴν εἱμαρμένην ἀνεπίληπτον· οὐκ οἶδα γάρ, ὅπως ἀνέγκλητός ἐστι, τοιαύτας ποιοῦσα φαντασίας, αἷς τὸ μὴ μάχεσθαι μηδ' ἀντιβαίνειν, ἀλλ' ἕπεσθαι καὶ εἴκειν, ἔγκλητόν ἐστι. καὶ μὴν ἔν γε τοῖς πρὸς τοὺς Ἀκαδημαϊκοὺς [3] ἀγῶσιν ὁ πλεῖστος αὐτῷ τε Χρυσίππῳ καὶ Ἀντιπάτρῳ πόνος γέγονε περὶ τοῦ μήτε πράττειν μήτε ὁρμᾶν ἀσυγκαταθέτως, ἀλλὰ πλάσματα λέγειν καὶ κενὰς ὑποθέσεις, τοὺς ἀξιοῦντας, οἰκείας φαντασίας γενομένης, εὐθὺς ὁρμᾶν μὴ εἴξαντας μηδὲ συγκαταθεμένους. αὖθις δέ φησι Χρύσιππος, καὶ τὸν θεὸν ψευδεῖς ἐμποιεῖν φαντασίας καὶ τὸν σοφὸν, οὐ συγκατατιθεμένων, οὐδ' εἰκόντων δεομένους ἡμῶν, ἀλλὰ πραττόντων μόνον, καὶ ὁρμώντων ἐπὶ τὸ φαινόμενον· ἡμᾶς δὲ φαύλους ὄντας, ὑπ' ἀσθενείας συγκατατίθεσθαι ταῖς τοιαύταις φαντασίαις. ἡ δὲ τούτων τῶν λόγων ταραχὴ καὶ διαφορὰ πρὸς αὐτοὺς, οὐ πάνυ δυσθεώρητός ἐστιν. ὁ γὰρ οὐ δεόμενος συγκατατιθεμένων, ἀλλὰ πραττόντων μόνον, οἷς ἐνδίδωσι τὰς φαν-

1 W. cum Salmas susp. προπίπτοντας.

2 W. monente, corrigendum καίτοι δεῖ, τριῶν ὄντων, ἢ —: nisi post ἀνεπίληπτον conclusio exciderit. Etiam R. verba deinde sequentia οὐκ οἶδα γὰρ ὅπως — ἔγκλητόν ἐστι parenthetice sumenda declarans, post ἐστι deesse aliquid notavit.

3 Vulgo Ἀκαδημιακοὺς. W. recepit formam consuetudine confirmatam ex B. Pet. Jannot.

φαντασίας [1], εἴτε θεὸς, εἴτε σοφὸς, οἶδεν, ὅτι πρὸς τὸ πράττειν ἀρκοῦσιν αἱ φαντασίαι, καὶ παρέλκουσιν αἱ συγκαταθέσεις· ὡς εἴ γε γινώσκων, ὅτι πρακτικὴν ὁρμὴν οὐ [2] παρίστησι φαντασία δίχα συγκαταθέσεως, ψευδεῖς ἐνεργάζεται καὶ πιθανὰς φαντασίας, ἑκὼν αἴτιός ἐστι τοῦ προσπίπτειν [3] καὶ ἁμαρτάνειν ἀκαταλήπτοις συγκατατιθεμένους.

1 Ita in R. legitur, quod W. ex B. & Venet. 1. recepit pro vulg. ταῖς φαντασίαις.

2 R. delendum cenſuit οὐ.

3 W monente, non eſt mutandum in προπίπτειν.

# ΣΥΝΟΨΙΣ
# ΤΟΥ ΟΤΙ ΠΑΡΑΔΟΞΟΤΕΡΑ ΟΙ ΣΤΩΙΚΟΙ ΤΩΝ ΠΟΙΗΤΩΝ ΛΕΓΟΥΣΙΝ.

Ο Πινδάρȣ Καινεὺς εὐθύναν ὑπεῖχεν [1], ἀπιθάνως ἄῤῥηκτος σιδήρῳ καὶ ἀπαθὴς τὸ σῶμα πλασσόμενος, εἶτα καταδὺς ἄτρωτος ὑπὸ γῆν,

Σχίσας ὀρθῷ ποδὶ γᾶν.

ὁ δὲ Στωϊκὸς Λαπίθης, ὥσπερ ἐξ ἀδαμαντίνης ὕλης ὑπ' αὐτῶν τῆς ἀπαθείας κεχαλκευμένος, ȣ̓κ ἄτρωτός ἐςιν, ȣ̓δ' ἄνοσος, ȣ̓δ' ἀναλγὴς, ἄφοβος δὲ μένει καὶ ἄλυπος καὶ ἀήττητος, καὶ ἀβίαςος, τιτρωσκόμενος [2], ἀλγῶν, ςρεβλȣ́μενος, ἐν κατασκαφαῖς πατρίδος, ἐν πάθεσι τοιȣ́τοις. καὶ ὁ μὲν Πινδάρȣ Καινεὺς βαλλόμενος ȣ̓ τιτρώσκεται· ὁ δὲ τῶν Στωϊκῶν σοφὸς ἐγκλειόμενος ȣ̓ κωλύεται, καὶ κατακρημνιζόμενος ȣ̓κ ἀναγκάζεται, καὶ ςρεβλȣ́μενος ȣ̓ βασανίζεται, καὶ πηρȣ́μενος [3] ȣ̓ βλάπτεται, καὶ πίπτων ἐν τῷ παλαίειν ἀήττητός ἐςι, καὶ περιτειχιζόμενος ἀπολιόρκητος, καὶ πωλȣ́μενος ὑπὸ τῶν πολεμίων ἀνάλωτος· ȣ̓θὲν τῶν πλοίων διαφέρων, οἷς ἐπιγέγραπται μὲν Εὔπλοια, καὶ Πρόνοια Σώζȣσα, καὶ Θεραπεία, χειμάζεται δὲ καὶ συντρίβεται καὶ ἀνατρέπεται.

II. Ὁ Εὐριπίδȣ Ἰόλαος [4] ἐξ ἀδρανȣ̃ς καὶ παρήλικος εὐχῇ τινι νέος καὶ ἰσχυρὸς ἐπὶ τὴν μάχην ἄφνω γέγονεν· ὁ δὲ τῶν Στωϊκῶν σοφὸς, χθὲς μὲν ἦν ἔχθιςος

1 Pet. ὑπῆρχεν. Cf. Pindar. fragm. Schneid. p. 75. sq.

2 V. Petav. ȣ̓ τιτρώσκεται.

3 Ita ex Ald. restitui. Sumsit idem W. ex B. & E. Vulgo πυρȣ́μενος, quod etiam e Pet. notatur.

4 Eurip. Heraclid. 849.

ϛος [1] ἅμα καὶ κάκιϛος, τήμερον δ' [2] ἄφνω μεταβέβληκεν εἰς ἀρετὴν, καὶ γέγονεν ἐκ ῥυσσϐ καὶ ὠχρϐ, καὶ κατ' Αἰσχύλον [3], ἐξ

'Οσφυαλγϐς καὶ ὀδυνοσπάδος λυγρϐ
Γέροντος,

εὐπρεπὴς, θεοειδὴς, καλλίμορφος.

III. Καὶ τϐ 'Οδυσσέως ἡ 'Αθηνᾶ τὴν ῥυσσότητα καὶ φαλακρότητα καὶ ἀμορφίαν ἀφήρηκεν, ὅπως φανείη καλός [4]. ὁ δὲ τϐτων σοφὸς, ϐκ ἀπολείποντος τὸ σῶμα τϐ γήρως, ἀλλὰ καὶ προσεπιθέντος καὶ προσεπιχώσαντος [5], μένων κυρτὸς, ἂν ϐτω τύχῃ, νωδὸς, ἑτερόφθαλμος, ϐτ' αἰσχρὸς, ϐτε δύσμορφος, ϐτε κακοπρόσωπός ἐϛιν· ὁ γὰρ Στωϊκὸς ἔρως, ὥσπερ οἱ κάνθαροι λέγονται τὸ μὲν μύρον ἀπολιπεῖν, τὰ δὲ δυσώδη διώκειν· ϐτως τοῖς αἰσχίϛοις καὶ ἀμορφοτάτοις ὁμιλῶν, ὅταν εἰς εὐμορφίαν καὶ κάλλος ὑπὸ σοφίας μεταβάλλωσιν [6], ἀποτρέπεται.

IV. 'Ο παρὰ τοῖς Στωϊκοῖς κάκιϛος, ἂν ϐτω τύχῃ, πρωῒ, δείλης ἄριϛος· καὶ καταδαρθὼν ἔμπληκτος καὶ ἀμαθὴς καὶ ἄδικος καὶ ἀκόλαϛος καὶ, ναὶ μὰ Δία, δϐλος καὶ πένης καὶ ἄπορος, αὐθημερὸν ἀνίϛαται καὶ βασιλεὺς καὶ πλϐσιος καὶ ὄλβιος γεγονὼς, σώφρων τε καὶ δίκαιος καὶ βέβαιος [7] καὶ ἀδόξαϛος· ϐ γένεια φύσας,

[1] W. monente legendum αἴσχιϛος.

[2] Vulgo abest δ'. Inferi id volui R. dedique cum W. ex Pet. B. E. Pro μεταβίβληκεν Pet. μεταβίβηκεν.

[3] Distinxit W. quae sunt Aeschyli a reliqua oratione, ut auctori reddenda, non ut modulis reddita

[4] Odyss. XVI, 172. sq. XXIII, 156 sq.

[5] Mavult W. προσεπιταθέντος καὶ προσεπιχωσθέντος.

[6] Pet. μεταβάλωσιν.

[7] R. monente, βέβαιος opponitur τῷ ἐμπλήκτῳ, quod praecessit. Pet. ἀβέβαιος. Vulgo deinde καὶ ἄδοξος, quod hic non *inglorium*, sed *opinione carentem & falli nescium* significare Xyl. monet, e Ms. simul notans ἀδοξότατος. R. dari voluit καὶ ἀδόξαϛος, quod dedi cum W. ex Pet. B. E. Jun. Mez.

σας, ὀυδ' ἥβην ἐν σώματι νέῳ καὶ ἁπαλῷ, ἀλλ' ἐν ἀσθενεῖ καὶ ἁπαλῇ ψυχῇ καὶ ἀνάνδρῳ καὶ ἀβεβαίῳ, νοῦν τέλειον, ἄκραν Φρόνησιν, ἰσόθεον διάθεσιν, ἀδόξαστον ἐπιστήμην καὶ ἀμετάπτωτον ἕξιν ἐσχηκὼς, οὐδὲν ἐνδούσης πρότερον αὐτῷ τῆς μοχθηρίας, ἀλλ' ἐξαίΦνης, ὀλίγου δέω εἰπεῖν, ἥρως τις ἢ δαίμων ἢ θεὸς ἐκ θηρίου [1] τοῦ κακίστου γενόμενος. Ἐκ τῆς Στοᾶς γὰρ λαβόντα τὴν ἀρετὴν, ἔστιν εἰπεῖν,

Εὔξαι εἴ τι [2] βούλει, πάντα σοι γενήσεται·

πλοῦτον Φέρει, βασιλείαν ἔχει, τύχην δίδωσιν, εὐπότμους ποιεῖ καὶ ἀπροσδεεῖς καὶ αὐτάρκεις, μίαν οἴκοθεν δραχμὴν οὐκ ἔχοντας.

V. Ὁ μὲν γὰρ ποιητικὸς μῦθος [3] τὸ κατὰ λόγον Φυλάττων, οὐδαμοῦ προλείπει τὸν Ηρακλέα τῶν ἀναγκαίων δεόμενον, ἀλλ' ὥσπερ ἐκ πηγῆς ἐπιῤῥεῖ αὐτῷ καὶ τοῖς συνοῦσιν· ὁ δὲ τὴν Στωϊκὴν λαβὼν Ἀμάλθειαν, πλούσιος μὲν γέγονεν, ἐρανίζεται δὲ τροφὴν παρ' ἑτέρων· καὶ βασιλεὺς μέν ἐστι, μισθοῦ δὲ ἀναλύει συλλογισμούς· καὶ πάντα μὲν ἔχει μόνος, ἐνοίκιον δὲ τελεῖ· καὶ ἄλΦιτα ὠνεῖται, πολλάκις δανειζόμενος, ἢ μεταιτῶν παρὰ τῶν οὐδὲν ἐχόντων.

VI. Καὶ ὁ μὲν Ἰθακησίων βασιλεὺς προσαιτεῖ λανθάνειν, ὅς ἐστι βουλόμενος, καὶ ποιῶν ἑαυτὸν ὡς μάλιστα

Πτωχῷ λευγαλέῳ ἐναλίγκιον· [4] —

ὁ

1 Ald. Bas. Pet. θηρίων.

2 Mez. & Salmas. Menandri verſum eſſe notantes, corrigunt ὅ τι βούλει. R. monente perinde eſt, ſic legas, an vulgatam ſerves, in qua αι & ει in ſcandendo colliqueſcant.

3 R. monente, ſignificat cornu Amaltheae, quod, auctore Pherecyde, pollebat ea virtute, ut, quidquid ſicci liquidive alimenti expeteres, copioſe praeſtaret. Infra Amalthea nominatur pro cornu Amaltheae.

4 Odyſs. XVI, 273.

ὁ δὲ ἐκ τῆς Στοᾶς βοῶν μέγα καὶ κεκραγώς· Ἐγὼ μόνος εἰμὶ βασιλεὺς, ἐγὼ μόνος εἰμὶ πλούσιος, ὁρᾶται πολλάκις ἐπ᾽ ἀλλοτρίαις θύραις λέγων·

Δὸς χλαῖναν Ἱππώνακτι· κάρτα γὰρ ῥιγῶ
Καὶ βαμβακύζω [1].

1 Xyl. notat de verbo βαμβαλίζω & βαμβαλύζω, quod apud Euftath. in Iliad. X. 375. & Hefychium legitur. R. tuetur vulgatam, cum, ut βάμβαλος, ita quoque βάμβαξ dicatur. Prior verfus legitur quoque Vol. X. p. 149.

BIBLIOTEKA W ... UNIWERSYTECKA

[illegible]

[illegible] yl. notat de [illegible] quod [illegible] vulgatam, cum, [illegible] dicitur. Prior verba [illegible] VIII. X. not. 12.

92399